ΣΤΕΦΑΝΟΣ ΤΗΣ ΑΕΙΠΑΡΘΕΝΟΥ

ΗΤΟΙ

# ΘΕΟΤΟΚΑΡΙΟΝ

## ΝΕΟΝ ΠΟΙΚΙΛΟΝ ΚΑΙ ΩΡΑΙΟΤΑΤΟΝ ΟΚΤΩΗΧΟΝ.

ΠΕΡΙΕΧΟΝ ΕΞΗΚΟΝΤΑΔΥΩ ΚΑΝΟΝΑΣ ΠΡΟΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Μελουργηθέντας ὑπὸ εἰκοσιδύω ἱερῶν καὶ θεσπεσίων Μελῳδῶν ἐκ τῶν τοῦ ἁγίου Ὄρους χειρογράφων βίβλων, μετὰ σπουδῆς καὶ πόνων πολλῶν συναχθέν, καὶ μετ᾽ ἐπιμελείας διορθωθὲν ἐξεδόθη παρὰ ΝΙΚΟΔΗΜΟΥ ΜΟΝΑΧΟΥ τοῦ ΝΑΞΙΟΥ.

Ἤδη δὲ τὸ δεύτερον μετ᾽ ἐπιστασίας πολλῆς ἐπιδιορθωθὲν κατὰ τὰ τυπογραφικὰ σφάλματα

ΥΠΟ ΔΕ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΚΕΝΤΡΙΚΗΣ ΕΠΙΤΡΟΠΗΣ ΕΠΙΚΡΙΘΕΝ

ΕΞΕΔΟΘΗ

ΥΠΟ

Γ. ΜΟΥΣΑΙΟΥ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

ΕΚ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΤΥΠΟΓΡΑΦΙΑΣ.

1849

ΤΩι

ΠΑΝΑΓΙΩΤΑΤΩι

ΘΕΙΟΤΑΤΩι

ΚΑΙ ΠΑΝΣΕΠΤΩι

ΑΡΧΙΕΠΙΣΚΟΠΩι ΚΩΝΣΤΑΝ-
ΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ
ΟΙΚΟΥΜΕΝΙΚΩι
ΠΑΤΡΙΑΡΧΗι

ΚΥΡΙΩι ΚΥΡΙΩι

# ΑΝΘΙΜΩι

ΒΥΖΑΝΤΙΩι

ΤΩι ΑΠΟ ΝΙΚΟΜΗΔΕΙΑΣ

ΤΟ ΔΕΥΤΕΡΟΝ ΗΔΗ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ

ΣΟΦΩΤΑΤΑ ΚΥΡΙΑΡΧΟΥΝΤΙ

ΤΗΝ ΔΕ ΤΗΝ ΒΙΒΛΟΝ

ΠΑΝΕΥΛΑΒΩΣ ΤΕ ΚΑΙ ΥΠΟΚΛΙΝΕΣΤΑΤΑ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ




ΙΔΟΥ τὸ παντοπόθητον ὄνομα τῆς Θεοτόκου, σχῆμα Κύκλου ἀποτελεῖ· καὶ δηλοῖ, ὡς ἂν ἀναλογικὸς ἀνὴρ εἴποι, κυρίως μὲν, ὅτι, μόνη αὕτη τῶν νοητῶν, καὶ αἰσθητῶν Κτισμάτων, κατά τε ψυχὴν, καὶ σῶμα ὡραιοτάτη γεγένηται· καὶ μόνη πολυχωροτάτη ὤφθη θείων τε ἅμα καὶ ἀνθρωπίνων χαρίτων. Τοιοῦτον γὰρ ὁ Κύκλος, κατὰ τὸν Πρόκλον, ὡραιότατον ὢν τῶν σχημάτων ἁπάντων, καὶ πολυχωρότατον· ἑπομένως δὲ, καὶ ὅτι Θεὸν αὕτη ἐγέννησεν, ἶσον ἑαυτῷ ὄντα κατὰ πάντα καὶ ὅμοιον, κατὰ τὸν θεολόγον Γρηγόριον, ἄναρχόν τε κατὰ χρόνον καὶ ἀτελεύτητον. Τοιοῦτος γὰρ καὶ ὁ Κύκλος, ἶσος ἑαυτῷ κατὰ πάντα καὶ ὅμοιος· καὶ, ὅσον ἐπὶ τῷ φαινομένῳ, δοκῶν, ἄναρχος εἶναι καὶ ἀτελεύτητος.

M A P I A M<br>
A A     A A<br>
P    P P    P<br>
I    I I    I<br>
A A    A A<br>
M Λ P I A M

ΙΔΟΥ τὸ αὐτὸ πολυύμνητον καὶ κοσμοσωτήριον ὄνομα, σχῆμα Τετραγώνου, ναὶ μὴν, καὶ χιαστοῦ, ἤτοι σταυροειδοῦς, ἀποτελεῖ· δηλοῦται δὲ διὰ τοῦ α΄. κυρίως μὲν, ὅτι, μόνη αὕτη ἀπὸ γεννήσεως ἐν μόνῳ τῷ καλῷ βεβηκυῖα, ἀκίνητος ὅλως πρὸς τὸ κακὸν κατὰ προαίρεσιν γέγονε. Τοιοῦτον γὰρ καὶ τὸ Τετράγωνον, βασιμώτατον ὂν τῶν σχημάτων ἁπάντων, καὶ δυσκινητότατον· διὰ δὲ τοῦ β΄. ὅτι, μόνη αὕτη νενεκρωμένα εἶχεν ἀεὶ τὰ ἐμπαθῆ κινήματα τοῦ τριμεροῦς τῆς ψυχῆς, οὔτε τοῦ καλοῦ ὑπὸ τούτων ἀφελκομένη, οὔτε πρὸς τὸ κακὸν ἐφελκομένη· νεκρώσεως γὰρ σύμβολον ὁ Σταυρός. Ἑπομένως δὲ, καὶ ὅτι Δημιουργὸν αὕτη ἐγέννησε, τὰ τέτταρα μέρη δημιουργήσαντα τοῦ παντός, Καὶ ὅτι ἄνθρωπον ἐγέννησε, σταυρωθέντα σαρκὶ, καὶ διὰ τοῦ σταυροῦ αὐτοῦ τὰς τέτταρας γωνίας τοῦ παντὸς διαλαβόντα, καὶ σώσαντα· (παρὰ τῷ γ΄. Τόμ. Βρυεννίου).

Ερμηνεύεται δὲ τὸ, Μαριὰμ, Κυρία· παράγεται γὰρ τοῦτο, κατ' ἄλλους μὲν, ἐκ τοῦ Αἰά· ὃ δηλοῖ, καθ' Ἑβραίους, Κύριος· κατὰ δὲ Γεώργιον τὸν Κορέσσιον, εἰδήμονα τῶν Ἑβραϊκῶν, ἐκ τῆς ῥίζης τοῦ Ἰεχωβὰ, τοῦ τετραγραμμάτου, ἀκοινωνήτου τε πάσῃ Κτίσει, καὶ κυριωτέρου ὀνόματος τοῦ Θεοῦ· ὃ δὴ καὶ αὐτὸ ἡρμήνευται παρὰ τῶν Ἑβδομήκοντα, Κύριος.

## ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΓΡΑΜΜΑ ΗΡΩΕΛΕΓΕΙΟΝ,

Ὡς ἀπὸ τῆς βίβλου.

Παρθενικὸς Στέφανος, μέγ' ἀμείνων γῆς βασιλήων,
  Εὔπνους, ποικιλόχρους, ἀνθόπλοκος τελέθω.
Πάντοθι μαρμαίρων, μελιηδέων λάμψεσιν ὕμνων,
  Τὴν κεφαλὴν ἀναδῶ, Θειοτόκου Μαρίης·
Εὐσεβέων δέ με, ἐκ πολλῶν ἐπλέξατο εἷς τις,
  Τῷ δοίης Θεόπαις, ὄλβια ἀμφοτέρως.

Ἕτερον Ἰαμβικὸν ὡς ἀπὸ τῆς αὐτῆς.

Ὦ τερψίβιβλε, καὶ Θεοτόκου φίλε·
  Μελῳδικῶς ψάλλειν με, μὴ βούλου μόνον,
Σαυτοῦ δὲ τὸν νοῦν, ἐμβαθύνων τοῖς λόγοις,
  Ψυχῆς, νοὸς, σώματος εὑρήσεις ἄκος.

Ἕτερον.

Βίβλος κατ' ἦχον, τῇ Θεοῦ Γεννητρίᾳ,
Πρεσβευτικὰς ᾄδουσα τὰς μελουργίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΠΡΟΟΙΜΙΟΝ

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ, λέγει προφητικῶς, πρὸς τὴν Παρθένον καὶ Θεοτόκον ἀποτείνων τὸν λόγον, ὁ ταύτης Προπάτωρ, καὶ δι᾽ αὐτὴν Θεοπάτωρ Προφήτης Δαβίδ, (Ψαλ. μδ΄. 14.) ὁ πάντων τῶν ἀπ᾽ αἰῶνος ᾠδικῶν ἐνθεώτατος· Πλούσιοι δὲ τοῦ λαοῦ, οἰκειότατα καὶ προσφυέστατα δύνανται νὰ λογισθῶσιν οἱ ἐν τῷ παρόντι Θεοτοκαρίῳ περιεχόμενοι Ἱεροὶ καὶ θεσπέσιοι μελῳδοί· διότι οὗτοί εἰσιν οἱ ἐκ τοῦ κοινοῦ καὶ χύδην λαοῦ ἀριστίνδην ἐκλελεγμένοι, καὶ πλούσιοι ἀληθῶς, πλήρεις, οὐχὶ μόνον τῶν χαρισμάτων τῆς θύραθεν σοφίας καὶ γνώσεως, ἀλλὰ πολλῷ μᾶλλον τῆς ἁγιότητος, καὶ τῶν λοιπῶν θεοειδῶν καὶ ποικίλων δωρεῶν τοῦ Ἁγίου Πνεύματος, οἵτινες λιτανεύουσι, καὶ ὑμνολογοῦσι τὸ πρόσωπον τῆς Ἀειπαρθένου Μαρίας διὰ τῶν Θεοκροτήτων τούτων καὶ μελισταγῶν ᾀσμάτων.

Λέγω δή, Ἀνδρέας ὁ Κρήτης, ὁ Ἀρχηγὸς τῶν μελῳδῶν ἁπάντων, καὶ Κύκνος τῆς Ἐκκλησίας ὁ λιγυρόφωνος· Ἰωάννης ὁ Δαμασκηνός, ἡ μουσικωτάτη καὶ γλυκύφωνος τοῦ Χριστοῦ Ἀηδών. Θεοφάνης Νικαίας καὶ Γραπτός, ὁ ἡδύλαλος καὶ ᾠδικώτατος Κόττυφος. Ἰωσὴφ ὁ ὑμνογράφος, ἡ πολύφωνος καὶ τορόφωνος τῶν πιστῶν Χελιδών. Ἰωάννης Εὐχαΐτων, ἡ μελίφωνος καὶ θελκτήριος Σειρὴν τοῦ Ἁγίου Πνεύματος. Μητροφάνης Σμύρνης, ὁ εὔλαλος τῆς Ἐκκλησίας Ἀλεκτρυών. Θεόδωρος στουδίτης, ὁ μουσικὸς Τέττιξ τῶν Ὀρθοδόξων. Φώτιος Κωνσταντινουπόλεως, ὁ Κωτίλος, καὶ ᾠδικὸς Ὄρνις τῆς Ἐκκλησίας. Γεώργιος Νικομηδείας, ἡ εὔηχος Κιθάρα καὶ καλλικέλαδος. Θεόκτιστος στουδίτης, τὸ δεκάχορδον Ψαλτήριον. Παῦλος ὁ Ἀμορίου, ἡ λιγυρὰ λύρα τοῦ Πνεύματος. Νικόλαος Κατασκεπηνός, ἡ πνευματικὴ Κιννύρα καὶ ἐναρμόνιος. Ἀθανάσιος Κωνσταντινουπόλεως, τὸ ἐμπνεόμενον Ὄργανον ἀπὸ τὰς αὔρας τοῦ Παρακλήτου. Ἰγνάτιος Κωνσταντινουπόλεως, τὸ Ἱερὸν καὶ ἠχολογικὸν Τύμπανον. Μάρκος ὁ Ἐφέσου, ἡ μεγαλόφωνος Σάλπιγξ. Θεόδωρος λάσκαρις, ὁ ἡδύφωνος Σύριγξ. Μανουὴλ ὁ ῥήτωρ, τὸ ἀλαλακτικὸν Κύμβαλον. Κλήμης, ἡ μελίφθογγος τοῦ Πνεύματος Νάβλα. Ἠλίας ἔκδικος, ἡ τερπνὴ Σαμβύκη τῆς χάριτος. Καλλίνικος Ἡρακλείας, ὁ Ποιμενικὸς αὐλὸς καὶ γλυκύλαλος. Νικόλαος ἕτερος, ὁ ἐαρινὸς Σπῖνος καὶ λιγυρόφθογγος. Καὶ Θέκλα, ἡ γλυκυτάτη Ἠχώ.

Καὶ καθὼς ἐν τῷ παλαιῷ Νόμῳ ὁ Προφητάναξ Δαβίδ, συνοδευόμενος ὑπὸ τῶν υἱῶν τοῦ Ἀσὰφ καὶ τοῦ Ἰδιθοὺμ, καὶ τῶν λοιπῶν χοράρχων καὶ ψαλμῳδῶν, ἔψαλλε καὶ ἐμελῴδει τοὺς ἑαυτοῦ ψαλμοὺς ἐνώπιον τῆς Τυπικῆς Κιβωτοῦ· ὁ δὲ συνακολουθῶν λαός, λαμβάνοντες παρ᾽ αὐτῶν τὰς ἀφορμάς, συνέψαλλον καὶ αὐτοί· οὕτω καὶ ἐν τῇ Νέᾳ Χάριτι τοῦ Εὐαγγελίου οἱ πλούσιοι τοῦ λαοῦ, οἱ Ἱεροί, λέγω, οὗτοι ᾀσματογράφοι καὶ μελῳδοί, οἱ μὲν τὸ Δώριον μέλος ᾄδοντες· οἱ δὲ τὸ Λύδιον· ἕτεροι τὸν Φρύγιον ᾀσματίζοντες ἦχον· ἄλλοι τὸν Μιξολύδιον· οἱ δὲ τοὺς τούτων πλαγίους· οἱ δὲ τὸν λόγον τοῦ ἡμιολίου φυλάττοντες· οἱ δὲ τὸν τοῦ ἐπιτρίτου, ἢ τὸν τοῦ ἐπογδόου, ἢ τὸν τοῦ διπλασίου, καὶ τὴν δὶς διὰ πασῶν συμφωνίαν· καὶ ἁπλῶς εἰπεῖν, ἅπαντας τοὺς ἁρμονικοὺς λόγους ταῖς ἰδίαις αὐτῶν συναρμόσαντες μελῳδίαις μουσικώτατα, κοινῇ πάντες, νῦν μὲν ἀντιφωνοῦντες, νῦν δὲ συμφωνοῦντες, οὕτως ἐκ μιᾶς ὀκτωήχου μουσικῆς ἑξηκονταδύω Ἀσματικῶν κανόνων, ἓν μέλος παναρμόνιον συγκροτοῦσι καὶ πάγχορδον, ἔμπροσθεν τῆς ἀληθοῦς καὶ ἐμψύχου Κιβωτοῦ τοῦ Θεοῦ, ἤτοι τῆς βασιλίσσης τῶν οὐρανῶν Θεοτόκου, λιτανεύοντες καὶ ὑμνολογοῦντες τὸ Θεομητορικὸν Αὐτῆς πρόσωπον, διὰ τῶν Θεομητροπρεπεστάτων ᾀσμάτων καὶ ἐγκωμίων, καὶ τὴν ἀπροσμάχητον Αὐτῆς πρεσβείαν ἐξαιτούμενοι διὰ τῶν παρακλητικωτάτων καὶ λίαν κατανυκτικῶν λόγων.

Κατὰ μίμησιν δὲ τῶν ἐν τῷ χορῷ Κορυφαίων, προηγουμένων τε καὶ χοραυλούντων τούτων, καὶ ὁ λοιπὸς ἅπας Χριστώνυμος τοῦ Κυρίου λαός, τὰ αὐτὰ ᾄσματα δανειζόμενοι, συνηχοῦσι καὶ αὐτοὶ καὶ δοξολογοῦσι τὴν Θεομήτορα, τὴν προστασίαν αὐτῆς ἐπικαλούμενοι, καὶ βοήθειαν ἐν παντὶ καιρῷ καὶ περιστάσει. Διὸ καὶ ὁ Προφήτης Δαβίδ, προφητεύσας τοὺς Ἱεροὺς τούτους χοράρχας διὰ τοῦ ἀνωτέρου ῥητοῦ, ἐπιφέρει ἀκολούθως, ὅτι καὶ οἱ λοιποὶ χριστώνυμοι λαοὶ παρὰ τούτων λήψονται τὰς ἀφορμὰς τοῦ ἐξομολογεῖσθαι, καὶ δοξολογεῖν εἰς αἰῶνας τὴν Ἀειπάρθενον, λέγων "Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος", καὶ τοῦτο βεβαίως τὸ ῥητὸν πρὸς τὴν Θεοτόκον ἀποτείνεται, ὡς ἑρμηνεύει αὐτὸ ἐν τῷ πρώτῳ λόγῳ τῶν Εἰσοδίων ὁ μέγας τῆς Θεσσαλονίκης Γρηγόριος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τοὺς δ᾽ ἀσματικοὺς αὐτῶν κανόνας ἐν πολ[illegible] διαφόροις χειρογράφοις Θεοτοκαρίοις τῶν Ἱερῶν καὶ Βασιλικῶν τοῦ Ἁγίου Ὄρους Μονῶν διεσπαρμένους δ.[illegible], καὶ συλλεγέντας εἰς ἓν μετὰ πολλοῦ πόνου καὶ σπουδῆς, Θεοσεβής τις καὶ φιλόχριστος ἀδελφὸς, φιλοτίμῳ δαπάνῃ εἰς φῶς ἐξέδωκεν ἅπαντας, πρὸς δόξαν τῆς Ἀειπαρθένου, καὶ κοινὴν ἁπάντων τῶν Ὀρθοδόξων καὶ εὐλαβῶν τῆς Θεοτόκου ἐραστῶν ὠφέλειαν.

Καὶ ὡς ἐξ ἑνὸς λειμῶνος ἀνθεμόεντος ὡραῖός τις καὶ ποικίλος στέφανος ἐκ τῶν ἐκεῖσε μυριπνόων πλεκόμενος καὶ τερπνῶν ἀνθέων προσφέρεται τῷ ἐπιγείῳ Βασιλεῖ, ὡς δῶρόν τι εὐχάριστον· οὕτω δὴ κἀνταῦθα ἐξ ἁπάντων τῶν ἀσματικῶν κανόνων τῆς Θεοτόκου, τῶν εὑρισκομένων ἐν τῷ Ἁγιωνύμῳ Ὄρει, τοῦ ἀλληγορικοῦ τῆς Ἀειπαρθένου παραδείσου, ὁ παρὼν ποικιλόχρους, ἀρωματόπνους, καὶ πολυανθὴς συνελέγη ΣΤΈΦΑΝΟΣ, καὶ μετὰ πολλοῦ πόθου καὶ εὐλαβείας τῇ Παντοβασιλίσσῃ ταύτῃ τῶν οὐρανῶν Θεοτόκῳ προσφέρεται, δῶρον αὐτῇ ποθεινότερον καὶ τοῦ χρυσοταλάντου καὶ βαρυτίμου στεφάνου τοῦ Μολχὸμ, ὃν ἔφερεν ὁ Βασιλεὺς Δαβὶδ ἐπὶ κεφαλῆς, καὶ τοῦ δωδεκαστέρου στεφάνου τῆς Ἀποκαλύψεως, καὶ ἁπλῶς εἰπεῖν, πάντων τῶν λιθομαργαροχρύσων ἐπὶ γῆς Βασιλικῶν στεφάνων.

Δέξασθε οὖν ἀδελφοὶ τὸ νέον τοῦτο καὶ περικαλλέστατον Θεοτοκάριον. Δέξασθε ἀπαξάπαντες, Ἱερωμένοι, Μοναχοί τε καὶ λαϊκοὶ, εὐέλπιδες ὄντες, ὅτι πάντες θέλετε μένει εὐχαριστημένοι, ἀναγινώσκοντες αὐτὸ πλείονι εὐλαβείᾳ τῆς ψυχῆς, καὶ πλείονι προθυμίᾳ καὶ κατανύξει καὶ χαρᾷ τῆς καρδίας, παρὰ τὸ παλαιὸν ἐκεῖνο Θεοτοκάριον, καί παρ αὐτὸ τὸ χειρόγραφον· πλείονι μὲν εὐλαβείᾳ, ὅτι ἑκάστῳ κανόνι ἐπιγράφεται ὁ ποιητὴς αὐτοῦ ὁ μελῳδήσας· πλείονι δὲ προθυμίᾳ καὶ κατανύξει καὶ χαρᾷ, ἕνεκα τῆς ποικιλίας, ὅτι τοσοῦτοι μελῳδοὶ, καθ᾽ ἡμέραν διάφοροι διασκεδάζουσι τὸν κόρον καὶ τὴν ἀκηδίαν, καὶ ἀποτελοῦσι τὴν ψυχὴν, κατὰ τὸν μέγαν Βασίλειον, νεαρωτέραν καὶ ἀκμάζουσαν. » Ἐν » μὲν τῇ ὁμαλότητι, πολλάκις που καὶ ἀκηδιᾷ ἡ ψυχὴ, καὶ ἀπομετεωρίζεται· ἐν δὲ τῇ ἐναλλαγῇ, καὶ τῷ ποικίλῳ » τῆς ψαλμῳδίας, νεαροποιεῖται αὐτῆς ἡ ἐπιθυμία, καὶ ἀνακαινίζεται τὸ νηφάλιον. « ( Ὅρ. κατὰ Πλάτ. λζ΄. ) (α.)

Ἔστω δὲ γνωστὸν τῇ ὑμετέρᾳ ἀγάπῃ, Ἀδελφοὶ, ὅτι ὅσῳ μᾶλλον διὰ τῶν ἀσματικῶν τούτων Κανόνων ὑμνολογεῖτε τὴν Θεομήτορα, καὶ ὅσῳ πλείονι κατανύξει, καὶ συντριβῇ τῆς καρδίας, τὰς ἐν τοῖς Κανόσι τούτοις διαφόρους ὑμῶν δεήσεις, τῇ ταπεινῇ τὴν καρδίαν, καὶ τοὺς ταπεινόφρονας ἀγαπώσῃ Κυρίᾳ προσφέρετε, τοσούτῳ μᾶλλον ἀπολαμβάνετε καὶ τὰς παρ᾽ αὐτῆς βοηθείας καὶ χάριτας· ἐν μὲν τῷ παρόντι αἰῶνι, λυτρούμενοι πάσης ἐναντίας περιστάσεως τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· ἐν δὲ τῷ μέλλοντι, λυτρούμενοι τῆς κολάσεως, καὶ τῆς Βασιλείας τῶν οὐρανῶν ἀξιούμενοι, κατὰ τὸν Θεολόγον τῆς Θεσσαλονίκης Γρηγόριον· προτιθεὶς γὰρ οὗτος τὸ ἀνώτερω ῥητὸν τοῦ Δαβὶδ, τὸ » Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » καὶ ἑρμηνεύων τοῦτο, λέ» γει· » Ὁρᾷς ἅπασαν τὴν Κτίσιν ἐξομολογουμένην τῇ Μητροπαρθένῳ ταύτῃ; καὶ οὐκ ἐν πεπερασμένοις αἰῶσιν, ἀλλ᾽ » εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος; συνορᾷν οὖν ἔστιν ἐντεῦθεν, ὡς οὐδὲ ἐκείνη λήξει, διὰ τοῦ παντὸς » αἰῶνος, εὖ ποιοῦσα πᾶσαν τὴν Κτίσιν. » ( λόγ. α΄. εἰς τὰ εἰσόδ. )

Τούτων δὲ τῶν καλῶν διὰ τῆς ἀναγνώσεως τούτου ἀπολαύοντες, εὔχεσθε καὶ ὑπὲρ τοῦ πρώτου τοῦτο εἰς φῶς ἐκδεδωκότος, καὶ ὑπὲρ τοῦ ἤδη τὸ δεύτερον μετατυπώσαντος, ὑπὸ τοῦ Πανδαμάτορος χρόνου εἰς παντελῆ ἔλλειψιν καταντῆσαν, καὶ εἰσέτι ὑπὲρ τῶν συνεργησάντων καὶ συνδραμόντων Ἀδελφῶν. Ἵνα πάντες ἐπίσης διὰ τῆς μεσιτείας τῆς Ἀειπαρθένου, τῆς ποθουμένης σωτηρίας ἀξιωθῶσι, χάριτι καὶ φιλανθρωπίᾳ, τοῦ ἐξ αὐτῆς τεχθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ Κράτος, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας, ἈΜΉΝ.

---

( α. ) Ἐπὶς τούτων, τὸ μὲν παλαιὸν τετυπωμένον Θεοτοκάριον ὑπάρχει ἀτελὲς, καθότι δεκατέσσαρες Κανόνες ἐκ τούτου λείπονται, καὶ μόνοι δύω ψάλλονται κατὰ πᾶν Σάββατον, καὶ Παρασκευὴν, δι᾽ ὅλης τῆς περιόδου τῶν ὀκτὼ ἤχων, Τοῦτο δὲ τέλειόν ἐστι, ὡς περιέχον καὶ τούτους

# ΘΕΟΤΟΚΑΡΙΟΝ

ΝΕΟΝ ΠΟΙΚΙΛΟΝ ΚΑΙ ΩΡΑΙΟΤΑΤΟΝ ΟΚΤΩΗΧΟΝ ΕΙΚΟΣΙΔΥΩ ΘΕΣΠΕΣΙΩΝ

ΚΑΙ

ΙΕΡΩΝ ΜΕΛΩΔΩΝ.

## ΑΡΧΗ ΤΟΥ Α΄. ΗΧΟΥ.

Τῷ Σαββάτῳ ἑσπέρας,

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ.

Οὗ ἡ μὲν μέθοδος τοιαύτη

Ἐν τῷ α΄. τροπαρίῳ ἑκάστης ᾠδῆς, δέεται ὁ ἁμαρτωλὸς πρὸς τὴν Θεοτόκον. Ἐν τῷ β΄, δέεται ἡ Θεοτόκος πρὸς τὸν Χριστόν. Ἐν τῷ γ΄. ἀποκρίνεται ὁ Χριστὸς πρὸς τὴν Θεοτόκον. Καὶ ἐν τῷ δ΄. ἀποκρίνεται ἡ Θεοτόκος πρὸς τὸν ἁμαρτωλόν.

Ἡ δὲ ἀκροστιχίς. „Δέσποινα νεῦσον πρὸς λιτὰς Θεοδώρου,,.

Ὠδὴ, α΄. Ἦχος, α΄. Ὠδὴν ἐπινίκιον. Ὁ ἁμαρτωλὸς πρὸς τὴν Θεοτόκον.

ΔΟΧΕΙΟΝ τῆς φύσεως τῆς ἀχωρήτου, Χριστὸν ἐκδυσώπησον, ἵνα πυρὸς ῥύσηταί, τοῦ ἀφεγγοῦς με ἁγνὴ, καὶ ἀναδείξῃ κοινωνὸν τῆς Βασιλείας αὐτοῦ.

Ἡ Θεοτόκος πρὸς τὸν Χριστόν.

Ἐμὴν δέξαι δέησιν υἱὲ καὶ λόγε, καὶ ῥῦσαι κολάσεως τὸν βοῶντα δοῦλόν σου, πρός με ἐκ βάθους ψυχῆς, καὶ καταξίωσον αὐτὸν τῆς Βασιλείας σου.

Ὁ Χριστὸς πρὸς τὴν Θεοτόκον.

Σὺ Μῆτερ ἐλέους με πηγὴν γινώσκεις· καὶ γὰρ τοὺς καθ' ὥραν μοι τῷ Δεσπότῃ πταίοντας, ἁμαρτωλοὺς ἐλεῶ· ἀλλ' οὗτος λίαν με αἰσχροῖς, παραπικραίνει κακοῖς.

Ἡ Θεοτόκος πρὸς τὸν ἁμαρτωλόν.

Πολλοῖς παραπτώμασι καὶ ἀτοπίαις, αἰσχραῖς παρεπίκρανας, τὸν υἱόν μου ὅθεν σοι, εἰς ἀγανάκτησιν νῦν, κεκίνηται καὶ εἰς ὀργὴν ἡ εὐσπλαγχνία αὐτοῦ.

Ὠδὴ, γ΄. Τῷ πρὸ τῶν αἰώνων.

Ὅλον μου τὸν βίον, ἀληθῶς ἐν κακοῖς ἐδαπάνησα· καὶ διὰ τοῦτό σοι κραυγάζω, τὸν υἱόν

σου δυσώπει, ἁγνὴ ἵνα ὡς τὸν ἄσωτον, ἀνακαλέσῃ καὶ σώσῃ με νῦν, κείμενον τοῖς πταίσμασιν.

Ἱλαθι Παντάναξ, ὁ τεχθεὶς ἀποῤῥήτως ἐκ μήτρας μου, καὶ κατοικτείρησον σὸν δοῦλον, ὡς τὸν ἄσωτον πάλαι, υἱὸν καὶ δεῖξον πανάγαθε, τῆς δεξιᾶς παραστάτην τῆς σῆς, ἐν ἡμέρᾳ κρίσεως.

Νουνεχῶς ὦ Μῆτερ, ἐκβοῶ σοι κἀγὼ ἐπακοῦσαί μου· ὁ ἀσωτίαις ἐμβιώσας, ἐν θερμῇ μετανοίᾳ, ἐλθὼν ἔκραζε τὸ ἥμαρτον· ἀλλ᾽ οὗτος κἂν σοι βοᾷ μεταγνούς, ἐν ὑστέροις ψεύδεται.

Ἃ μοι ἔφης εἶπον, τῷ υἱῷ μου κραυγάζουσα ἵνα σε, καταξιώσῃ Βασιλείας· ἀλλ᾽ αὐτός μοι ἀντέφη· θερμῇ πίστει οὐ προσῆλθέ μοι, καὶ διὰ τοῦτο ἐκπέμπω αὐτὸν ἀπὸ τοῦ προσώπου μου.

Ωδή, δ'. Ἐν Πνεύματι προβλέπων.

Νοήσας ὦ Παρθένε τὴν δύναμιν τὴν σήν, μετὰ δέους κράζω σοι τῇ μόνῃ ἀγαθῇ· εἰ καὶ μετάνοιαν ὅλως θερμὴν οὐκ ἔχω· ἀλλὰ ταῖς σαῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις, δίδου μοι τελείαν διόρθωσιν.

Ἐπάκουσον ὁ φύσει φιλάνθρωπος Θεός, τῆς Μητρός σου Δέσποτα βοώσης ἐκτενῶς, καὶ τὸν σὸν δοῦλον ἐκλύτρωσαι καταδίκης· εἰ δὲ καὶ πίστιν οὐ κέκτηται τὴν τελείαν, ταύτην ὡς Θεὸς αὐτῷ δώρησαι.

Ὑπόθεσιν ὦ Μῆτερ αὐτῷ παντοδαπήν, τοῦ σωθῆναι δέδωκα· ἀλλ᾽ οὗτος οὐκ ἐᾷ τὰς ἁμαρτίας, εἰσῆλθε καὶ ἐν θανάτῳ· καὶ διὰ τοῦτο οὐδὲ δύναται σωθῆναι, ἕως οὗ εἰς πῦρ ἀπελεύσεται.

Σὲ νῦν ἐπιγινώσκω αἰτίαν τῆς σαυτοῦ, ἀπωλείας ὥς φησιν ὁ θεῖός μου υἱός· σὺ γὰρ κατάκεισαι ὅλως τῇ ἁμαρτίᾳ, καὶ παρεδόθης τελείως τῇ ῥαθυμίᾳ· τίς ἐξαναστήσει σε κείμενον.

Ωδή, ε'. Θεὸς ὢν εἰρήνης.

Ὁδοὺς μετανοίας, Παρθένε ποθῶ, διατρίβειν ἀεὶ τὰς φερούσας με, ζωὴν πρὸς ἀτελεύτητον· ἀλλ᾽ αὖθις τὰ δεινά, συστήματα δαιμόνων, καθέλκουσι κρημνίσαι, εἰς βυθὸν ἁμαρτίας, καὶ ἀπωλείας δεινὸν βόρβορον.

Νεκρώσας τὸν θάνατον σῶτερ τὸ πρίν, τὸν Ἀδὰμ τῶν δεσμῶν ἠλευθέρωσας· δι᾽ ὃ καὶ νῦν τὸν δοῦλόν σου, υἱέ μου δυσωπῶ, ἐξάρπασον δαιμόνων τῶν ἐπηρεαζόντων· αὐτοὶ γὰρ οὐκ ἐῶσι μετανοῆσαί τινα πώποτε.

Πανύμνητε Μῆτερ βοῶ σοι κἀγώ· προσευχῇ καὶ νηστείᾳ ἐξέρχονται, τὰ πλήθη τὰ παμπόνηρα δαιμόνων ἐξ αὐτοῦ· ἀλλ᾽ οὗτος ἐγκρατείᾳ, δεήσει καὶ ἁγνείᾳ, μὴ καθάρας τὸ σῶμα, δαιμόνων φεῦ γέγονε σπήλαιον.

Ῥημάτων τῶν πρὶν τοῦ υἱοῦ μου καλῶς, ἐνωτίζου καὶ γνῶθι τὰ δέοντα· ἡνίκα γὰρ οὐκ ἴσχυσαν οἱ τούτου μαθηταί, τὸ πνεῦμα ἐκδιῶξαι, ἐβόα τούτοις λέγων· προσευχῇ καὶ νηστείᾳ, δαιμόνων γένος ἐκδιώκεται.

Ωδή, ς'. Τὸν προφήτην.

Οὐ ῥημάτων εὐπορῶ, ἀρετῶν τε ἀπορῶ· οὐ γὰρ στέργω προσευχήν, καὶ νηστείαν ἐκτελεῖν,

θεόνυμφε· καὶ διὰ τοῦτο πρὸς σὲ κατέφυγον.

Σύνες εὔσπλαγχνε υἱέ, σῆς μητρὸς ἐκδυσωπῶ· ὁ προστρέχων ἐπ' ἐμέ, χρηστῶν ἔργων ἀπορεῖ, καὶ κράζει μοι· οὐκ ἔχω πλὴν σου ἐλπίδα Δέσποινα.

Λιτανεύουσα θερμῶς, παῦσαι Μῆτερ τοῦ λαλεῖν· καὶ γὰρ οὗτος ἀφορῶν ὅτι εὔσπλαγχνός εἰμι, μολύνεται, μὴ ἐπιβλέπων εἰς τὴν ὀργὴν τὴν ἐμήν.

Ἱκετεύω ὑπὲρ σοῦ, τὸν υἱόν μου καὶ Θεόν, ἵνα τύχῃς ἱλασμοῦ· ἀλλ' αὐτός μοι ἐκβοᾷ, τοῦ παύσασθαι, καὶ μὴ πρεσβεύειν εἰς τὸ σωθῆναί σε.

Κάθισμα. Τὸν τάφον σου σωτήρ.

Παράδεισον ἐν γῇ, λογικόν σε φυτεύσας, Χριστὸς ὁ φυτουργός, Παραδείσου τοῦ πρώτου, ἐν μέσῳ σου Δέσποινα, ὡς ζωῆς ξύλον ἔφυσεν· ὃν ἱκέτευε, τοῦ τῆς τρυφῆς Παραδείσου, ἀξιῶσαί με, καὶ ἐφ' ὑδάτων ἐκθρέψαι, τερπνῆς ἀναπαύσεως.

Ὠδή, ζ΄. Οἱ παῖδες εὐσεβείᾳ.

Τὴν πᾶσαν μου ἐλπίδα, ἐπὶ σὲ ἀνατίθημι Δέσποινα, καὶ μὴ ἀπώσῃ εἰς βυθόν, ἀπωλείας με τὸν δείλαιον· ἀλλ' ἀνάστρεψον τῷ σῷ βοῶσα πάλιν υἱῷ· μὴ ἀπολέσῃς τὸ πλάσμα τῶν χειρῶν σου.

Ἀμέτρητον ὡς ἔχων, εὐσπλαγχνίας τὸ πέλαγος Δέσποτα· δέξαι με πάλιν δυσωπῶ, σὲ τὸν μόνον εὐδιάλλακτον, καὶ οἰκτείρησον τῶν σῶν χειρῶν τὸ ποίημα, ὁ οἰκτειρήσας ποτὲ τὴν Χαναναίαν.

Ἱλάσκομαι καὶ σῴζω, τὸν ἐν πόθῳ πολλῷ προσερχόμενον· καὶ γὰρ οὐ θέλω τὸ ἐμόν, ἀπωλέσθαι πλάσμα πώποτε· εἰς τὸ σῶσαι γὰρ αὐτό, ὅλος ἐτέχθην ἐκ σοῦ· ἀλλ' οὗτος πόῤῥω, τῶν ἔργων μου ὑπάρχει.

Σοφία τοῦ ὑψίστου, προϋπάρχων ὁ υἱός μου γέγονεν, ἄνθρωπος ὅλος ἐξ ἐμοῦ· ἵνα σώσῃ τοὺς φυλάσσοντας, μετὰ πίστεως θερμῆς τὸ θεῖον βάπτισμα· ἀλλά σὺ τούτων ἀμέτοχος ἐδείχθης.

Ὠδή, η΄. Ὃν φρίττουσιν Ἄγγελοι.

Θαῤῥήσας προσῆλθόν σοι Παρθένε θεωρῶν, τὸν σὸν υἱὸν σώσαντα, τὴν πόρνην καὶ ληστήν· αὐτοὶ γὰρ νομίμως οὐδὲν ἔργον χρηστόν, ἔπραξαν ἐν βίῳ, ἀλλ' ἔτυχον συγγνώμης.

Ἐξ ὕψους ἐπίβλεψον εἰσάκουσον τῆς σῆς Μητρὸς δεομένης σου, καὶ ῥῦσαι τοῦ πυρός, τὸν δοῦλόν σου τοῦτον ὡς τὴν πόρνην τὸ πρίν, καὶ ὡς ἐλυτρώσω, ληστὴν ἐν τῷ σταυρῷ σου.

Ὁ πάλαι κρεμάμενος ληστὴς ἐν τῷ Σταυρῷ, ἐν πίστει ἐκραύγαζε τὸ μνήσθητι κἀμοῦ· ἡ πόρνη δὲ πάλιν τῶν δακρύων πηγάς, ἔβλυζεν ἀλλ' οὗτος, αὐτοῖς οὐχ ὡμοιώθη.

Δακρύουσαν σέσωκε τὴν πόρνην ὁ Χριστός· ὡσαύτως πιστεύσαντα ληστὴν ἐν τῷ σταυρῷ· εἰ οὖν θέλεις ἄρτι σωτηρίας τυχεῖν, πρόσδραμε Κυρίῳ, σὺν δάκρυσι καὶ πίστει.

Αἰνοῦμεν. Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς Κτίστην καὶ Κύριον ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ΄. Τὴν φωτοφόρον νεφέλην.

Ὤφθην ἁπάντων ἀνθρώπων, ἁμαρτωλότερος Κόρη, καὶ διὰ τοῦτο προσελθεῖν, τῷ υἱῷ σου αἰδοῦμαι· ἀλλὰ δυσώπησον αὐτὸν, καὶ ἵλεων ποίησον, τοῦ δέξασθαι, ἐν θερμῇ με τῇ πίστει, καὶ ἐν πόθῳ προσερχόμενον αὐτῷ.

Ρῦσαι κολάσεως λόγε, τὸν προσελθόντα σοι δοῦλον, καὶ μὴ μνησθῇς ἀνομιῶν, τῶν αὐτοῦ δυσωπῶ σε· εἰ γὰρ καὶ ἥμαρτε Σωτὴρ· ἀλλά μοι προσπέφευγε, καὶ δέομαι· δι᾽ ἐμὲ τοῦτον δέξαι, ὁ τοῖς πᾶσι τὰ αἰτήματα πληρῶν.

Οὐκ ἔστιν ἄξιος Μῆτερ, ὁ προσφυγών σοι ἐλέους· καὶ γὰρ ἀνθρώπων με οὐδεὶς, ὡς αὐτὸς παροργίζει· ἀλλὰ πρεσβείαις σου σεπταῖς, αὐτὸν τῆς κολάσεως, ἀμέτοχον, ἐν τῇ κρίσει ποιήσω, εἰ προσάξει μετανοίας μοι καρπούς.

Ὑπὸ τὸν ᾅδην ὑπάρχων, ἀνεβιβάσθης πρὸς ὕψος, ταῖς πρὸς τὸν θεῖόν μου υἱὸν, ἱκεσίαις καὶ πρόσχες, μὴ τοῖς προτέροις σου δεινοῖς, ἐμπέσῃς ἐγκλήμασιν· ἀλλ᾽ ἄπελθε, εἰς ὁδοὺς μετανοίας, μήπως πάλιν τῇ γεέννῃ ἐμβληθῇς.

Προσόμοιον. Τῶν Οὐρανίων ταγμάτων.

Χαρὰ τοῦ κόσμου ὑπάρχεις, ἁμαρτωλῶν ὁ λιμήν· χειμαζομένων ῥύστις, Θεοτόκε παρθένε· δέξαι οὖν βοῶ σοι κἀμοῦ τὴν εὐχὴν, καὶ τὴν δέησιν ἄχραντε, ἣν καὶ πρόσαγαγε τάχει τῷ σῷ υἱῷ, ἵνα σώσῃ με τὸν ἄσωτον.

Χαρᾶς αἰτία μοι πάσης υἱέ μου φίλτατε, συγχώρησιν πταισμάτων, δώρησαι τῷ σῷ δούλῳ· ἵνα γνῶσι πάντες ὅτι πρὸς σὲ, παῤῥησίαν ὡς Μήτηρ σου, μεγίστην ἔχω Χριστέ μου τοῦ δυσωπεῖν, ὑπὲρ πάντας τοὺς ἁγίους σου.

Χαρᾶς δοχεῖον ὦ Μῆτερ, τῇ σῇ δεήσει καμφθεὶς, τὴν ἄφεσιν πταισμάτων, τῷ ἀγνώμονι τούτῳ, δίδωμι καὶ ἄφες τοῦ ἐκβοᾶν· ἀλλ᾽ εἰπὲ τούτῳ παύσασθαι, τοῦ ἁμαρτάνειν καὶ ἕλκειν με πρὸς ὀργήν· φύσει γὰρ εὔσπλαγχνος πέφυκα.

Ἰδοὺ τὴν ἄφεσιν ἔσχες τῶν ἐγκλημάτων σου, ἐμοῦ λιταῖς καὶ πρόσχες, τὸν ὑπόλοιπον βίον, θεάρεστον τελέσαι ὅπως τρυφῆς, ἀπολαύσῃς τὴν εὔκλειαν, ἐν Παραδείσῳ σὺν πᾶσι τοῖς ἐκλεκτοῖς, τὴν οὐδ᾽ ὅλως λῆξιν ἔχουσαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ.

Οὗ ἡ ἀκροστιχίς.

"Θρήνων ἐμῶν δέχοιο, τὸν πρῶτον Κόρη. Ναί,,.

Ωδὴ, α΄. ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος.

ΘΡΗΝΩΝ ἀπαρχὰς δεῦρο ψυχὴ, τῇ Θεοτόκῳ προσοίσωμεν σήμερον· αὕτη γὰρ ἐῤῥύσατο, τῆς τοῦ Ἀδὰμ κατάρας τὸ ἀνθρώπινον, καὶ τὴν εὐλογίαν, καὶ χαρμονὴν ἐδωρήσατο.

Ῥείθροις Ἰορδάνου τὰ ἐμὰ, παρισωθέντα οὐδόλως ἰχύσουσι, δάκρυα ἐκνίψασθαι, τὸν τῶν ἐμῶν ἁμαρτημάτων βόρβορον· ἀλλὰ σὺ παρθένε, τῷ σῷ ἐλέει με κάθαρον.

Ἥλιον γεννήσασα Χριστὸν δικαιοσύνης παρθένε τὸν ἄδυτον, φώτισόν μου δέομαι, τὰ τῆς ψυχῆς ἠμαυρωμένα ὄμματα, ἡδονῶν ἀχλύϊ, καὶ ἁμαρτίας παχύτητι.

Νόμους τοῦ Δεσπότου παραβὰς, πᾶσαν ἰδέαν κακίας ἐτέλεσα· καὶ νῦν ἐπιστρέφοντα, μήμε παρίδῃς τὸν ἀχρεῖον δοῦλόν σου, Δέσποινα Μαρία, ἀλλὰ οἰκτείρασα σῶσόν με.

Ωδὴ, γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν·

Ὡς πάλαι τὴν Εὔαν εὑρηκὼς, ὁ ὄφις με ἠπάτησε, καὶ ἡδονῆς τῇ γεύσει ἐξέβαλε τοῦ παραδείσου τῆς θείας γνώσεως· ἡ Χριστὸν κυήσασα, τὸν Ἀδὰμ τὸν δεύτερον, πρὸς ζωὴν ἐπανάγαγε Δέσποινα.

Νοσήσας τοῦ Κάϊν δυστυχῶς, παρθένε τὴν ἀπόνοιαν, ὡς ἀδελφὸν τὸν νοῦν μου ἀπέκτεινα, φιληδονίας ξίφει χρησάμενος, καὶ φθονήσας κάκιστα, τούτου τὴν ἀνάβασιν, ἀλλὰ σὺ ὡς φιλάνθρωπος σῶσόν με.

Ἐθρήνησε πάλαι ὁ Ἀδὰμ, Ἐδὲμ ἀποικιζόμενος, Χερουβὶμ τοῦ τὴν εἴσοδον φράττοντος πεσὼν ἐγὼ δὲ τῆς θείας γνώσεως, θρηνῶν ἱκετεύω σε, σὺν ἁγίοις πρέσβευε, Θεομῆτορ παθῶν λυτρωθῆναί με.

Μελέτη θανάτου ὦ ψυχὴ, ἀθλία προηγείσθω σου, ἐν ταῖς τοῦ βίου πράξεσι πάντοτε, καὶ θρῆνον λάβε, καὶ πένθος σύστησον, ἔχουσα μεσίτριαν, τὴν ἁγνὴν καὶ ἄμωμον, πρὸς Χριστὸν τὸν ἐκ ταύτης βλαστήσαντα.

Ωδὴ, δ΄. Ὅρος σε τῇ χάριτι.

Ὢ τῶν σῶν θαυμάτων ἀπειρόγαμε Δέσποινα! ὅτι μεσίτρια βροτῶν, ἁμαρτωλῶν πρὸς τὸν ἐκ σοῦ τεχθέντα γεγένησαι· διὸ κἀμὲ ὑπὲρ βροτοὺς ἁμαρτήσαντα, καταλλαγῆναι αὐτῷ ἐκδυσώπησον.

Νέκρωσον Παρθένε τῆς σαρκός μου τὸ φρόνημα, καὶ τῶν παθῶν τὰς προσβολὰς καὶ τῶν δαιμόνων τὰς βουλὰς, ἀπράκτους ἀπέργασαι, καὶ τῆς ζωῆς τρίβους βαίνειν ὁδήγησον, ἡ τὴν ζωὴν τῶν ἁπάντων κυήσασα.

Δάκρυσι καθᾶραι μολυσμοὺς τῆς καρδίας μου, ταῖς προστασίαις τῶν σεπτῶν Ἀγγέλων ποίησον ἁγνὴ, ψυχῆς τε τὴν ζόφωσιν καὶ τοῦ νοὸς τὰς ἐκτροπὰς ἀνακάλεσαι, καὶ ἀπαθείας πρὸς τρίβον ὁδήγησον.

Ἔννοιαν αἰσχίσταις λογισμοῖς κατεμόλυνα, καὶ τὴν ψυχὴν ταῖς ἡδοναῖς, τοὺς ἐπὶ Νῶε ὑπερβὰς αἰσχροῖς ἀτοπήμασι· δὶ ὃ βοῶ Θεοκυῆτόρ με οἴκτειρον, κατακλυσμοῦ νοητοῦ διασῴζουσα.

Ωδὴ, ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Χαλεπῆς με ἐκ φλογὸς τῆς γεέννης ἐξάρπασον, ἡ τεκοῦσα τῆς Θεότητος πῦρ τὸ ἀπρόσιτον, καθ' ἡμᾶς γενόμενον, Θεανδρικῇ τῇ ὑποστάσει, Θεοκυῆτορ πανάμωμε.

Οὐ πτοοῦμαι τὰς μελλούσας κολάσεις ὁ ἄθλιος, οὐ τὸ σκότος οὐ βρυγμὸν τῶν ὀδόντων καὶ σκώληκα· οὐ τὸ πῦρ τὸ ἄσβεστον· δὶ ὃ αἰτοῦμαί σε Παρθένε, τούτων με πάντων ἐκλύτρωσαι.

Ἴασαί μου τῆς ψυχῆς τὰ ἀλγήματα Πάναγνε, ἡ τεκοῦσα τὸν τὰς νόσους ἡμῶν ἰασάμενον, τοῖς αὐτοῦ παθήμασι, τοῖς σωτηρίοις καὶ πανσέπτοις, ἵνα πιστῶς μεγαλύνωσε.

Οὐχ ὡς Λάμεχ νεανίσκον καὶ ἄνδρα ἀπέκτεινα, Θεομῆτορ ἀλλὰ νοῦν καὶ τὸν λόγον τοῖς πταίσμασι· μὴ οὖν ἡ ἐκδίκησις, ταμιευθήτω μου τῇ κρίσει, ἀλλὰ ἐνταῦθά με κάθαρον.

Ωδὴ, ς΄. Ἐκύκλωσεν ἡμᾶς.

Τὸ σῶμα κατεμόλυνα ταῖς πράξεσι· τὸν νοῦν ἐνθυμήσεσι· τὰς αἰσθήσεις τῇ ἀφῇ τῶν ἡδονῶν· τούτων μοι τὴν ἴασιν χορήγησον, τοῖς σταλαγμοῖς ἐμῶν δακρύων Θεοχαρίτωτε.

Ὁ χρόνος τῆς ζωῆς μου δεδαπάνηται ἐν ὕπνῳ καὶ ἀνέσεσι, καὶ τρυφῇ καὶ ῥεμβασμοῖς τῶν λογισμῶν· νῦν οὖν κἂν ἐν γήρᾳ με σωφρόνισον Μῆτερ Θεοῦ, καὶ πρὸς μετάνοιαν χειραγώγησον.

Νοήσας τῶν πρὸ νόμου τὴν ἀπόνοιαν, ἀφρόνως ἐπεχείρησα, ὡς πυργώματα τὰς πράξεις τὰς αἰσχρὰς, ἄλλην ἐπὶ ἄλλῃ συναρμόσασθαι. Σὺ οὖν ἁγνὴ τῷ θείῳ με συνέτισον Πνεύματι.

Παγίδα μοι κεκρύφασι Πανύμνητε, οἱ ὄντως ὑπερήφανοι· καὶ σχοινίοις τῶν ἐμῶν ἁμαρτιῶν, βρόχους τοῖς ποσί μου διετείναντο, οὓς ἀγαθὴ, ὡς ἀραχνίους μήτους διάλυσον.

Κάθισμα. Χορὸς Ἀγγελικός.

Ἐλπὶς Χριστιανῶν, ἀψευδὴς καὶ βεβαία· ἐλέους χορηγὲ, καὶ πηγὴ συμπαθείας, ἡ κλεῖς ἡ διανοίγουσα, τοῦ Θεοῦ τὴν χρηστότητα· πᾶσιν ἄνοιξον, τῆς εὐσπλαγχνίας τὴν πύλην· πᾶσι δώρησαι, τοῦ τῆς τρυφῆς Παραδείσου, τὴν εἴσοδον Δέσποινα.

Ωδὴ, ζ΄. Σὲ νοητήν.

Ῥῆξον ἁγνὴ δεσμοὺς τῆς καρδίας μου, λήθην καὶ ἄγνοιαν δεινὴν, καὶ τὴν πώρωσιν τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ψυχῆς, καὶ ἠλιθιότητα· δι' ὧν συνδεσμούμενος, ὁ νοῦς μου τρέχειν οὐ δύναται, πρὸς πλατυσμὸν θεωρίας, καὶ ὕψος θείας γνώσεως.

Ὢ τῶν ἐμῶν παθῶν καὶ κινήσεων! ὢ τῶν ἀμέτρων μου κακῶν! ποῖον αἶσχος αἰσχροποιὸν' οὐκ ἀφρόνως πέπραχα; ποῖον οὐκ ἐτέλεσα, ἡδυπαθείας ἁμάρτημα; σὺ οὖν ἁγνὴ κἂν ἐν γήρᾳ, μετάνοιάν μοι δώρησαι.

Τὴν ἐν ἐμοὶ ῥαθυμίαν Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπὸν, ταῖς ἀγρύπνοις σου πρὸς Θεὸν, δέομαι δεήσεσιν, ἄχραντε ἀπέλασον, καὶ μελῳδοῦντά με οἴκτηρον· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Οἴμοι ψυχή! πῶς ἀπηναισχύντησας, ὑπὲρ τὸν Χὰμ τὸν ἀναιδῆ! οὐκ ἐκάλυψας τὴν αἰδῶ, τοῦ σοὶ πλησιάζοντος, φύσει τε καὶ χάριτι ἀλλ' ἀπανθρώπως ἐφαύλισας· νῦν οὖν θερμῶς πρὸς τὴν εὔσπλαγχνον κόρην μετανόησον.

Ὠδὴ, η'. Ἐν καμίνῳ παῖδες.

Νεκρωθεῖσα τάλαινα ψυχὴ, δεινῶς τῇ ἀμελείᾳ· ἐγέρθητι ὡς ἐξ ὕπνου, καὶ μεσίτριαν ποιοῦ, τὴν μόνην ἀπείρανδρον Θεοτόκον· ὅπως σε τρόποις ζωώσῃ μετανοίας, καὶ τῆς ἀπαθείας καθυποδείξῃ τρίβους.

Κοίμισόν μου δὴ τὰς ἐμπαθεῖς ὀρέξεις, παθῶν τε τῶν ψυχοφθόρων τὰ ἰνδάλματα ἁγνὴ, εἰς τέλος ἐξάλειψον Θεομῆτορ· ἵνα δοξάζω ἀεὶ καὶ εὐλογῶ σε, τὴν μόνην αἰτίαν τῆς πάντων σωτηρίας.

Ὁλοτρόπως πᾶσαν ἡδονὴν, ἐτέλεσα ἀφρόνως, καὶ πάσας μου τὰς αἰσθήσεις κατεμόλυνα αἰσχρῶς· πρὸς σὲ τὴν ἀμόλυντον καταφεύγω, Δέσποινα πάντων ἁμαρτωλῶν προστάτις, ῥῦσαι τοῦ πυρός με, καὶ σκότους αἰωνίου.

Ῥαντισμῷ δακρύων μου ἁγνὴ, ἀπόπλυνον τὰ ἕλκη, καὶ τραύματα τῆς ψυχῆς μου ἡ τεκοῦσα τὸν Χριστὸν, τὸν λεπροὺς ἰώμενον καὶ αἱμόῤῥους, ὅπως ἀκούσω φωνῆς τῆς ποθουμένης· σῴζου τῇ σῇ πίστει, πορεύου εἰς εἰρήνην.

Ὠδὴ, θ'. Τύπον τῆς ἁγνῆς.

Ἤδη πρὸς τῷ τέλει γέγονα, τῶν χρονικῶν μου κόρη φεῦ μοι ὑπάρξεων· καὶ βαρούμενος ταῖς ἁμαρτίαις ἀπέρχομαι, εἰς ἀπείρους αἰῶνας κολάζεσθαι· ἡ τὸν Κριτὴν τεκοῦσα, τοῦτον ἱλέωσαί μοι Δέσποινα.

Νόμους τοῦ Θεοῦ ἠθέτησα, καὶ ἁμαρτίας νόμῳ αὐτὸν ἐδούλωσα, νόμῳ τοῦ νοὸς, οὐχ ὑποκύψας ὁ ἄθλιος, ἡ τοὺς νόμους λαθοῦσα τῆς φύσεως, ἐν τῷ σεπτῷ σου τόκῳ, νόμους σαρκός μου καθυπόταξον.

Ἆρον τὸ βαρὺ φορτίον μου, τῶν ἐγκλημάτων Θεοτόκε πανάμωμε· καὶ τὸν ἐλαφρὸν, ἁγνὴ ζυγὸν καταξίωσον, τοῦ υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με. καὶ τρίβον διοδεύειν, τὴν πρὸς τὴν ἄνω λῆξιν ἄγουσαν.

Ἵνα τὸν βυθὸν τὸν ἄπειρον, τῶν οἰκτιρμῶν ἐνδείξῃς τῆς σῆς χρηστότητος καὶ τὴν εὐσπλαγχνίαν, τοῦ υἱοῦ σου Πανύμνητε, ὑπὲρ πάντας κἀμὲ ἁμαρτήσαντα, συγχώρησίν μοι δίδου, καὶ παραδείσου τὴν κατοίκησιν.

Προσόμιον. Πανεύφημοι μάρτυρες.

Χαῖρε καθαρώτατον Θεοῦ, ἔμψυχον παλάτιον, καὶ φωτοφόρον Πανύμνητε. Χαῖρε ἀπείρανδρε. Χαῖρε θεία σκέπη. Χαῖρε τεῖχος ἄῤῥηκτον. Χαῖρε Θεὸν ἀῤῥήτως κυήσασα· Χαῖρε ἀνόρθωσις, τοῦ Ἀδὰμ καὶ Εὔας λύτρωσις. Χαῖρε πάντων πιστῶν τὸ κραταίωμα.

Χαῖρε θρόνε πύρινε Θεοῦ· Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα· καὶ κρῖνον εὔοσμον. Χαῖρε Παναγία, δι᾽ ἧς ἐλυτρώθημεν, τῆς πρῴην ἀποφάσεως Δέσποινα. Χαῖρε πανθαύμαστε, οἰκουμένης ἀγαλλίαμα. Χαῖρε πάντων ὀρθοδόξων καύχημα.

Χαῖρε ὁ λειμὼν ὁ εὐθαλὴς, καὶ εὐώδης ἄχραντε. Χαῖρε κυπρίζουσα ἄμπελε. Χαῖρε κατάκαρπε, ἐλαία Παρθένε. Χαῖρε ἡ μυρίπνοος, Θεοῦ φυταλιά. Χαῖρε σύνδενδρον, καὶ εὐσκιόφυλον ὄρος. Χαῖρε ἀειπάρθενε, τῶν χαρίτων ὁ κῆπος ὁ εὔχαρις.

Χαρᾶς τὴν καρδίαν μου ἁγνὴ, πλήρωσον ὡς εὔσπλαγχνος· καὶ τῶν δακρύων ἀπάλλαξον, χαρὰν ὡς τέξασα, μόνη Θεομῆτορ· καὶ δεινῶν ἐκ πάντων με, ἐξάγαγε τὸν δοῦλόν σου δέομαι· ἵνα δοξάζω σε· ἵνα πόθῳ μεγαλύνω σε, τὴν τῶν ὄντων πάντων ὑπερέχουσαν.

## ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ.

Ὠδὴ, α΄. Ἦχος, α΄. Χριστὸς γεννᾶται.

ΧΡΙΣΤΙΑΝΩΝ καταφύγιον· πιπτόντων ἐπανόρθωσις Πάναγνε· πταιόντων τὸ ἱλαστήριον· ῥῦσαί με καταδίκης τῆς φοβερᾶς, καὶ πυρὸς ἀσβέστου, τὴν αἰώνιον ζωὴν παρεχομένη μοι.

Ἐν ἀπογνώσει συνέχομαι, τὸ πλῆθος ἐννοῶν τῶν πταισμάτων μου, καὶ τὴν τοῦ Κριτοῦ ἀπόφασιν· Δέσποινα Θεοτόκε σύ μοι γενοῦ, θεία μεσιτεία, καταλλάσσουσα αὐτὸν τῇ εὐσπλαγχνίᾳ σου.

Παρθένε μόνη πανύμνητε· Παρθένε ἡ Θεὸν σωματώσασα· Παρθένε ἡ πᾶσι πρόξενος ζωῆς τῆς αἰωνίου λάμψον μοι φῶς, τὸ τῆς μετανοίας, διαλύουσα τὸν ζόφον τῶν πταισμάτων μου.

Ἰδοὺ πρὸς σὲ νῦν κατέφυγον, τὴν σκέπην μου καὶ θείαν ἀντίληψιν, τὰ σπλάγχνα τῆς σῆς μοι χάριτος, δεῖξον ἀνεῳγμένα, μὴ ὀργισθῇς μηδὲ παραβλέψῃς, μὴ ἐάσῃς με Παρθένε ἀπολλύμενον.

Ὠδὴ, γ΄. Τῷ πρὸ τῶν αἰώνων.

Πάντες οἱ Προφῆται, σὲ Μητέρα Θεοῦ ἀνεκήρυττον διὰ συμβόλων παραδόξων, ὧν ἡμεῖς τὰς ἐκβάσεις, τρανῶς ἰδόντες πιστεύομεν, καὶ ἐξαιτοῦμεν, τυχεῖν διὰ σοῦ, θείας ἱλαρότητος.

Ωφθης πλατυτέρα, οὐρανῶν συλλαβοῦσα τὸν πάντων Θεὸν, καὶ ἐν ἀγκάλαις σου συνέχεις, τὸν συνέχοντα πάντα, ἁγνὴ ὅθεν ἱκετεύω σε, τῶν συνεχόντων δεινῶν με παθῶν, τάχος ἐλευθέρωσον.

Σὺ τῶν ἐν ἀνάγκαις, καὶ ἐν θλίψεσι πρόμαχος πέφυκας· σὺ τῶν ἐν ζάλῃ τῇ τοῦ βίου, ἀγαθὴ κυβερνῆτις· διὸ ἱκετεύων κράζω σοι, τὴν σὴν βοήθειαν Κόρη ἁγνὴ, δώρησαι τῷ δούλῳ σου.

Δέσποινα τοῦ κόσμου, σωτηρία πιστῶν καὶ ἀντίληψις, τοὺς ἐκ βαθέων στεναγμούς μου, πεμπομένους καρδίας, πρὸς σὲ καὶ δάκρυα Πάναγνε, προσδεδεγμένη πταισμάτων πολλῶν, ῥῦσαί με καὶ θλίψεων.

Ωδὴ, δ'. Ῥάβδος ἐκ τῆς ῥίζης.

Μόνην σε πιστοὶ μετὰ Θεὸν, ἐλπίδα ἀκαταίσχυντον, καὶ προστασίαν Κόρη ἔχομεν, ταῖς σαῖς πρεσβείαις ἡμᾶς, λύτρωσαι ἐκ παντοίων, ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων, καὶ βλάβης καὶ πειρασμῶν· ἵνα σε ἀπαύστως δοξάζωμεν.

Υλῶδους ἐμφάσεως ἁγνὴ, τὸν νοῦν μου ἐκκαθάρασα, ἔρωτος θείου δεῖξον ἔμπλεων, τὰ θεῖα λέγειν ἀεὶ, φαντάζεσθαι τὰ θεῖα· τὰ θεῖα ποιεῖν ἐμμελῶς ἔργα, ὅπως ἐκφύγω φρικτὴν, καὶ διαιωνίζουσαν κόλασιν.

Οὐ κέκτημαι ἄλλην ἐπὶ γῆς, προστάτιν καὶ ὑπέρμαχον, καὶ τεῖχος ἀπροσμάχητον εἰμὴ σὲ μόνην ἁγνὴ, Θεοτόκε ἄχραντε· σὺ γάρ μοι ἐλπὶς καὶ σωτηρία, καὶ σκέπη καὶ βοηθὸς, καὶ παραπτωμάτων συγχώρησις.

Κατάβαλε θράσος πονηρὸν, ἐχθροῦ καὶ πανουργεύματα, τὰ κατ' ἐμοῦ ἐπιφερόμενα, καὶ ἔνδυσόν με τὴν σὴν, ἰσχὺν παναμώμητε, ἄτρωτον ἀεὶ διατηροῦσα, ἀπήμονα ἀβλαβῆ, τὸν εἰλικρινῶς σε γεραίροντα.

Ωδὴ, ε'. Θεὸς ὢν εἰρήνης.

Ανόρθωσις πάντων, πιπτόντων σὺ εἶ· ἀσθενούντων ταχεῖα ἐπίσκεψις· διὸ τοῖς παραπτώμασι πεσόντα χαλεπῶς, καὶ τὴν ψυχὴν νοσοῦντα, θεράπευσον καὶ σῶσον, ἀνορθοῦσά με Κόρη, τῇ παναλκεῖ χειρί σου Δέσποινα.

Σωτήρια ὅπλα, ἐξ ὕψους ταχὺ, δυσωπῶ σε Παρθένε παράσχου μοι, τὴν θείαν σου ἀντίληψιν καὶ σκέπην καὶ ἰσχὺν, μεθ' ὧν τοῦ ἀρχεκάκου, νικήσας πανουργίαν, σωτηρίας ἐνθέου, ἀξιωθῶ θεομακάριστε.

Παλάτιον θεῖον τοῦ λόγου ἁγνὴ, ἐμὲ τῶν πονηρῶν ἐργαστήριον, ὑπάρξαντα πνευμάτων διὰ πράξεων αἰσχρῶν, καὶ τούτων ἐκπληροῦντα, τὸ θέλημα ἀφρόνως, διὰ τῆς μετανοίας, δεῖξον Θεοῦ κατοικητήριον.

Εν ὥρᾳ ἐσχάτῃ τῆς ἐξόδου μου, καὶ ψυχῆς χωρισμοῦ ἐκ τοῦ σώματος, βοήθειά μοι φάνηθι καὶ πρόμαχος γενοῦ, τοὺς ἐπιτιθεμένους, ἐχθροὺς τοὺς ἀοράτους, ἁγνὴ ἀποσοβοῦσα, καὶ πρὸς Θεὸν χειραγωγοῦσά με.

Ωδὴ, ς'. Σπλάγχνων Ἰωνᾶν.

Πύλη θεϊκῆς, ἀκτῖνος σὺ πέφυκας, πηγή τε φωτὸς ἀδύτου γέγονας· τὸ γὰρ πλήρωμα,

τῆς Θεότητος ἅπαν ἐσκήνωσεν, ἀποῤῥήτως ἐν τῇ μήτρᾳ σου Πανάμωμε· οὗπερ φυσικὴν ἐνέργειαν, καὶ τὴν αἴγλην βραβεύεις τοῖς χρῄζουσιν.

Ἔστη μέχρι σοῦ, Παρθένε ὁ θάνατος· Ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας, τὸν δωρούμενον, καθαρῶς εἰς αὑτὸν τοῖς πιστεύουσι, τὴν ἀθάνατον καὶ θείαν ἀπολύτρωσιν· τοῦτον Παναγία αἴτησαι· λυτρωθῆναι πταισμάτων τοὺς δούλους σου.

Μύρου νοητοῦ, δοχεῖον γεγένησαι, τοῦ πᾶσαν τὴν γῆν εὐωδιάσαντος, τῆς Θεότητος, τοῖς ἀτμοῖς Παναγία θεόνυμφε· δι᾽ ὅπερ τῇ εὐωδίᾳ τῆς πρεσβείας σου, πᾶσαν ἀηδίαν ἔλασον, ἐκ ψυχῆς τῆς ἐμῆς παραπτώσεων.

Πῦρ τῶν ἡδονῶν, σφοδρῶς κατακαίει με, καὶ θλίβει ἀεὶ τὴν ταπεινήν μου ψυχήν, καὶ πρὸς ἄτοπον, ἐργασίαν συνωθεῖ καὶ ἄθεσμον· ἡ τὸ πῦρ τὸ θεϊκὸν ἀποκυήσασα, σβέσον τοῦτο καταμάρανον, ἡ ἐμὴ σωτηρία θεόνυμφε.

Κάθισμα. Τὸν τάφον σου Σωτήρ.

Λυχνία χρυσαυγής, τοῦ ἡλίου τῆς δόξης· λαμπὰς λευκοφαής, τοῦ φωτὸς τοῦ ἀδύτου, νεφέλη πυρσεύουσα, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τῆς καρδίας μου, ἀμβλυωπούσας τὰς κόρας, φωταγώγησον, μαρμαρυγαῖς ἀκηράτοις, καὶ θείοις πυρσεύμασιν.

Ὠδή, ζ΄. Οἱ παῖδες εὐσεβείᾳ.

Λαβὶς ἣν Ἡσαΐας, ὁ προφήτης πάλαι ἐθεάσατο, τὸν θεῖον ἄνθρακα Χριστὸν, ἐν κοιλίᾳ σὺ εἶ φέρουσα, πᾶσαν ὕλην ἁμαρτίας καταφλέγοντα, τῶν δὲ πιστῶν τὰς ψυχὰς φωταγωγοῦντα.

Ὡς ὄμβρος ἐπὶ πόκον, καταβὰς ἐν σῇ γαστρὶ σεσάρκωται, ὁ τῆς εἰρήνης ποταμός· ἡ πηγὴ τῆς ἀγαθότητος· ὁ σταγόνας ὑετοῦ ἐξαριθμούμενος· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεόνυμφε Μαρία, ἡ ἐλπὶς καὶ χαρὰ τῶν ὑμνούντων σε, τὰς τῶν πταισμάτων μου σειρὰς, διαῤῥήξασα πρεσβείαις σου, τῷ συνδέσμῳ τῆς ἀγάπης Χριστοῦ σύνδησον, τοὺς ἐναρέτους καρποὺς ἀνθηφορεῖν με.

Ἀνάγαγε Παρθένε, ἐκ βυθοῦ με τῶν αἰσχρῶν μου πράξεων, καὶ καταπράϋνον ἁγνὴ, τῶν παθῶν μου τὸ κλυδώνιον, καὶ καρδίας μου τὴν πώρωσιν διάλυσον, καὶ δώρησαί μοι πηγὴν τὴν τῶν δακρύων.

Ὠδή, η΄. Θαύματος ὑπερφυοῦς.

Μῶμος ἐν τῷ κάλλει σου οὐκ ἔστι Κόρη· σὺ γὰρ μόνη πανάχραντος ὤφθης, ἐξ αἰῶνος Ἄχραντε Παρθενίας μαρμαρυγαῖς, καταυγάζουσα τὸν κόσμον παρθενίας φωτί· διὸ ἀνυμνοῦντές σε κραυγάζομεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Στάμνον σε τὸ μάννα κεκτημένην, τῆς Θεότητος ἔγνωμεν Κόρη, κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν θρόνον Θεοῦ, καὶ παλάτιον καὶ γέφυραν μετάγουσαν, πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄγκυραν πανασφαλῆ σε κεκτημένοι, σωτηρίας ἡμῶν τὰς ἐλπίδας, ἐπὶ σοὶ πιστεύομεν, Θεοτόκε ἀλλὰ γενοῦ, τοῖς οἰκέταις σου λιμὴν καὶ τεῖχος ἄῤῥηκτον, καὶ πρὸς τὸ βοᾶν ἀπαύστως ἴθυνον· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄκουσον τοῦ ἐκ καρδίας στεναγμοῦ μου, ἐνωτίσθητι φωνῆς κλαυθμοῦ μου, Παναγία Δέσποινα, μὴ παρόψῃ τὸν συντριμμὸν, τῆς ἀθλίας μου ψυχῆς ἀλλὰ παράσχου μοι, τὴν τελείαν λύσιν τῶν πταισμάτων μου· καὶ χαρᾶς τῆς μελλούσης με ἀξίωσον· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„ Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον, οὐ γὰρ οὓς ἐδέξατο φλέ-
„ γει νέους, ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀνα-
„ μέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερ.

Ὠδὴ, θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ἵνα χαρμοσύνως ᾄσμασι, χαριστηρίοις Κόρη καταγεραίρω σε· ἵνα διὰ πάσης μου, ζωῆς μεγαλύνω σε, ἐξελοῦ με ἐκ στόματος λέοντος, δεινῶς ὠρυομένου, καὶ καταβρῶξαί με σφαδάζοντος.

Ὤφθης ἱερὸν ἀνάκτορον, καὶ καθαρὸν Παρθένε Χριστοῦ παλάτιον, τοῦ πρὸ τῶν αἰώνων, ἀληθῶς βασιλεύοντος, καὶ κρατοῦντος ἁπάσης τῆς κτίσεως· διό μου τὴν καρδίαν, ἐξ ἀκαθάρτων παθῶν κάθαρον.

Στῆσον τῆς σαρκὸς τὸ φρόνημα, καὶ τῶν παθῶν Παρθένε παῦσον τὸν τάραχον, τοῦ προσφεύγοντος, Θεογεννῆτορ τῇ σκέπῃ σου, καὶ ἐλπίδος κρηπῖδα σὲ ἔχοντος, καὶ θείαν προστασίαν, πεπλουτηκότος καὶ ἀντίληψιν·

Ἦρα τὴν ψυχήν μου Δέσποινα, πρὸς σὲ καὶ πάσῃ γνώμῃ ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην, εἰς αἰῶνα ὁ δοῦλός σου· μηδ᾽ ἐχθροί μου καταγελασάτωσαν, οἱ νοητοὶ ἐν ὥρᾳ, τῆς ἐκδημίας συλλαβόντες με.

Προσόμοιον. Τῶν οὐρανίων.

Χαῖρε Θεοῦ Παναγίου ναὲ Πανάγιε· Χαῖρε βασιλευόντων, τὸ ἀνίκητον θάρσος· ἡ πάντων προστασία τῶν γηγενῶν· Χαῖρε βάθος ἀμέτρητον· ἀκατανόητον ὕψος χαῖρε χαρὰ, θλιβομένων καὶ παράκλησις.

Χαῖρε Πατρὸς προανάρχου νύμφη πανάμωμε· Χαῖρε τοῦ συνανάρχου, υἱοῦ Μήτηρ Παρθένε· τὸ σκεῦος τῆς ἁγνείας χαῖρε Ἀδὰμ, τὴν Ἐδὲμ ἡ ἀνοίξασα· Χαῖρε νεφέλη ὁλόφωτε τοὺς πιστοὺς, περιθάλπουσα καὶ σκέπουσα.

Χαῖρε φωτὸς ἀπροσίτου θεῖον ἀνάκτορον· Χαῖρε εὔκαρπε χώρα, ἡ βλαστήσασα στάχυν· Χαῖρε δυστυχούντων ἡ ἀσφαλὴς, Θεοτόκε ἀνόρθωσις· Χαῖρε ἡ γέφυρα πάντας πρὸς τὴν ζωὴν, ἐπανάγουσα πρεσβείαις σου.

Πάθη ποικίλα χειμάζει, τὴν ταπεινήν μου ψυχήν· καὶ πρὸς βυθὸν καθέλκει, ἀπογνώσεως ὅλον, προφθάσασά με σῶσον ὡς ἀγαθή· ἐπὶ σὲ γὰρ κατέφυγον, τὴν κραταιὰν προστασίαν καὶ ἰσχυρὰν, μὴ ἐκπέσω τῆς αἰτήσεως.

# ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ ΤΟΥ ΚΑΙ ΜΑΥΡΟΠΟΔΟΣ ΕΠΙΚΑΛΟΥΜΕΝΟΥ.

Ὠδὴ, α'. ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος

Τὸ στόμα μου πλήρωσον ἁγνὴ, θείας αἰνέσεως ὅπως ὑμνήσω σου, τὴν δόξαν Πανύμνητε, καὶ μεγαλύνω τὴν μεγαλοπρέπειαν, ὅλην τὴν ἡμέραν, τοῦ σὲ σεπτῶς μεγαλύναντος.

Χάρισαί μοι πένθος χαρμονῆς, καὶ παρακλήσεως θείας παραίτιον, χαρὰ καὶ παράκλησις, τῶν ὀρθοδόξων Θεοτόκε Δέσποινα, ἡ χαρὰν τῷ κόσμῳ, καὶ σωτηρίαν πηγάσασα.

Ὡς ἔμψυχος νέος οὐρανὸς, δικαιοσύνης ἀνέτειλας ἥλιον, Κόρη καὶ ἐβλάστησας, ὡς λογικὸς καὶ μυστικὸς παράδεισος, ξύλον ζωηφόρον, ἐξ οὗ φαγόντες οὐ θνήσκομεν.

Ὑπερτέρα γέγονας ἁγνὴ, τῶν ποιημάτων Θεὸν σωματώσασα· ὅθεν ἱκετεύω σε, ἀπὸ κοπρίας παθῶν με ἀνάστησον, καὶ πρὸς θεῖον ὕψος τῆς ἀπαθείας εἰσάγαγε.

Ὠδὴ, γ'. Ὁ μόνος εἰδώς.

Ἡ μόνη τὴν φύσιν τῶν βροτῶν, θεώσασα πανάμωμε, τῷ ὑπὲρ φύσιν τόκῳ σου αἴτησαι, ἁμαρτημάτων ἡμῖν συγχώρησιν, καὶ τὴν ἀγαλλίασιν, τὴν διαιωνίζουσαν, Παναγία Παρθένε πανύμνητε.

Ἡ χώρα τὸν στάχυν τῆς ζωῆς, ἀσπόρως ἡ ἐκφύσασα, καὶ ἀνηρότως ἀναβλαστήσασα, λιμῷ τακεῖσαν ἐνθέου βρώσεως, τὴν ψυχήν μου στήριξον, ἄρτῳ θείων πράξεων, ἀρετῶν ἐν ἐλαίῳ πιάνασα.

Ἐκ σοῦ ἀνεβλάστησεν ἡμῖν, τὸ ἄνθος τὸ ἀμάραντον, εὐωδιάζον πᾶσαν τὴν ἀνθρωπότητα, τῷ θείῳ μύρῳ τῆς αὐτοῦ φύσεως, ὁ Πατρὶ συνάναρχος, καὶ ἐκ σοῦ γενόμενος, ὑπὸ χρόνον Μαρία Πανάμωμε.

Τὸ εἶδος μορφῆς σου τῆς σεπτῆς, Ἀγγέλοις μὲν αἰδέσιμον, τοῖς δὲ βροτοῖς ὑπάρχει σωτήριον· καὶ φρικτὸν τῆς πονηρίας τοῖς πνεύμασιν, ὅπερ πίστει σέβοντες, καὶ κατασπαζόμενοι, Θεοτόκε ψυχὰς φωτιζόμεθα.

Ὠδὴ, δ'. Ὄρος σε τῇ χάριτι.

Ὄρος τε προεῖδε, Δανιὴλ ἀλατόμητον· κατάσκιον ὁ Ἀββακοὺμ, τετυρωμένον ὁ Δαβίδ· ὄρος ἄλλος ἅγιον, καὶ ἐμφανὲς καὶ πῖον ὄρος Πανύμνητε· ᾧ ὁ Θεὸς κατοικῆσαι ηὐδόκησεν.

Θεῖόν σε παλάτιον, τοῦ λόγου γινώσκομεν, ἐν ᾧ οἰκήσας σαρκικῶς, ἐκαινοποίησεν ἡμᾶς, φθαρέντας τοῖς πάθεσιν· ὅθεν ἁγνὴ Θεοῦ μητέρα σε σέβομεν, καὶ τὸν ἐκ σοῦ γεννηθέντα δοξάζομεν.

Θεῖόν σε νοοῦμεν, ἀκηλίδωτον ἔσοπτρον, ὡς δεξαμένην τὴν αὐτὴν, τῆς θεϊκῆς μαρμαρυγῆς,

καὶ ταύτην ἀστράψασαν, σωματικῶς παντὶ τῷ κόσμῳ Πανύμνητε, πρὸς σωτηρίαν τῶν ὑμνούντων σε.

Ναόν σε γινώσκομεν, Θεοῦ καθαρώτατον, τοῦ ποιητοῦ τῶν οὐρανῶν, καὶ πάσης κτίσεως ἁγνή. Ὅθεν σοι κραυγάζομεν, ναοὺς ἡμᾶς τοῦ θείου Πνεύματος ποίησον, τοὺς τὴν θερμὴν σου πρεσβείαν πλουτήσαντας.

Ωδὴ, ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ιασαί μου τῆς ψυχῆς τὰ ἀλγήματα πάναγνε, ἡ τεκοῦσα τὸν τὰς νόσους ἡμῶν ἰασάμενον, τοῖς αὐτοῦ παθήμασι, τοῖς σωτηρίοις καὶ πανσέπτοις· ἵνα πιστῶς μεγαλύνω σε.

Ρυπωθεῖσαν τὴν ἀθλίαν ψυχήν μου τοῖς πάθεσι, τῷ ὑσσώπῳ τῆς ἐνθέου πρεσβείας σου κάθαρον, Θεοτόκε ἄχραντε, παρεχομένη σωτηρίας, ταύτῃ φαιδρότατον ἔνδυμα.

Σὲ ἑτοίμην πρὸς τὸ σώζειν βοήθειαν κέκτημαι· διὰ τοῦτο σοι προσπίπτω, καὶ κράζω σὺν δάκρυσι, Θεοτόκε ῥῦσαί με, ἐκ τῶν βελῶν τοῦ ἀλλοτρίου, καὶ τῆς μελλούσης κολάσεως.

Σὺ ἰσχύς μου σὺ καὶ καύχημα καὶ ἀγαλλίαμα, καὶ φρουρός μου καὶ ἀντίληψις καὶ καταφύγιον, καὶ προστάτις ἄμαχος, ὑπεραγία Θεοτόκε. διό με σῶζε τὸν δοῦλόν σου.

Ωδὴ, ϛ'. Ἐκύκλωσεν ἡμᾶς.

Λικμήσασα Παρθένε ταῖς πρεσβείαις σου, τῷ πτύῳ τῷ πνεύματι, θημωνίας τῶν ἐμῶν ἁμαρτιῶν, κάθαρον καρδίας μου τὴν ἅλωνα, μακρὰν αὐτῆς πᾶν ἀχυρῶδες ποιοῦσα νόημα.

Ιδοῦσά μοι τὴν κάκωσιν Πανάμωμε, ἣν ἡ ψυχὴ ὑφίσταται, κρατουμένη ἐν Αἰγύπτῳ τῶν παθῶν, καὶ πλινθοπλαστοῦσα τὴν πηλὸν σαρκὸς, δεῦρο ταχὺ καὶ τῆς ἀτίμου δουλείας λύτρωσαι.

Σπαράττομαι τὰ σπλάγχνα καὶ συστρέφομαι, τὸν χρόνον τελειούμενον, τῆς ζωῆς μου καθορῶν καὶ ἐμαυτὸν, χείροσιν ἑκάστοτε προκόπτοντα, καὶ ταῖς πληγαῖς ἐπιτιθέντα πληγὰς καὶ μώλωπας.

Νῦν ἤγγικε ψυχὴ τὸ τέλος ἤγγικεν· ἀπόθου τοίνυν ἅπαντα, τὰ τοῦ σκότους καὶ νυκτὸς ἔργα δεινὰ, καί τὰ τοῦ φωτὸς ὅπλα ἐνδύθητι, περιπατεῖν ὡς ἐν ἡμέρᾳ πράττουσα εὐσχημα.

Κάθισμα. Χορὸς Ἀγγελικός.

Ημέρα μυστικὴ, ἀνεδείχθης Παρθένε, τὸν ἥλιον Χριστὸν, καταυγάζουσα πᾶσι, τοῖς ζόφῳ ἀπογνώσεως, καθημένοις θεόνυμφε. Ὅθεν ἅπαντες, οἱ διὰ σοῦ φωτισθέντες, μακαρίζομεν, χρεωστικῶς ὡς αἰτίαν, βροτῶν ἀναπλάσεως.

Ωδὴ, ζ'. Σὲ νοητήν.

Ο φωτεινὸς τοῦ Δεσπότου θάλαμος, Χαῖρε πανθαύμαστε ἁγνή· Χαῖρε τεῖχος τὸ τῶν πιστῶν· Χαῖρε κλίμαξ ἄγουσα, πρὸς θείαν κατάπαυσιν, τοὺς μελῳδοῦντας τῷ τόκῳ σου· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ον οὐ χωρεῖ, οὐρανὸς ἐχώρησας, ὡς πλατυτέρα οὐρανῶν, Θεοτόκε ὁ λογικὸς, οὐρανὸς καὶ ἔμψυχος, τοῦ κατασκευάσαντος, τοὺς οὐρανοὺς τῷ βουλήματι, μόνου Θεοῦ οὐρανοῦ καὶ

τῆς γῆς τὸ ἐγκαλλώπισμα.

Ἵνα Θεὸς γένηται ὁ ἄνθρωπος, ἐκ σοῦ σεσάρκωται Θεός· ὃν ἱκέτευε ἐκτενῶς, ἄχραντε πανάμωμε, σώζεσθαι τοὺς δούλους σου, ἐπηρειῶν τοῦ ἀλάστορος, καὶ χαλεπῆς ἐκ γεέννης φλογὸς καὶ πάσης θλίψεως.

Τὴν ἐν ἐμοὶ ῥαθυμίαν Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπὸν, ταῖς ἀγρύπνοις σοῦ πρὸς Θεὸν, δέομαι δεήσεσιν, ἄχραντε ἀπέλασον, καὶ μελῳδοῦντα με οἴκτειρον· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ, η'. Ἐν καμίνῳ παῖδες.

Ὡς ἐκ ῥίζης τῆς τοῦ Ἰεσσαὶ, βλαστήσασα προφέρεις, τὸ ἄνθος Θεοκυῆτορ, τὸ ἀμάραντον Χριστόν. Ὅθεν ἱκετεύω σε, τῶν παθῶν μου πάσας προῤῥίζους, ἀνάσπασον ἀκάνθας, καὶ τὸν θεῖον φόβον, ἐμφύτευσόν μοι Κόρη.

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὡς ἄμωμόν σε Κόρην, ὡς νύμφην ἐκλελεγμένην, ὡς νεᾶνιν καθαράν· Παρθένον ὡς ἄσπιλον καὶ ἁγίαν, σὲ ἀνυμνοῦμεν καὶ πόθῳ προσκυνοῦμεν, τὴν εὐλογημένην εἰς πάντας τοὺς αἰῶνας.

Σὲ καὶ τεῖχος καὶ καταφυγὴν, καὶ κλίμακα πρὸς ὕψος, μετάγουσαν τὸ ἀνθρώπινον Παρθένε Μαριὰμ, εἰδότες κραυγάζομεν· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἡ ἁγία γῆ καὶ ἐκλεκτὴ, ἐν ᾗ κεκαλυμμένοι, καλύμματι ἀπιστίας, ἀμφιβόλων λογισμῶν, πόδες οὐκ ἐπάτησαν τῶν γηΐνων· δεῖξον φροντίδων ἀνώτερον τὸν νοῦν μου, καὶ τῆς τῶν πρᾳέων γῆς καταξίωσόν με.

Ὁ Εἱρμός.

Ἐν καμίνῳ παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες, εὐλογεῖτε.

Ὠδὴ, θ'. Τύπον τῆς ἁγνῆς.

Ὄρος τοῦ Θεοῦ πανάγιον. ὃ δεξιὰ Κυρίου προκατειργάσατο, ἀπωλείας με, περιπλανώμενον ὄρεσι, καὶ κρημνοῖς καὶ βαράθροις ὠθούμενον, ζητήσασα πρὸς ὄρος, τῆς ἀρετῆς με χειραγώγησον.

Ἤδη ὁ νυμφὼν ηὐτρέπισται, καὶ ἡ παστὰς τοῦ γάμου ἐγκεκαλλώπισται· καὶ εἰσέρχονται, μετὰ χαρᾶς οἱ τηρήσαντες, τὴν ἁγνείαν αὐτῶν ἀδιάφθορον· ἐγὼ δὲ Θεοτόκε, μόνος εἰς σκότος ἀπελεύσομαι.

Νόμους τοῦ Θεοῦ ἠθέτησα, καὶ ἐμαυτὸν τῷ νόμῳ ἁμαρτίας ἐδούλωσα, νόμῳ τοῦ νοὸς, οὐχ ὑποκύψας ὁ ἄθλιος· ἡ τοὺς νόμους λαθοῦσα τῆς φύσεως, ἐν τῷ σεπτῷ σου τόκῳ, νόμους σαρκός μου καθυπόταξον.

Ἵνα τὸν βυθὸν τὸν ἄπειρον, τῶν οἰκτιρμῶν ἐνδείξῃς τῆς σῆς Χρηστότητος, καὶ τὴν εὐσπλαγχνίαν, τοῦ υἱοῦ σου Πανύμνητε, ὑπὲρ πάντας κἀμοὶ ἁμαρτήσαντι, συγχώρησιν παράσχου, καὶ Παραδείσου τὴν κατοίκησιν.

Προσόμοιον. Πανεύφημοι.

Χαίροις πόλις ἔμψυχε Θεοῦ, Χαῖρε Μητροπάρθενε· Χαῖρε θεόνυμφε Δέσποινα· Χαῖρε

Παράδεισε, τῆς ζωῆς ἐν μέσῳ, ξύλον ἐκβλαστήσασα, Χριστὸν τὸν ζωοδότην καὶ Κύριον· ὃν καθικέτευε, μητρικαῖς σου νῦν δεήσεσι, τοῦ ῥυσθῆναι κινδύνων τοὺς δούλους σου,

Χαῖρε τὸ κατάσκιον Θεοῦ, ὄρος ἀπειρόγαμε, ὃ Ἀββακοὺμ ἐθεάσατο· Χαῖρε πολύευκτον, κάλλος Θεοτόκε· Χαῖρε θεία τράπεζα, τὸν ἄρτον τὸν οὐράνιον φέρουσα, Χριστὸν τὸν Κύριον· ὃν ἱκέτευε τοὺς δούλους σου, ἀπὸ πάσης ῥυσθῆναι κακώσεως.

Χαῖρε τὸ παλάτιον Θεοῦ, λόγου παναμώμητε, ἐν ᾧ οἰκήσας ἐκαίνωσε, φθαρέντας ἅπαντας· Χαῖρε ἡ τὸν στάχυν, τῆς ζωῆς βλαστήσασα, ἀσπόρως Θεοτόκε Πανύμνητε· ὃν νῦν δυσώπησον, διαθρέψαι ἄρτῳ πράξεων, ἐναρέτων τὴν ψυχήν μου δέομαι.

Πολλῶν με χειμάζουσι δεινῶν, προσβολαὶ Θεόνυμφε, θλίψεις ποικίλαι καὶ μάστιγες, κινδύνων πέλαγος, νῦν κατακαλύπτει, τὸν δοῦλόν σου ἄχραντε. πρὸς τίνα καταφύγω ὁ ἄθλιος; πρὸς σὲ τὴν εὔσπλαγχνον· τῷ ἐλέει σου οὖν Δέσποινα, οἴκτειρόν με καὶ σῶσον πρεσβείαις σου.

# ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΦΩΤΙΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

οὗ ἡ ἀκροστιχίς.

" Πρώτη δέησις τῇ πανάγνῳ Παρθένῳ· Φωτίου.

Ωδὴ, α΄. ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

ΠΥΛΗ τοῦ φωτὸς τοῦ νοητοῦ, τῆς μετανοίας μοι πύλας διάνοιξον· καὶ τὸν νοῦν μου φώτισον, τὸ ζοφερὸν σκότος ἀποδιώκουσα, τὸ τῆς ἁμαρτίας, καὶ τῶν παθῶν Παναμώμητε.

Ῥῦσαι τὴν ψυχήν μου ἀγαθὴ, τῆς δυναστείας τοῦ δολίου δράκοντος, τοῦ τοῖς δελεάσμασι, τῶν ἡδονῶν ταύτην συγκαταφέροντος, πονηρᾷ ἀπάτῃ, τῆς ἀπωλείας πρὸς βάραθρα.

Ὡς τῶν ἀγαθῶν τῶν ὑπὲρ νοῦν, ἀναδειχθεῖσα τοῖς ἀνθρώποις πρόξενος, Δέσποινα πανάχραντε· οὕτω κἀμοὶ τῆς σωτηρίας πρόξενος, τῆς αἰωνιζούσης, καὶ εὐφροσύνης γενήθητι.

Τὸν πάντα βουλήματι αὐτοῦ, δημιουργήσαντα κράτει Θεότητος, λόγον τὸν ἀΐδιον· τοῦτον ἁγνὴ ἐν μήτρᾳ σου ἐχώρησας, ἐπ' εὐεργεσίᾳ, τῶν γηγενῶν σωματούμενον.

Ωδὴ, γ΄. Ὁ μόνος εἰδώς.

Η σκέπη καὶ λύτρωσις ἡμῶν, τὸ τεῖχος καὶ κραταίωμα, τῶν εὐφημούντων σε πολυύμνητε· ἀπὸ παντοίων ῥῦσαί με θλίψεων, καὶ τῶν περιστάσεων, τῶν τοῦ βίου πάντοτε, περιέ-

πουσα ὅπως δοξάζω σε.

Δέσποινα τοῦ κόσμου ἀγαθὴ, τοῦ μόνου φιλοικτίρμονος, τοῦ εὐσπλαγχνίας ἔχοντος πέλαγος, τοῦ σαρκωθέντος ἐκ τῶν πανάγνων σου, αἱμάτων δεήθητι, τοῦ κατοικτειρῆσαί με, τὸν ἀμέτροις κακοῖς συνεχόμενον.

Ἔχουσα συμπάθειαν πολλὴν, καὶ σπλάγχνα φιλοικτίρμονα, καὶ ὑπὲρ ἔννοιαν ἀγαθότητα· ἐπ' ἐμὲ ταῦτα δεῖξον Πανάχραντε, τὸν εἰς σὲ προστρέχοντα, καὶ τῶν παραπτώσεων, τῶν ἀπείρων τὴν ἄφεσιν δίδου μοι.

Ἡ μήτρα σου ὤφθη ἀληθῶς Μαρία ἀειπάρθενε, τοῦ οὐρανοῦ πλατυτέρα χωρήσασα, τὸν βασιλέα καὶ ποιητὴν τοῦ παντός, τὸν πάσῃ ἀχώρητον, τῇ κτίσει ὑπάρχοντα, τῇ δυνάμει αὐτοῦ τῆς Θεότητος.

Ὠδὴ, δ'. Ὅρος σε τῇ χάριτι.

Σῶσόν με Παρθένε, ἀπειρόγαμε σῶσόν με· μή με παρίδῃς ἀγαθὴ, καταπονούμενον δεινοῖς, ἡδοναῖς καὶ πάθεσι, καὶ λογισμοῖς βεβήλοις καὶ πονηρίας μεστοῖς, καὶ τῶν δαιμόνων παρενοχλήσεσιν.

Ἱκέτης προσέρχομαι τῇ σκέπῃ σου ἄχραντε· καὶ ἐκβοῶ ἀπὸ θερμῆς, καὶ κατωδύνου μου ψυχῆς· ἐλέησον ῥῦσαί με, ἐκ τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως, ταῖς πρὸς Θεὸν σαῖς ἀχράντοις δεήσεσιν.

Σαρκός μου τὴν ἔκλυσιν, ψυχῆς τε τὴν πάρεσιν, τῇ ῥωστικῇ τῆς σῆς ῥοπῆς, ἰσχύϊ Δέσποινα σεμνὴ, ἀνάκτησον πρόσφορον, ταύταις σαφῶς, τὴν θεραπείαν παρέχουσα, πρὸς ἐργασίαν τοῦ θείου θελήματος.

Τὸ μέγα καὶ πάνσεπτον, καὶ θεῖον μυστήριον. τῆς ἀποκρύφου τοῦ Θεοῦ, βουλῆς ἐν σοὶ παναληθῶς, ἁγνὴ πεφανέρωται, ὅτι αὐτὸς ὁ κατ' οὐσίαν ἀχώρητος, τῇ κτίσει πάσῃ ἐν σῇ γαστρὶ κεχώρηται.

Ὠδὴ, ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἡ λυχνία ἡ χρυσῆ, ἡ τὸ θεῖον λαμπάδιον, κατέχουσα τῶν παθῶν μου τὸν γνόφον σκεδάσασα, τὸν τοῦ θείου ἔρωτος, πυρσὸν ἐν τῇ ἐμῇ καρδίᾳ Θεογεννῆτορ διάναψον.

Πολυπλόκους μηχανὰς, καὶ ἐνέδρας τοῦ δράκοντος, τοῦ δολίου Θεοτόκε Παρθένε διάλυσον, ἃς κατὰ τοῦ δούλου σου, ἐπινοεῖται πανουργίᾳ, τοῦ συλλαβεῖν με πειρώμενος.

Ἀπορήσας ἐξ ἁπάσης βοηθείας ἄχραντε, ἀνθρωπίνης πρὸς τὴν σὴν ὀξυτάτην ἀντίληψιν, εὐλαβῶς προσέδραμον σύ με τῆς σῆς καὶ προμηθείας, καὶ εὐμενείας ἀξίωσον.

Νομικοί σε καὶ σκιώδεις προέφαινον ἔσεσθαι, τύποι πάλαι Θεοτόκον ἁγνὴν παναμώμητον· ἡμεῖς δὲ κατέχοντες, ἔργῳ νῦν τούτων τὰς ἐκβάσεις, ἀκαταπαύστως ὑμνοῦμέν σε.

Ὠδὴ, ς'. Ἐκύκλωσεν ἡμᾶς.

Ἀνάκτορον Θεοῦ παναγιώτατον, πρεσβείαις σου καθάρισον, τὴν ψυχήν μου καὶ τὸ σῶμα καὶ τὸν νοῦν, ἐκ βεβήλων ἔργων, καὶ αἰσχρῶν ἐννοιῶν, καὶ τοῦ ἐκ σοῦ ἀποτεχθέντος ναόν με ποίησον.

Γαλήνη νοητῇ σύ με προσόρμισον, τὴν ζάλην καὶ τὸν τάραχον, τῶν παθῶν μου κατευνάζουσα σεμνή, καὶ τὴν τρικυμίαν ἐκδιώκουσα τῶν ἡδονῶν, ἡ τὴν γαλήνην τὴν θείαν τέξασα.

Ναμάτων μυστικῶν τῶν σῶν δεήσεων, τὴν τῶν πταισμάτων καύσωνι, ἐκτακεῖσάν μου καρδίαν ἀγαθή, ἔμπλησον καὶ δεῖξον καρποφόρον αὐτήν, θεοφιλῶν καὶ θεαρέστων λόγων καὶ πράξεων.

Ὡς οὖσα καθαρὰ καὶ πανακήρατος, τὸν λόγον τὸν ἀκήρατον, ὑπεδέξω ἐν νηδύϊ σου σεμνή· καὶ τοῦτον ἐγέννησας εἰς λύτρωσιν, τῶν γηγενῶν τῶν Προπατόρων τῆς ἀποφάσεως.

Κάθισμα. Τὸν τάφον σου Σωτήρ.

Ἀσπόρως τὸν Χριστόν, ἀπεκύησας μόνη· τὸ θαῦμα ὑπὲρ νοῦν, πῶς Παρθένος καὶ Μήτηρ! διὸ Θεοτόκον σε, προσκυνοῦντες δοξάζομεν· σὺ γὰρ ἔτεκες, τὸν βασιλέα τῆς δόξης, ὃν δυσώπησον, τοῦ εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ, ζ'. Σὲ νοητήν.

Πίστει πολλῇ, καὶ πόθῳ προσέρχομαι, τῇ θείᾳ σκέπῃ σου σεμνή· σὺ γενοῦ μοι καταφυγή· σύ μου ἱλαστήριον· σύ με ἀπολύτρωσαι, ἐκ τῶν κινδύνων καὶ θλίψεων, καὶ πειρασμῶν Θεοτόκε, καὶ νόσων καὶ κακώσεων.

Ἀνατολὴ τοῦ ἡλίου Δέσποινα, τοῦ νοητοῦ ὡς συμπαθής, σὺ τῇ αἴγλῃ τῇ παμφαεῖ, τῆς θείας πρεσβείας σου, φαῦσον μετανοίας μοι, ἀνατολὴν ἐκδιώκουσα, τὴν ζοφερὰν τῶν παθῶν μου, ὁμίχλην καὶ πταισμάτων μου.

Ῥῦσαι ἡμᾶς τοὺς ἀνεφημοῦντάς σε, τῆς τυραννίδος τοῦ ἐχθροῦ, τοῦ ζητοῦντος μανιωδῶς, τὴν ἡμῶν ἀπώλειαν, καὶ τούτου ματαίωσον, τὴν πονηρίαν Πανάμωμε, καὶ μηχανὴν αὐτοῦ πᾶσαν, δυνάμει σου ἀμβλύνουσα.

Θρόνον Θεοῦ καὶ παστάδα ἔμψυχον, Θεογεννῆτορ οἱ πιστοί, ἐπιγνόντες σε ἀληθῶς, πίστει ἐκβοῶμέν σοι· σῶζε τοὺς οἰκέτας σου ἀπὸ πασῶν περιστάσεων· ὅπως ἀεὶ εὐλογῶμεν, ἁγνὴ καὶ προσκυνῶμέν σε.

Ὠδὴ, η'. Ἐν καμίνῳ παῖδες.

Ἐπὶ πέτραν στῆσον ἀσφαλῆ, τῆς τοῦ Θεοῦ ἀγάπης, τὰς βάσεις τὰς τῆς ψυχῆς μου, καὶ παθῶν ταῖς προσβολαῖς, φύλαξον ἀκλόνητον Θεοτόκε· ἵνα ἑδραίᾳ καρδίᾳ ἀναμέλπω, καὶ δοξολογῶ σε πιστῶς εἰς τοὺς αἰῶνας.

Νεύρωσόν μου Δέσποινα ἁγνή, τὸν τόνον τῆς καρδίας, ἰσχύν με κατὰ παθῶν, περιζωννύουσα τὴν σήν, καὶ τηροῦσα ἄτρωτον ἐκ τῆς τούτων, ἐπικρατείας καὶ φαιδρᾶς τυραννίδος· ἵνα σε δοξάζω ἀεὶ ἐν εὐθυμίᾳ.

Ὦ Παρθένε Δέσποινα σεμνή, γραφικῶς ἡ ψυχή μου, ὀπίσω σου ἐκολλήθη· διὸ ἔκτεινον τὴν σήν, δεξιὰν τὴν ἄχραντον καὶ ἐν πᾶσιν, ἀντιλαβοῦ μου σκέπουσα καὶ φρουροῦσα, καὶ τῆς αἰωνίου χαρᾶς καταξιοῦσα.

Φωτοφόρον σκήνωμα Θεοῦ, ἐδείχθης Θεοτόκε, καὶ ἔμψυχον καὶ ἁγνότατον παλάτιον σεμνή, καὶ θρόνος πυρίμορφος, τῆς ἀστέκτου θείας οὐσίας· διό σε ἀνυμνοῦμεν, καὶ δοξολο-

γοῦμεν πιστοὶ εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Ἐν καμίνῳ παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· εὐλογεῖτε πάντα.

Ὠδὴ, θ'. Τύπον τὴν ἁγνῆς.

Ὤφθης αἴγλη καθαρότητος, πᾶσαν τὴν κτίσιν ὑπεραίρουσα Πάναγνε· ἀλλὰ δέξαι με, τὸν μολυσμοῖς καταχράναντα, ἡδονῶν ὑπὲρ ἅπαντα ἄνθρωπον, ψυχήν τε καὶ τὸ σῶμα, καὶ ταῖς πρεσβείαις ἀποκάθαρον.

Τρίβοις θείαις ἐκβιβάζουσα, τῆς μετανοίας τὴν ψυχήν μου ἐπίστρεψον, ἐξ ὁδοῦ ἁγνὴ, τῆς ἀπαγούσης εἰς θάνατον, καὶ πρὸς ὄλεθρον ὄντως αἰώνιον, Μαρία Θεοτόκε, ἁμαρτωλῶν τὸ ἱλαστήριον.

Ἵνα τί με ἐγκατέλιπες, φῶς τῶν ἐμῶν ὀμμάτων καὶ ἀγαλλίαμα, τῆς καρδίας μου; καὶ πειρασμοί με ἐκύκλωσαν; ἀλλ' οἰκτείρησον Κόρη καὶ σῶσόν με, ἐκ πάντων τῶν λυπούντων· τῶν θλιβομένων ἡ παράκλησις.

Ὄρος τοῦ Θεοῦ πανάγιον, ὃ δεξιὰ Κυρίου προκατειργάσατο ἀπωλείας με πoριπλανώμενον ὄρεσι, καὶ κρημνοῖς καὶ βαράθροις ὠθούμενον, ζητήσασα πρὸς ὄρος, τῆς ἀρετῆς με χειραγώγησον.

Ὕμνον εὐλαβῶς προσφέρομεν, τῷ σῷ ἀσπόρῳ τόκῳ, διὰ σοῦ Δέσποινα, πανυπέραγνε, καὶ σὲ ἀπαύστως δοξάζομεν, δυσωποῦντες ῥυσθῆναι κολάσεως, τοὺς πόθῳ σε τιμῶντας, καὶ ὀρθοδόξῳ πίστει σέβοντας.

Προσόμοιον. Τῶν οὐρανίων ταγμάτων.

Χαῖρε πιότατον ὄρος καὶ θεοβάδιστον· Χαῖρε τὸ τῶν Ἀγγέλων, περιβόητον θαῦμα· τὸ σθένος τῶν Μαρτύρων· Χαῖρε σεμνὴ, Ἱερέων ἀγλάϊσμα· καὶ πενομένων ἀσύλητε θησαυρέ· Χαῖρε κλέος τῶν τιμώντων σε.

Χαῖρε βασίλειον κράτος καὶ πύργε ἄσειστε· Χαῖρε πιστῶν ἡ δόξα, Θεοτόκε Παρθένε, ἀνόρθωσις πιπτόντων χαῖρε ἁγνὴ, καὶ διαβόλου κατάπτωσις, καὶ ἀπογνώσεως πάσης ὅτι Χριστὸν, τὴν ἐλπίδα πάντων ἔτεκες.

Χαῖρε πλειὰς τὸ τοῦ Πόλου ἄστρον λαμπρότατον, ἡ συνδεσμοῦσα πάντα, ὡς ἀστέρας σὰ τέκνα, κοινῶς τοὺς ὀρθοδόξους Χριστιανοὺς, καὶ ὡς μήτηρ φιλόστοργος, σκέπουσα θάλπουσα τούτους καὶ οὐρανῶν, ἀξιοῦσα κατοικήσεως.

Τίς διηγήσεται Κόρη τὰ σὰ θαυμάσια; ὃν γὰρ οὐ σθένει βλέπειν, τῶν Ἀγγέλων ἡ τάξις, ἐβάστασας ὡς θρόνος χερουβικὸς· τοῦτον αἴτησαι Πάναγνε, ἐν τῇ μελλούσῃ ἡμέρᾳ τῇ φοβερᾷ, πάντας ῥύσασθαι κολάσεως.

# ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ ΚΑΤΑΝΥΚΤΙΚΟΣ.

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΤΟΥ ΚΡΗΤΗΣ.

Ωδὴ, α΄. ἦχος α΄. Ωδὴν ἐπινίκιον.

ΩΔΗΝ παρακλήσεως τῇ Θεοτόκῳ, πιστοὶ προσενέγκωμεν, ἱλασμὸν αἰτούμενοι, τῶν ἐγκλημάτων ἡμῶν, καὶ τοῦ ἐχθροῦ ἀποφυγὴν, καὶ σωτηρίαν ψυχῶν.

Ελέους τὴν ἄβυσσον ἡ τετοκυῖα, ἐλέησον οἴκτειρον, τὴν ἐμὴν ἀσθένειαν θεοχαρίτωτε, καὶ χειραγώγησον πρὸς φῶς τῆς κατανύξεως.

Υψώθην ὁ ἄθλιος τῇ ἀπονοίᾳ, ἀρθεὶς τῷ φρονήματι, καὶ εἰς βόθρον πέπτωκα τῶν παραπτώσεων· τῇ μετανοίᾳ με ἁγνὴ, πάλιν ἀνόρθωσον.

Μυρίοις ἐγκλήμασιν ἁμαρτημάτων, βαρούμενος ἄχραντε, σοὶ προσπίπτω δέξαι με, μετανοοῦντα θερμῶς, καὶ ἵλεών μοι τὸν κριτὴν, ποίησον Δέσποινα.

Ωδὴ, γ΄. Στερεωθήτω ἡ καρδία μου.

Ο πλημμελήσας ὑπὲρ ἅπαντας, τοὺς ἀνθρώπους μόνος ἐγώ εἰμι· καὶ διὰ τοῦτό σοι βοῶ, Παναμώμητε Δέσποινα, βοηθῆσαι τῷ οἰκέτῃ σου, λαβεῖν τὴν συγχώρησιν.

Βεβαρημένον τοῖς παθήμασι, καὶ ταῖς τρικυμίαις ποντούμενον, ὁ δολιόφρων ἀγαθὴ, φερπίζει ἁρπᾶσαί με· ἀλλὰ ῥῦσαι καὶ ἀνάγαγε, πρὸς φῶς μετανοίας με.

Εγὼ ὑπάρχω κόρη Πάναγνε, δένδρον τὸ σαπρὸν, φεῦ, καὶ ἄκαρπον· ὅπερ ποιῆσαί με καρπὸν, καλὸν θεῖον παράσχου μοι, καὶ ἐμπλῆσαί με τῆς χάριτος. Χριστοῦ καὶ γλυκύτητος.

Δεῖξόν μοι τρίβον τὴν σωτήριον, δι᾽ ἧς βασιλείαν οὐρανῶν, κληρονομήσω ἀγαθὴ, ὁ ἀνάξιος δοῦλός σου, καὶ ἀκούσω τὴν τρισάγιον ᾠδὴν ἀγαλλόμενος.

Ωδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Νοητοὶ ὥσπερ γίγαντες, τρεῖς τῶν παθῶν με κατατροποῦνται· ἀκηδία λήθη ἄγνοια· ἀλλὰ σὺ Θεόνυμφε, ἡ βοηθός μου, τούτους κατάβαλε.

Γαυριῶντι φρονήματι, καὶ ἐπηρμένῃ τῇ διανοίᾳ, ἐκτετέλεκα τὸν βίον μου· ἀλλὰ σὺ ταπείνωσιν, Θεοκυῆτορ δίδου καὶ σῶσόν με.

Ρυπωθεὶς κατεμόλυνα, ταῖς ἀσωτείαις τὴν ψυχήν μου, τῶν δαιμόνων καταγώγιον, γεγονὼς ὁ δείλαιος, πάναγνε Μαρία καθάρισον.

Παναγία Θεόνυμφε, παραμυθία τῶν θλιβομένων· Τῶν βροτῶν τὸ καταφύγιον· τῶν πιστῶν τὸ στήριγμα, σῶσόν με τὸν δοῦλόν σου δέομαι.

Ωδή, ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Τραχεῖαν δι' ἀσκήσεως ὁδὸν ἀρετῆς, βαίνειν με Παρθένε ῥᾷον εὐόδωσον, ὅπως τὰ πάθη κατευνάσαιμι, καὶ ἀπαθείας ἴδω, τὸν γαληνὸν λιμένα.

Σὲ μόνην καταφύγιον πλουτοῦμεν ἁγνή, πάντες οἱ Θεὸν κακῶς παροργίσαντες, καὶ ἁμαρτίαις βαρυνόμενοι, ὅπως ταῖς πρεσβείαις, αὐτῷ ἱλεωθῶμεν.

Νυστείαις καὶ δεήσεσι ποτὲ Νινευΐ, ἵλεων αὐτῇ, τὸν μόνον φιλάνθρωπον, τῇ μετανοίᾳ ἀπειργάσατο· ἐγὼ δὲ Θεομῆτορ, πρὸς σὲ νῦν καταφεύγω.

Φθείρας τὴν θείαν στολὴν τοῦ βαπτίσματος, ἄλλως οὐκ ἔστιν ὡς ἐγὼ ὁ παμβέβηλος. διὸ βοῶ σοι μὴ παρίδῃς με, ἀλλὰ σῶσον Κόρη, τὸν σὸν ἀχρεῖον δοῦλον.

Ωδή, ς'. Τὸν προφήτην Ἰωνᾶν.

Τὰς αἰτίας τῶν παθῶν, οὐκ ἐκκόπτω παντελῶς· καὶ ἀπάθειαν ζητῶ, ἐν εὐχαῖς διηνεκῶς, Πανύμνητε, τὴν πώρωσίν μου λῦσον καὶ σῶσόν με.

Ὑπερέβην ἀληθῶς, Σοδομίτας αἰσχρουργῶν, καὶ πτοοῦμαι μὴ τὸ πῦρ, δαπανήσῃ με ἐκεῖ, Θεόνυμφε· τῆς τούτου πείρας, ῥῦσαι καὶ σῶσόν με.

Στένω τρέμω καὶ βοῶ, μὴ παρίδῃς με ἁγνή, τὸν εἰς πάθη ὁλικῶς, ἐμπεσόντα χαλεπά· ἀλλ' οἴκτειρον, καὶ πρὸς μετάνοιαν χειραγώγησον.

Ζῶντα φρούρει με ἀεί, λυτρουμένη πειρασμῶν. Ἐκχωροῦντα δὲ τῆς γῆς, πρὸς αἰώνιον ζωὴν ὁδήγησον, Παρθενομῆτορ τῇ εὐσπλαγχνίᾳ σου.

Κάθισμα. Χορὸς Ἀγγελικός·

Παράσχου μοι ἁγνή, κατανύξεως ῥεῖθρα, δακρύων προχοήν, δαψιλῆ καὶ πλουσίαν· ἡ βλύσασα ἄβυσσον, οἰκτιρμῶν καὶ χρηστότητος· ἀναστέλλουσαν τὴν τῶν κακῶν μου πλημμύραν, ἀποστάζουσαν τὴν φοινικὴν τῶν παθῶν μου ῥοὴν καὶ ἀνάβλεψιν.

Ωδή, ζ'. Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο.

Νεφέλην γινώσκω Θεόνυμφε, τὸν ἥλιον τῆς δόξης κυήσασαν, φωταγωγοῦντα πάντα, τὰ νυκτώδη μου ἐγκλήματα.

Ξηράνασα φυτὰ Θεονύμφευτε, τῶν λογισμῶν καὶ ἀτόπων μου πράξεων· ἀεί με ἐκβλαστάνειν, ἐναρέτους καρποὺς ποίησον.

Γυμνός εἰμι ἀρετῶν ἐνδύματος, καὶ βάλλομαι τοῦ νυμφῶνος πόῤῥωθεν· ἡ τὸν Χριστὸν τεκοῦσα, ἀφθαρσίᾳ με ἀμφίασον.

Μαστίζειν συνεχῶς με οὐ παύεται, παρθένε ἡ συνείδησις ἔνδοθεν· ἀλλὰ ἀπάλλαξόν με, τῇ ταχείᾳ ἀντιλήψει σου.

Ωδή, η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Πῶς κάθῃ ἀμέριμνος ταλαίπωρε ψυχή; πῶς λήθῃ παρέδωκας τὰς πράξεις τὰς αἰσχράς; ἀνάπτυξον ταύτας τῇ μητρὶ τοῦ Θεοῦ, ἵνα μεσιτεύσῃ τῷ ἐξ αὐτῆς τεχθέντι.

Παρόμοιος γέγονα τῷ πάλαι Ἰσραήλ, κατατρέχων ἐμαυτοῦ, ὡς ἄλλου Ἰσαάκ· διὸ τῆς οἰκίας ἐκδιώκομαι, τῆς Ἀβραμιαίας, τῆς ἄνω κληρουχίας.

Ξενώσας τῆς ἄνωθεν πατρίδος ἐμαυτὸν, εἰς ξένους κατήντησα πολίτας καὶ λῃστὰς, σιτούμενος ξένην ἐδωδὴν συφορβῶν· σὺ οὖν Θεοτόκε, ὡς τὸν ἄσωτον σῶσον.

Ἁγνείας διέῤῥηξα σφραγίδας ἀναιδῶς, ἁγνείας ἡ τέξασα Χριστὸν τὸν φυτουργόν· ἁγνῶς βιωτεύειν τὸν ἐπίλοιπον, χρόνον τῆς ζωῆς μου, ποίησον Θεομῆτορ.

Ὠδή, θ'. Τὴν φωτοφόρον νεφέλην.

Θεὸν ἰδεῖν ἠξιώθη, ὁ Ἀβραὰμ ὡς ἦν θέμις φιλοξενίαν ἠσκηκώς· ἐγὼ δὲ φειδωλίαν, μισοξενίαν ἐσχηκὼς, εἰκότως ἀπέῤῥιμμαι εἰς γέενναν· ἀλλὰ σὺ Θεοτόκε ἐξελοῦ με, τῆς κολάσεως ἐκεῖ.

Ῥείθροις δακρύων ἡ πόρνη Χριστοῦ τὰ ἄχραντα ἴχνη, ἐκμαξαμένη γοερῶς, τῶν πταισμάτων τὴν λύσιν, εὕρατο τάχιον ἁγνή· ἐγὼ δὲ προσπίπτων σοι ἐξ ὅλης, τῆς καρδίας μου στενάζω, καὶ αἰτοῦμαι λυτρωθῆναι τῶν παθῶν.

Νοῦν καὶ ψυχὴν καὶ τὸ σῶμα, καὶ τὰς λοιπάς μου αἰσθήσεις, σοὶ ἀνατίθημι ἁγνή· διαφύλαξον σῶα, ἐκ τῶν βελῶν τοῦ πονηροῦ, καὶ δός μοι κατάνυξιν τοῦ κλαύσασθαι, τὰ συμβάντα μοι πάθη, ῥαθυμοῦντι, καὶ βιοῦντι ἀμελῶς.

Ἐξ ἀμελείας εἰς λήθην, εἰς ἀφοβίαν ἐκ λήθης, ἐξ ἀφοβίας εἰς βυθόν, ἐμπεσὼν ἁμαρτίας, σοὶ Θεομῆτορ ἐκβοῶ, τὴν χεῖρά μοι ἔκτεινον καὶ σῶσον με, ὥσπερ ἔσωσε Πέτρον ὁ υἱός σου, ἐκ θαλάσσης τῆς πικρᾶς.

Προσόμοια. Πανεύφημοι μάρτυρες.

Χαῖρε θεῖον ὄχημα Θεοῦ· Χαῖρε πάντων ἄνασσα· Χαῖρε Κυρία τῆς κτίσεως· Χαῖρε ἡ ἄμπελος, βότρυν ἡ τεκοῦσα, οἶνον ἀποστάζοντα, εὐφραίνοντα τοὺς πίστει ὑμνοῦντάς σε, καὶ μεγαλύνοντας, καὶ τιμῶντάς σε πανύμνητε, ὡς μητέρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Χαῖρε θεῖον σκήνωμα Χριστοῦ· Χαῖρε πανευλόγητε· Χαῖρε πανθαύμαστε Δέσποινα· Χαῖρε τὸν ἄμωμον, μόσχον ἡ τεκοῦσα, δάμαλις ἀνύμφευτε, Χριστὸν τὸν ζωοδότην καὶ Κύριον· ὃν νῦν ἱκέτευε, μητρικαῖς σου παρακλήσεσι, τοῦ ῥυσθῆναι κινδύνων τοὺς δούλους σου.

Χαῖρε βίβλε ἔμψυχε Θεοῦ, λόγον τὸν πανάγιον, ἐγγεγραμμένον ἡ φέρουσα· Χαῖρε ἡ ἄφλεκτος, βάτος Χαῖρε Κόρη, νεφέλη ὁλόφωτε, Χριστὸν τὸν νοητὸν ὄντως ἥλιον, ἡ ἀνατείλασα, τοῖς ἀνθρώποις Χαῖρε ἄχραντε, δυστυχούντων ἑτοίμη βοήθεια.

Νοσοῦσαν Πανύμνητε δεινῶς, τὴν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, ἡ τὸν ἀκέστορα, καὶ σωτῆρα πάντων, τὸν Χριστὸν κυήσασα, τὸν πᾶσαν μαλακίαν ἰώμενον· τὸν τραυματίσαντα διαβόλου τὴν κακόνοιαν, καὶ θανάτου ἡμᾶς ἀπαλλάξαντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ,

ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ωδὴ, α΄. ἦχος α΄. Χριστὸς γεννᾶται δοξάσατε.

ΧΑΡΑΣ αἰτία χαρίτωσον, τὸν νοῦν μου καὶ φωτί σου κατάλαμψον, ψυχὴν ἁγνὴ καὶ διάνοιαν· ὅπως σοι ἐκβοήσω χαρμονικῶς, σὺν τῷ Ἀρχαγγέλῳ, χαριστήριον ᾠδὴν Θεοχαρίτωτε.

Τὴν θείαν στάμνον τὴν πάγχρυσον, τὴν ἔνδοθεν τὸ Μάννα κατέχουσαν, φαιδρῶς πιστοὶ ἀνυμνήσωμεν· Χαίροις αὐτῇ βοῶντες, Μῆτερ ἁγνή· Χαῖρε τῶν περάτων, ἡ ἐλπὶς καὶ σωτηρία τῶν ὑμνούντων σε.

Νεφέλη χαῖρε ὁλόφωτε, πιστοὺς ἐπισκιάζουσα πάντοτε, λυχνία χαῖρε ἑπτάφωτε, καθὼς Προφήτης πάλαι προεῖδέ σε, Πνεύματος ἁγίου, ἐνεργείας ἐν ψυχῇ φέρουσαν Πάναγνε.

Ἰσχὺς Παρθένε καὶ στήριγμα, καὶ καύχημα γενοῦ μοι τῷ δούλῳ σου, πλήθει τῶν ποικίλων θλίψεων, νῦν περιπεπτωκότι καὶ πειρασμῶν, κόπασον τὸν σάλον, ἡ ἐλπίς μου καὶ χαρὰ καὶ ἀγαλλίασις.

Ωδὴ, γ΄. Τῷ πρὸ τῶν αἰώνων.

Χαίροις ὑπερτέρα, τῶν ἀΰλων ἁπασῶν Δυνάμεων· Χαῖρε ἀνύμφευτε Παρθένε, ἡ τεκοῦσα ἀσπόρως, Χριστὸν τὸν Θεὸν ᾧ ψάλλομεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Χαῖρε βασιλέων, εὐσεβούντων διάδημα τίμιον· Χαῖρε Μαρτύρων θεῖον σθένος, καὶ πυρίμορφε θρόνε, Χριστοῦ τοῦ Θεοῦ ᾧ ψάλλομεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Πλῆθός με πταισμάτων, καὶ κινδύνων βυθίζει τὸν ἄθλιον· ἀλλ' εἰς λιμένα θυμηδίας, καὶ εὐφρόσυνον ὅρμον, τῆς σῆς πανσθενεστάτης χάριτος, σὺ ἐγκαθόρμησον· ὅπως ἀεὶ, ὑμνῶ σε Πανύμνητε.

Ω τῶν ὑπὲρ νοῦν σου, καὶ ἀῤῥήτων θαυμάτων Θεόνυμφε! πῶς καὶ τεκοῦσα παρθενεύεις, τὸν συνάναρχον λόγον, Πατρὶ καὶ τῷ θείῳ Πνεύματι! ᾧ μελῳδοῦμεν ἀπαύστως πιστοί· ἅγιος εἶ Κύριε.

Ωδὴ, δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης,

Χαῖρε Ἱερέων εὐλαβῶν, στολὴ Θεοχαρίτωτε, καὶ τῶν Ὁσίων ἐγκαλλώπισμα. Δικαίων χαῖρε χαρὰ, καὶ Μαρτύρων καύχημα· Χαῖρε Γηραιῶν ἡ βακτηρία, καὶ τῶν βοώντων ἰσχύς. Δόξα τῇ δυνάμει σου Κύριε.

Χαῖρε λογικὴ περιστερὰ, κατάπαυσιν ἡ φέρουσα, τῆς ἀπιστίας καὶ πρὸς πίστιν Θεοῦ, ἑλκύσασα μυστικῶς, τοὺς ἐν σκότει Παρθένε, τῷ τῆς ἀγνωσίας κρατουμένους, καὶ νῦν

βοῶντας πιστῶς. Δόξα τῇ δυνάμει σου Κύριε·

Τῇ ῥάβδῳ τῆς θείας σου ῥοπῆς, τὴν ἄνικμον καρδίαν μου, ἀναστομώσασα δακρύων πηγὰς, ἐκβλύζειν καὶ ποταμοὺς, Θεοτόκε ποίησον· δι᾽ ὧν μολυσμοῦ τῆς ἁμαρτίας, ἀποπλυθεῖσα φαιδρὰ, τῷ υἱῷ τῷ σῷ ἐποφθήσεται.

Ἀνάνηψον τάλαινα ψυχὴ, καὶ κράξον ἐκ βαθέων σου, τῶν ὀδυνῶν τῷ μόνῳ Θεῷ ἡμῶν· ἡμάρτηκά σοι Σωτήρ· ἀλλ᾽ οἰκτείρας σῶσόν με, ταῖς τῆς σὲ τεκούσης ἀπειράνδρου, πρεσβείαις ὡς ἀγαθὸς, καὶ τοῖς ἐκλεκτοῖς συναρίθμησον.

Ωδὴ, ε'. Θεὸς ὢν εἰρήνης.

Ἰδού σοι τὸ χαῖρε βοῶμεν πιστοὶ, χαῖρε θρόνε ὑψίστου πυρίμορφε, καὶ πύλη σωτηρίας ἡμῶν τῶν γηγενῶν· Χαῖρε τῆς οἰκουμένης, ἐντρύφημα Πάρθενε, καὶ χαράκωμα θεῖον, καὶ ἀσφαλὲς φυγαδευτήριον.

Ἡ κλίμαξ ἣν εἶδέ ποτε Ἰακὼβ, τοὺς βροτοὺς ἀπὸ γῆς ἡ ἀνάγουσα, εἰς δόξαν τὴν οὐράνιον σὺ εἶ ὡς ἀληθῶς, Παντάνασσα Μαρία· διό σοι καὶ τὸ χαῖρε, εὐχαρίστως βοῶμεν, οἱ σεσωσμένοι τῇ κυήσει σου.

Ἡ σκέπη τοῦ Κόσμου καὶ πάντων χαρὰ, ἡ προφθάνουσα τάχος καὶ σώζουσα, οἰκτείρησον καὶ νῦν ἡμᾶς Θεόνυμφε ἁγνὴ, τοὺς σὲ προσκαλουμένους, ἀεὶ ἐν περιστάσει· προστασίαν γὰρ ἄλλην, μετὰ Θεὸν ἡμεῖς οὐκ ἔχομεν.

Ναὸς ὡς ὑπάρχουσα φωτοειδὴς, τοῦ Δεσπότου τῶν ὅλων καὶ σκήνωμα, ναόν με χρηματίσαντα καὶ σπήλαιον λῃστῶν, καθάρισόν με ὅλον, καὶ λάμπρυνον Παρθένε, καὶ νυμφῶνα πρὸς θεῖον, ἔνδον εἰσάγαγε Πανάμωμε.

Ωδὴ ς'. Σπλάγχνων Ἰωνᾶν.

Χαίροις διαυγὴς, πηγὴ καὶ ἀκένωτε, ἐξ ἧς τὸ φαιδρὸν καὶ καθαρώτατον, καὶ ἀείζωον, ὕδωρ βλῦσαν ποτίζει διψῶντα λαὸν, καὶ δροσίζει τοὺς φλογμῷ τῶν παραπτώσεων, πάλαι κρατουμένους Δέσποινα, καὶ εἰσάγει εἰς θείαν ἀνάψυξιν.

Χαίροις ποταμὲ, Θεοῦ ἀνεξάντλητε, ὑδάτων πολλῶν ὄντως ἀνάπλεως· δι᾽ οὗ ἅπασα, καταρδεύεται κτίσις ὑμνοῦσά σε· καὶ εὐφραίνονται καρδίαι Θεονύμφευτε, πᾶσαι αἱ φλογμῷ κρατούμεναι, καὶ διψῶσαι νεκρέγερτα νάματα.

Φῶς μοι φωτεινὸν, Δεσπότου παλάτιον, γενοῦ τῷ πολλοῖς περιπεσόντι δεινοῖς, καὶ καθεύδοντι, ἀπογνώσεως ὅλως πρὸς βάραθρον, καὶ τὴν σὴν ἐπιζητοῦντι θείαν σύναρσιν· πλήν σου ἄλλην γὰρ οὐ κέκτημαι, προστασίαν ὁ δοῦλός σου Δέσποινα.

Νέος οὐρανὸς, ἐδείχθης λαμπρότατος· ἀνέτειλας γὰρ τὸν μέγαν ἥλιον, καὶ ἀνέσπερον, ὑπὲρ λόγον καὶ ἔννοιαν πάναγνε, ἀθεΐας τε τὴν νύκτα διαλύσασα. Ὅθεν πᾶσα κτίσις συναγάλλεται, καὶ τὸ χαῖρε ἀπαύστως κραυγάζει σοι.

Κάθισμα, Τὸν τάφον σου Σωτήρ.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε· Παρθένος ἀληθῶς, ἐν τόκῳ τῷ Παρθένε· Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας, καὶ Παρθένον σε, ὁμολογοῦμεν Παρθένε, καὶ ἐλπίζομεν ἐν σοὶ Παρθένε σωθῆναι, παρθένων τὸ καύχημα.

Ωδὴ, ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

Χαῖρε Θεοκυῆτορ, δυστυχούντων ἀσφαλὴς ἀνόρθωσις· Χαῖρε προπύργιον στεῤῥὸν, βασιλέων καὶ κραταίωμα, καὶ βεβαία προστασία τοῖς κραυγάζουσιν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Χαῖρε Θεογεννῆτορ, ἡ φωτός σου ταῖς ἀκτῖσι λάμψασα, τὴν οἰκουμένην σκοτινοῖς, ἐμπεσοῦσαν παραπτώμασι, καὶ φαιδρύνοῦσα τοὺς πίστει ἀναμέλποντας, ὁ τῶν Πατέρων.

Ὡς ὄμβρος ἐπὶ πόκον, καταβὰς ἐν σοὶ γαστρὶ σεσάρκωται, ὁ τῆς εἰρήνης ποταμός· ἡ πηγὴ τῆς ἀγαθότητος· ὁ σταγόνας ὑετοῦ ἐξαριθμούμενος· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Η μόνη τὸν Σωτῆρα ὑπὲρ νοῦν σωματωθέντα τέξασα, κυριευθέντα με δεινοῖς, πειρασμοῖς καὶ κινδυνεύοντα, ἐλευθέρωσον ἁγνὴ καὶ σῶσον ψάλλοντα· ὁ τῶν Πατέρων Θεός.

Ωδὴ, η'. Θαύματος ὑπερφυοῦς.

Χαίροις ὑπερέχουσα τῶν ἄνω μόνη, στρατευμάτων Πανάμωμε Κόρη, χαίροις ὑπερθαύμαστε· Χαῖρε σκέπη τῶν γηγενῶν· Χαῖρε γέφυρα ζωὴν πρὸς τὴν ἀθάνατον, βροτοὺς ἐπανάγουσα τοὺς μέλποντας· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε τοῦ φωτὸς τοῦ ἀπροσίτου, θεῖον ἐνδιαίτημα Παρθενομῆτορ· Χαῖρε χώρα εὔκαρπε, στάχυν θεῖον ὡς ἀληθῶς, ἐκβλαστήσασα τὸν τρέφοντα τὰ σύμπαντα· ᾧ πάντες βοῶμεν ἀναμέλποντες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἰδοὺ τὸ πέρας, παρθενεύουσα τίκτει Παρθένος, γεγονότα ἄνθρωπον, τὸν τῶν ὅλων Δημιουργὸν, τὸν συνάναρχον Πατρί τε καὶ τῷ Πνεύματι· ᾧ πάντες κραυγάζομεν γηθόμενοι· εὐλογείτω ἡ κτίσις πᾶσα.

Σῶσαι βουληθεὶς ὡς εὐεργέτης φύσιν, τῶν βροτῶν ὁ πάντα κτίσας λόγῳ, ὅλον με ἐφόρεσεν, ὅλος ὅλῳ μοι ἑνωθεὶς, ἐκ Παρθένου σαρκωθεὶς ὁ ὑπερούσιος, ᾧ πάντες σκιρτῶντες ἀνακράξομεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν Κύριον. Ὁ Ειρμός.

" Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέ-
" γει νέους, ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀνα-
" μέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· καὶ ὑπερυψούτω.

Ωδὴ, θ'. Τύπον τῆς ἁγνῆς.

Χαῖρε Μήτηρ τοῦ Παντάνακτος, Χαῖρε χαρᾶς τοῦ Κόσμου αἰτία Πάναγνε· Χαῖρε δάμαλις, ἡ γραφικὴ μόσχον φέρουσα, Ἰησοῦν τὸν Σωτῆρα καὶ Κύριον, Χαῖρε φωτὸς δοχεῖον· Χαῖρε πταιόντων ἱλαστήριον.

Χαῖρε πάντων ἐγκαλλώπισμα· Χαῖρε λαβὶς τὸν θεῖον ἄνθρακα φέρουσα· Χαῖρε πορφυρὶς, βασιλικὴ ἀγλαόχρυσε, χαῖρε νόμων Θεοῦ φυλακτήριον· Χαῖρε ἡ τὰς προῤῥήσεις, τῶν Προφητῶν σαφῶς περάνασα.

Χαίροις οὐρανὲ κατάστερε, πεποικιλμένη ἀρετῶν ταῖς λαμπρότησι· Χαῖρε βασιλὶς, ἐκ

δεξιῶν τοῦ Δεσπότου σου, ἱσταμένη τὸ ἔνδυμα ἔχουσα, σεπτῶς κεκοσμημένον, ὡς ὁ Δαβὶδ σοι ἀνεβόησε.

Χαῖρε λογικὲ Παράδεισε, ξύλον ζωῆς ἐν μέσῳ Χριστὸν βλαστήσασα, τοῦ προτέρου ξύλου καθελόντα τὸ ἔμπικρον, καὶ τοὺς πάλαι τῇ βρώσει τεθνήξαντας, γλυκάναντα καὶ θείας, ζωῆς μετόχους ἀναδείξαντα.

Προσόμοιον. ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Χαῖρε φωτὸς ἡ νεφέλη, καὶ στύλε πύρινε, τὸν νοητὸν εἰσάγων, Ἰσραὴλ πρὸς ἀξίαν, κατάπαυσιν Παρθένε Χαῖρε σεμνὴ, τοῦ Ἀδὰμ ἡ ἀνόρθωσις· καὶ τῶν δακρύων τῆς Εὔας ἀπαλλαγή· Χαῖρε κόσμου ἡ βοήθεια.

Χαῖρε λαβὶς ἡ τὸν θεῖον ἄνθρακα φέρουσα· Χαῖρε τῆς Ἐκκλησίας, τὸ ἀπόρθητον τεῖχος· πιστῶν Χαῖρε τὸ κράτος· Χαῖρε βροτῶν, πρὸς Θεὸν ἱλαστήριον· Χαῖρε μετάγουσα γέφυρα πρὸς ζωὴν, τοὺς ὑμνοῦντάς σε Θεόνυμφε.

Χαῖρε Παντάνακτος Μήτηρ· Χαῖρε βασίλισσα, τῶν βασιλίδων Κόσμου, Θεοτόκε Μαρία· Χαῖρε τῶν ἀσθενούντων ἡ ταχινὴ, ἰατρεία καὶ λύτρωσις· Χαῖρε τρυφὴ Παραδείσου τοῦ ἐν Ἐδὲμ, ἀσυγκρίτως ὑπερέχουσα.

Μαρμαρυγαῖς ἀκηράτοις τοῦ θείου Πνεύματος, καταυγασθῆναι δίδου, τὴν ζοφώδη ψυχήν μου· καὶ σκότους ἐξωτέρου ῥῦσαι ἁγνὴ, καὶ αὐλίζεσθαι πάντοτε, ταῖς τῶν ἁγίων λαμπρότησιν ἐν χαρᾷ, Θεοτόκε καταξίωσον.

ΑΡΧΗ ΤΟΥ Β'. ΗΧΟΥ·

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ, ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΣΜΥΡΝΗΣ·

Οὗτινός εἰσι καὶ τὰ ἐν τῇ ὀκτωήχῳ Τριαδικὰ· φέρων ἀκροστιχίδα τήνδε.

" Μητροφάνης μέλπω σε Δέσποινα Θεοτόκε,, .

Ὠδὴ, α'. ἦχος β'. Ἐν βυθῷ κατέστρωσέ ποτε·

Μορφωθεὶς ἐκ σοῦ τὸ καθ' ἡμᾶς, ἥλιος ἀνέσπερος, σὲ λογικὸν οὐρανὸν φαεινότατον, προφανῶς ἀνέδειξε· διὸ ῥῦσαί με, τῶν παθῶν τῆς ζοφώσεως, ὅπως ἀνυμνήσω, πόθῳ σε τὴν μόνην Μητροπάρθενον.

Η πηγὴ ἐλέους τὸν Χριστὸν, Πάναγνε κυήσασα, καὶ τὴν Ἐδὲμ τοῖς βροτοῖς διανοίξασα, πύλας μοι διάνοιξον, τοῦ ἐλέους σου, Θεοτόκε καὶ δώρησαι, τῶν πλημμελημάτων,

Δέσποινα τοῦ Κόσμου τὴν συγχώρησιν.

Τὴν λαβίδα τὴν τὸν νοητὸν, ἄνθρακα βαστάσασαν, καὶ τῶν βροτῶν τὴν φύσιν ἐκκαθάρασαν, δυσωπῶ σε Δέσποινα, τὸν μολυσμὸν τῶν πταισμάτων μου ἄφελε, καὶ τῶν συνθολούντων, ῥῦσαί με παθῶν ταῖς σαῖς δεήσεσιν.

Ῥῆξόν μου πταισμάτων τὰς σειρὰς, πάντων καταφύγιον, τὸν σὸν υἱὸν καὶ Θεὸν ἱκετεύουσα, καὶ τὴν τυραννοῦσάν με, ἀειπάρθενε, ἁμαρτίαν κατάβαλε· ὅπως σε γεραίρω, πάντοτε Πανύμνητε σωζόμενος.

Ὠδὴ, γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως·

Ὀμίχλην τῶν παθῶν μου καὶ σκοτομήνην, ἀπέλασον ταῖς αἴγλαις τῶν πρεσβειῶν σου, καὶ φώτισόν με Πάναγνε ἡ τεκοῦσα, τὸν ἀνατείλαντα, πρὸ ἑωσφόρου Χριστὸν, ἐξ ἡλίου ἥλιον ἄδυτον Δέσποινα.

Φλογίζουσα ῥομφαία τὰς ἁμαρτίας, καὶ πάθη τῆς ψυχῆς μου γενοῦ Παρθένε· καὶ δεῖξόν με Παράδεισον ὥσπερ ἄλλον, ἀνεπιβούλευτον, καὶ φυλαττόμενον, ὑπὸ σοῦ καὶ φέροντα ἄνθη τοῦ Πνεύματος.

Ἀνέστησας Πανάχραντε τῷ σῷ τόκῳ, σκηνὴν τὴν πεπτωκυῖαν καὶ συντριβεῖσαν, Δαβὶδ τοῦ σοῦ προπάτορος Θεοτόκε· διὸ ἀνάστησον, κἀμὲ τὸν δοῦλόν σου, συντριβέντα πάθεσι καὶ παραπτώμασιν.

Νοσοῦσαν τὴν ψυχήν μου Θεοκυῆτορ, δαιμόνων ἐπηρείαις καὶ ῥαθυμίᾳ, θεράπευσον καὶ δάκρυα μετανοίας, δὸς τῇ καρδίᾳ μου, καὶ τοῦ Δεσπότου μου, ἐν αὐτῇ ἐμφύτευσον φόβον Πάναγνε.

Ὠδὴ, δ΄. Ὑμνῶ σε ἀκοῇ.

Ἡ ζύμη τῆς βροτείας φύσεως, ἡ ἀμόλυντος καὶ ἁγία· ἐξ ἧς λαβὼν φύραμα, ἀνέπλασεν αὐτὴν ὁ Κτίστης· κἀμοῦ τῶν παθῶν τὸν ῥύπον ἔκπλυνον, καὶ μολυσμοῦ πταισμάτων με καθάρισον.

Σειράς μου τῶν παθῶν διάλυσον, καὶ τοὺς βρόχους τῶν ἐγκλημάτων, διάρρηξον Δέσποινα, τῶν πρεσβειῶν σου τῇ μαχαίρᾳ, Χριστὸν ἡ τεκοῦσα τὸν τὴν λύτρωσιν, τοῖς ἐν δεσμοῖς τοῦ ᾍδου παρεχόμενον.

Μοτώσει πρεσβειῶν σου Δέσποινα, καὶ μαλάγματι καὶ ἐλαίῳ, ψυχῆς ἐμῆς μώλωπας, καὶ τὰς πληγὰς τῆς ἁμαρτίας ἁγνὴ, νῦν θεράπευσον ὡς τέξασα, θεαρχικὸν βοήθημα τῆς φύσεως.

Ἐκ πάντων τῶν καλῶν γεγύμνωμαι, καὶ ὑπέρκειμαι τῇ κακίᾳ, ὑπερβαλὼν ἅπαντας, τοὺς πάλαι τε καὶ νῦν πεσόντας· διὸ τοῖς προτέροις με καλλώπισον, καὶ τῶν δευτέρων λύτρωσαι Θεόνυμφε.

Ὠδὴ, ε΄. Ὁ φωτισμός.

Ἐκ τῆς ἀρᾶς, τῆς ἀρχαίας τὸν Κόσμον ὡς ἐλυτρώσω, Δέσποινα τοῦ Κόσμου τὴν εὐλογίαν Χριστὸν τεκοῦσα, λογισμῶν τῶν ἀτόπων λύτρωσαί με, καὶ πάσης θλίψεως· μόνη γὰρ ὑπάρχεις πιστῶν ἀγαλλίασις.

Λαίλαψ δεινή, συστροφῆς τῶν πνευμάτων τῆς πονηρίας, τὴν ἐμὴν διάνοιαν ἐκταράττει, πρόφθασον θᾶττον καὶ γαλλήνισον ταύτην, ἡ τεκοῦσα τὸν πάσης Κτίσεως, μόνον κυβερνήτην Χριστὸν Παντοδύναμον.

Λάμψον μοι φῶς μετανοίας, ἐν σκότει τῆς ἀπωλείας, τῷ κατῳκισμένῳ Θεογεννῆτορ· δίδου μοι χεῖρα βοηθείας κειμένῳ, καὶ ταῖς σαῖς πρεσβείαις με ἔγειρον, πράττειν τοῦ Θεοῦ, τὰ σεπτὰ δικαιώματα.

Πολιορκεῖ τῆς ψυχῆς μου τὴν πόλιν δαιμόνων στῖφος, καὶ καταπορθῆσαι σφοδρῶς πειρᾶται· δεδοξασμένη τοῦ Παντάνακτος Πόλις, τείχησόν με ταῖς πυργοβάρεσι, Δέσποινα τῶν σῶν πρεσβειῶν καὶ διάσωσον.

Ὠδὴ, ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὡς ζωὴν τὴν αἰώνιον τέξασα, τὸν ἀπὸ τοῦ σώματος ἐξεγειρόμενον, ἐν τῇ ψυχῇ μου θάνατον, σαῖς πρεσβείαις Πανάχραντε νέκρωσον.

Σκολιὰς τροχιὰς πορευόμενον, πρὸς εὐθυτάτην με τρίβον ὁδήγησον, ἡ τὴν ὁδὸν κυήσασα, τῆς ζωῆς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν.

Ἐνεδρεύει πειράζων με Δέσποινα, δράκων ὁ μισάνθρωπος· ἀλλ' ὡς γεννήσασα, τὸν κεφαλὰς συντρίψαντα, τῶν δρακόντων καὶ τοῦτον κατάργησον.

Διαπλέων τοῦ βίου τὸ πέλαγος, περιπίπτω κύμασιν ἀπείρων θλίψεων· ἡ κυβερνήτην τέξασα, τοῦ Παντὸς Παναγία βοήθει μοι.

Κάθισμα. Τὰ ἄνω ζητῶν.

Εἰς σὲ τὴν ἁγνὴν, πιστῶς ἐπιβοώμενοι, κινδύνων πολλῶν, καὶ πταισμάτων λυτρωθείημεν· καὶ γὰρ ἄλλην ἄχραντε, ταχινὴν οὐκ ἔχομεν παράκλησιν, συμπαθῆ φιλάγαθον εὔσπλαγχνον, βραβεύουσαν πᾶσι σωτηρίαν ψυχῶν.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Σὲ πύλην εἰδὼς, νοητῆς ἀνατολῆς τῆς οὐρανόθεν, ἐπιφανείσης εἰσελεύσεσθαι, εἰς οὐρανοὺς ὁ οἰκέτης σου, διὰ σοῦ λιτάζω Παρθένε· διὸ δέξαι με Δέσποινα, καὶ φωταγώγησον ἐν σοὶ καὶ καθοδήγοσον.

Πηγὴ φωτισμοῦ, Παραδείσου λογικοῦ ἐξωρμημένη, τῆς γῆς ποτίζει πᾶν τὸ πρόσωπον, τρυφῆς χειμάῤῥους ὁ ἄϋλος, Πνεύματος ἁγίου ἡ χάρις, ἐκ σοῦ Πάναγνε Δέσποινα· ἧς καταξίωσον κἀμὲ, μεταλαβεῖν δαψιλῶς.

Ὁ πόκος ποτὲ, προεδήλου Γεδεὼν τὴν σὴν γαστέρα, εἰσδεξαμένην τὴν οὐράνιον, δρόσον τὴν πάντας δροσίζουσαν, τοὺς κεκρατημένους τῷ δίψει τῆς ἁμαρτίας Πανύμνητε, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ἰκρίῳ Χριστὸς, ὁ υἱός σου προσπαγεὶς ἐθελουσίως, ἀρχὰς τοῦ σκότους ἐθριάμβευσε, καὶ τοῦ θανάτου κατέλυσε, τὴν φθοροποιὸν δυναστείαν. Διὸ Δέσποινα Πάναγνε, τὸ ἐμπαθές μου τῆς σαρκὸς φρόνημα νέκρωσον.

Ωδὴ, η'. Ἰνδάλματος.

Ναμάτων ζωτικῶν, τὴν τακεῖσάν μου καρδίαν τῆς ἁμαρτίας, φλογμῷ Παρθένε σὺ κατάρδευσον Θεοτόκε, ἐν κατανοίξει πάντοτε διατηροῦσά με, πίστει μελῳδοῦντα· ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω.

Αμόλυντε ἀμνὰς, ἀπειρόγαμε ἀμίαντε μόνη Κόρη, ἡ ἀπειρόζυγος καὶ ἄφθορος Θεοῦ νύμφη· ἡ ἀλοχεύτως μόσχον σιτευτὸν κυήσασα, δάμαλις ὡραία· ἐλάφρυνον ἆρον ἐκ τῆς ψυχῆς μου, τὸν βαρὺν κλοιὸν, καὶ ζυγὸν τῆς ἁμαρτίας.

Θεότευκτος σκηνὴ, χρηματίζουσα τὸν ἅγιον τῶν ἁγίων, τὸν ὑποδείξαντα τῆς πάλαι σκηνῆς τὸν τύπον, ἀρχιερέα μέγαν ἔνδον ἔχουσα, τὴν ἐμὴν καρδίαν Παρθένε, ἀνάδειξον τοῦ ὑψίστου, καὶ παμβασιλέως Χριστοῦ σκηνὴν ἁγίαν.

Ετμήθη ἐκ τῆς σῆς, μήτρας Δέσποινα ὁ ἔντιμος ὡς ἐξ ὄρους, λίθος πανάσπιλε, καὶ στήλην ἁπάσης πλάνης ὡς Παντοκράτωρ, μόνος πανσθενὴς συνέτριψε· δι' οὗ νῦν εἰκόνας παθῶν ἐξαφάνισον τῆς ψυχῆς μου, τὰς τῶν νοητῶν δυσμενῶν συνθλῶσα μύλας.

Αἰνοῦμεν εὐλογοῦμεν. Ὁ Εἱρμός.

Ἰνδάλματος χρυσοῦ καταπτύσαντες τρισόλβιον νεανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ εἰκόνα τεθεαμένοι, μέσον τοῦ πυρὸς ἀνέμελπον, ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον.

Ωδὴ, θ'. Ἡ τὸν πρὸ ἡλίου.

Ο τὰς ἀσωμάτους οὐσίας, ὡς Θεὸς ὑποστησάμενος, ἐκ σοῦ ἁγία Κόρη σεσωμάτωται· διὸ ῥῦσαι σωματικῶν παθῶν ἐπαναστάσεως, καὶ σαρκικοῦ φρονήματος, τὸν σὸν ἱκέτην σαῖς δεήσεσιν.

Τῆς δικαιοσύνης Παρθένε, τὸν ἥλιον Χριστὸν ἀνέτειλας, καὶ οὐρανὸς ἐδείχθης φωτεινότατος· διὸ νύκτα τὴν τῶν παθῶν, σαῖς αἴγλαις διασκέδασον, καὶ τὴν ψυχήν μου φώτισον, καὶ τὴν καρδίαν καταλάμπρυνον.

Οπου τῶν δικαίων ὁ δῆμος, ἐν φωνῇ ἀγαλλιάσεως, ἐγκατοικεῖν με τότε τὸν ἀνάξιον, καταξίωσον τῶν κακῶν, τὸ πλῆθος παρορῶσά μου, ἡ τὸν τοῦ κόσμου αἴροντα, τὴν ἁμαρτίαν γαλουχήσασα.

Κρῖνον Θεοτόκε Μαρία, καὶ δίκασον δεινὸν ἀντίδικον, καὶ τῆς αὐτοῦ με δίκης ἀπολύτρωσαι· τὸν Κριτὴν γὰρ τὸν ἀγαθὸν, καὶ δίκαιον γεγέννηκας, τὸν ἐν ζυγοῖς Θεότητος, καταδικάσαντα τὸν θάνατον.

Ελυσας τῆς Εὔας τὴν λύπην, τὸν Ἀδὰμ τὸν νέον τέξασα, τοῦ πρὶν Ἀδὰμ τὴν φύσιν ἀναπλάσαντα· διὸ λῦσον καὶ τῶν ἐμῶν, πταισμάτων τὸ χειρόγραφον, καὶ πειρασμοῦ καὶ θλίψεων, καὶ τῶν παθῶν με ἐλευθέρωσον.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαῖρε ὑψιμέδοντος Θεοῦ, Μήτηρ καὶ Παρθένε καὶ σκέπη, τῶν προστρεχόντων εἰς σέ· Χαῖρε πάντων Ἄνασσα τῶν Ἀρχαγγέλων ἁγνή· οὐρανῶν Χαῖρε Δέσποινα, καὶ τῶν ἐπιγείων, μόνη κυριεύουσα ὡς βασιλὶς ἀληθῶς· Χαῖρε βασιλέων τὸ κέρας· πάντων τῶν πιστῶν Χαῖρε δόξα· τῶν Χριστιανῶν τὸ καταφύγιον.

Χαῖρε μυστηρίου τοῦ φρικτοῦ, καὶ ἀκαταγνώστου Παρθένε, θεία φανέρωσις· Χαῖρε στάμνε πάγχρυσε· Χαῖρε Παράδεισε· τοῦ Ἀδὰμ Χαῖρε θύγατερ, καὶ τοῦ Πλαστουργοῦ μου, Μήτηρ ἀπειρόγαμε, εὐλογημένη σεμνή· Χαῖρε τῶν εἰς σὲ προστρεχόντων, καύχημα καὶ ἄρρηκτον τεῖχος· Χαῖρε θλιβομένων ἡ παράκλησις.

Χαῖρε λίθε τίμιε Θεοῦ, τῶν τιμίων λίθων ἁπάντων ἡ ὑπερέχουσα· Χαῖρε ὁ λαμπρότατος τοῦ Βασιλέως Χριστοῦ, μαργαρίτης καὶ ἔμψυχον, κειμήλιον Χαῖρε, λιθομαργαρόχρυσον, Θεοκυῆτορ ἁγνή· Χαῖρε τὸ βαρύτιμον σκεῦος, Πνεύματος ἁγίου Παρθένε, τῶν πολυτελῶν ἡ πολυτέλεια.

Δεῦρο ὦ ταλαίπωρε ψυχή· πρόσπεσον Μητρὶ τοῦ Χριστοῦ σου, δακρυῤῥοοῦσα θερμῶς, λύσιν τῶν σφαλμάτων σου, καὶ δυσχερῶν συνοχῆς, αἰτουμένη καὶ κράζουσα, Πανάμωμε Κόρη, πρόφθασον καὶ ῥῦσαί με πάσης κολάσεως· πάσης ἀπειλῆς ψυχοφθόρου· πάσης τρικυμίας καὶ νόσου, καὶ ἐχθρῶν τῶν μάτην πολεμούντων με.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

Ωδὴ, α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.

ΥΠΕΡ πᾶσαν φύσιν λογικὴν, τὸν ἐξαμαρτήσαντα, ἡ ὑπερβᾶσα Ἀγγέλων τάγματά, ἐν ἁγιοσύνῃ τε καὶ σεμνότητι. καὶ νοὸς καθαρότητι, σῶσόν με Παρθένε, ἵνα σε γεραίρω τὴν Πανύμνητον.

Ηδονῶν ὁ κλύδων ὁ σφοδρὸς, αὔραις κυμαινόμενος, τῶν τῆς κακίας πνευμάτων χειμάζει με, Κόρη ἀπειρόγαμε, μετανοίας με πηδαλίῳ ἰθύνασα, πρὸς τοὺς ἀπαθείας, ὅρμους τοὺς γαληνιῶντας ὅρμισον.

Λεπρωθέντα νοῦν καὶ τὴν ψυχὴν, κάθαρόν με Δέσποινα, ὡς τὸν λεπρὸν ὁ υἱός σου ἐκάθηρε· θέλω καθαρίσθητι, ἐπειποῦσά μοι· καὶ γὰρ πάντα τῷ λόγῳ σου, πείθεται τεκούσης, λόγον τοῦ Πατρὸς τὸν ὁμοούσιον.

Υλοτόμος Δέσποινα γενοῦ, τὴν ὑλομανοῦσάν μου, καὶ χερσωθεῖσαν καρδίαν καθαίρουσα, καὶ προῤῥίζους τίλλουσα καὶ ἐκτέμνουσα, καὶ πυρὶ θείῳ καίουσα, τὰς ἀκανθηφόρους, καὶ θανατηφόρους ἁμαρτίας μου.

Ωδὴ, γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ανθρώπων σωτηρίας ἡ ζῶσα πύλη, ὑπάνοιξόν μοι πύλας δικαιοσύνης, καὶ θύραν μετανοίας ὡς ἂν ἐν ταύταις, ἐξομολόγησιν καὶ ἐξαγόρευσιν, εἰσελθὼν προσάξαιμι τῷ Κυρίῳ μου.

Σφραγίδι με σημείωσον καὶ τῷ τύπῳ, τῆς σκέπης σου ψυχῆς μου ἐν τῷ μετώπῳ, ὡς ἂν

ἀπὸ προσώπου φύγοιμι τόξου, τοῦ ὀλοθρεύοντος, μὴ ὡς ἀσήμαντον, Θεοτόκε πρόβατον διασπάσῃ με.

Εἰκόνα τοῦ υἱοῦ σου τὴν κεχωσμένην, δραχμὴν βασιλικὴν τὴν ἀπολωλυῖαν, ζητήσασα Παρθένε καὶ ἐφευροῦσα, τὸν ἐπικείμενον χοῦν ἐν αὐτῇ τῶν παθῶν, καὶ τὴν κόνιν τίναξον καὶ ἀπόσμηξον.

Ῥομφαίᾳ με τὸν τρώσαντα ἁμαρτίας, ἀντίτρωσον ἐκχέασα τὴν ῥομφαίαν, πλευρὰν τὴν διατρήσασαν τοῦ υἱοῦ σου, Θεογεννήτρια, καὶ καταδίωξον, καὶ εἰς τέλος σύντριψον καὶ κατάσφαξον.

Ωδὴ, δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἐν θλίψεσι σὲ πλουτοῦμεν Παρθένε παράκλησιν· ἐν λύπαις ἀνάψυξιν· ἐν πειρασμοῖς παραμύθιον, πρόμαχον καὶ σύμμαχον, καὶ σωτηρίαν ἑτοίμην καὶ ἀντίληψιν.

Η τέξασα θελητὴν τοῦ ἐλέους μὴ θέλοντα, ἁμαρτωλῶν θάνατον, τῇ μετανοίᾳ δὲ μάλιστα, τούτου ἡδυνόμενον, πρὸς μετανοίας ὁδοὺς με χειραγώγησον.

Ἰώμενος τῆς προμήτορος Εὔας τὸ σύντριμμα, ἐκ τῆς Θεομήτορος Κόρης ἡμῶν ἐπεδήμησας, Δέσποτα φιλάνθρωπε· δι' ἧς κἀμὲ συντριβέντα λόγῳ ἴασαι.

Στενάζοντα ἐν νυκτὶ καὶ ἡμέρᾳ ἑκάστοτε, καὶ θρήνοις κοπτόμενον, καὶ ῥαντιζόμενον δάκρυσιν, οἴκτειρόν με Δέσποινα, καὶ ἀοράτῳ ῥοπῇ σου παρακάλεσον.

Ωδὴ, ε΄. Ὁ φωτισμός.

Ο ποταμὸς, τῶν Θεοῦ χαρισμάτων τοὺς ὀφθαλμούς μου, ἔμπλησον δακρύων καὶ τῆς ψυχῆς μου, Θεοκυῆτορ τὰς ἀνύδρους ἀρούρας, καὶ αὐχμώσας μέθυσον αὔλακας, ἵνα πληθυνθῶσιν αὐτῆς τὰ γεννήματα.

Ἐν ταῖς χερσὶ, σοῦ Παρθένε οἱ κλῆροι οἱ τῆς ψυχῆς μου· ῥῦσαι ἐκ χειρός με νῦν τῶν ἐχθρῶν μου· ἐπίφανόν τε σοῦ τὸ πρόσωπον Κόρη, Παναγία ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με τῷ θείῳ ἐλέει σου Δέσποινα.

Ἀνατολῆς, τῆς ἐξ ὕψους φανείσης ἐδείχθη πύλη· θρόνος ἐπηρμένος τοῦ βασιλέως· οὐρανομήκης καὶ μετάρσιος κλίμαξ· δι' ἧς ἐπέβη Χριστὸς πανάχραντε, καὶ τοῖς ἀπωσμένοις βροτοῖς προσωμίλησεν.

Ο ὑψηλὸς, καὶ περίβλεπτος θρόνος τοῦ βασιλέως, τῶν βασιλευόντων ἡ θεία κλίνη ἡ θεοδόχος· ὁ πανάγιος οἶκος, τὸ ἀβέβηλον ἱλαστήριον· ἡ Θεογεννήτωρ Μαρία ὑμνείσθω μοι.

Ωδὴ, ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ψαλμικῶς εὐφημοῦντες βοῶμεν σοι· Χαῖρε τὸ πιώτατον ὄρος Χριστοῦ τοῦ Θεοῦ, ὃ κατοικεῖν ηὐδόκησε, δι' ἡμῶν σωτηρίαν Θεόνυμφε.

Χαῖρε πύλη Θεοῦ ἀδιόδευτε· Χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα· Χαῖρε δι' ἧς μοι δέδωκεν, ἡ φλογίνη ῥομφαία τὴν εἴσοδον.

Ὀμβροφόρε νεφέλη θεόδροσε, τὴν κατεψυγμένην ψυχήν μου τῷ καύσωνι, τῆς ἁμαρτίας δρόσισον, καὶ χειμάῤῥῳ τρυφῆς αὐτὴν πότισον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ρυπαροὶ λογισμοί με μολύνουσι· φαῦλαι καὶ αἰσχραὶ ἐνθυμήσεις μιαίνουσι, τὴν ταπεινὴν καρδίαν μου, Παναγία Παρθένε βοήθει μοι.

Κάθισμα. Τὰ ἄνω ζητῶν.

Τῷ θείῳ φωτὶ τὸ σκότος τῆς καρδίας μου, μακρὰν ἀγαθὴ ἀπέλασον διδοῦσά μοι, ὀχετοὺς εἰς ἔκπλυνσιν τῶν κακῶν μου· δι᾽ ὧν ἐλύπησα τὸν ὑπεράγαθον Κύριον· ἐν σοὶ γάρ μοι μόνη ἡ παράκλησις.

Ωδὴ, ζ΄. Εἰκόνος χρυσῆς.

Τὸν βίον ψυχὴ, ὡς πανήγυριν σαφῶς ἐπισταμένη, καλῶς ἐντεῦθεν πραγματεύθητι, ὡς ἂν κερδήσῃς τὰ μέγιστα, τὴν τῶν οὐρανῶν Βασιλείαν, καὶ τὴν δόξαν τὴν ἄῤῥητον, εἰ γὰρ παρέλθῃ πρὸς μικρὸν, ἄλλον οὐχ ἕξεις καιρόν.

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα τὸν Χριστὸν σύ με ὁδήγησον, ὁδὸν εἰς εὐθεῖαν τὴν ἀπάγουσαν εἰς Παραδείσου σκηνώματα, καὶ πρὸς τὰς ἐκεῖ καταπαύσεις, τὴν ὁδὸν κατευθύνουσα, καὶ τῆς ψυχῆς μου ἀγαθὴ τὰ διαβήματα.

Ἰὸς τὴν ἰσχὺν, ἁμαρτίας χαλεπῆς ἐκδαπανᾷ μου· ἀλλ᾽ ἐπινεύσει φιλευσπλάγχνῳ σου, τῇ σῇ παλάμῃ τῆς χάριτος, πρόφθασον ἀπάντλησον τοῦτον, ὡς τοῦ κόσμου τὸν αἴροντα, τὰς ἁμαρτίας ἐπὶ γῆς μόνη κυήσασα.

Υἱὸν τοῦ Θεοῦ διὰ σπλάγχνα οἰκτιρμῶν υἱὸν ἀνθρώπου, γεγεννημένον ἡ γεννήσασα, υἱὸν φωτὸς καὶ ἡμέρας με, τὸν νυκτός τε καὶ σκότους, ὑπεράμωμε ποίησον, καὶ οὐρανίου Πατρὸς ἄξιον δεῖξον υἱόν.

Ωδὴ, η΄. Τὸν ἐν καμίνῳ.

Χαλδαϊκὴν πυρκαϊὰν, καὶ πυρφόρον μοι παθῶν ἄσπετον φλόγα, ὁ Ναβουχοδονόσορ ὁ νοητὸς καὶ δεινὴν, ἀνῆψε παφλάζουσαν κάμινον· ἣν τῶν πρεσβειῶν σου, δρόσῳ σβέσον Παρθένε.

Νοῦν κεκτημένος, ἐμπαθῆ, καὶ ἀτόποις λογισμοῖς κεκοινωμένον, ἐπὶ σὲ καταφεύγω τὸ καθαρὸν τοῦ Θεοῦ, εὐῶδες παλάτιον Δέσποινα, κάθαρόν με πάσης, γηΐνης δυσωδίας.

Χριστοῦ σε βίβλον ἱερὰν, ἐν τῷ Πνύματι Θεοῦ ἐσφραγισμένην, ἐπιστάμενος Κόρη παρακαλῶν δυσωπῶ, τῇ βίβλῳ τῶν ζώντων ἐγγράψαι με, καὶ τῆς ἀνολέθρου ζωῆς καταξιῶσαι.

Η προστασία τῶν πιστῶν, ἡ ἐλπὶς καὶ χαρὰ τῶν θλιβομένων, εἰς χαρὰν ἐμὴν στρέψον τὸν κοπετόν μου ἁγνή· καὶ δός μοι ἀνθ᾽ ὧν νῦν οὐ βλέπωσε, τῷ αἰῶνι τούτῳ, βλέπειν σε ἐν ἐκείνῳ.

Αἰνοῦμεν εὐλογοῦμέν. Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεόν· ὑμνεῖτε.

Ωδὴ, θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.

Ἁγιωτέρα Ἀγγέλων, Χερουβὶμ ὑπερτέρα, πυρίνων ἀνωτέρα, Σεραφὶμ, καὶ νοερᾶς πάσης τάξεως, ὤφθης τιμιωτέρα, καὶ δόξῃ ἀσυγκρίτῳ καὶ τιμῇ, ὑπερενδοξοτέρα, Μαρία Κόρη

Δέσποινα.

Νύμφη Θεοῦ Παναγία, θησαυρὲ σωτηρίας, λιμὴν τῶν ἐν πελάγει συμφορῶν, σκέπη ψυχῶν καὶ ἀντίληψις, σωτηρία γενοῦ μοι, καὶ πλοῦτος καὶ πανεύδιος λιμὴν, τὴν ψυχήν μου ῥιγῶσαν, σκεπάζουσα καὶ θάλπουσα.

Ἡ ἀγεώργητος χώρα, γεωργὸν ἡ τεκοῦσα, ἡ ἄρουρα τὸν στάχυν τῆς ζωῆς, ἡ ἀνηρώτως βλαστήσασα, τῶν καλῶν ἀφθονίαν, καὶ πάντων εὐθηνίαν ἀγαθῶν, τῷ λιμῷ τετηκότα, διάθρεψόν με Δέσποινα.

Σοὶ τῇ τεκούσῃ τὸν πάντων, ποιητὴν καὶ σωτῆρα, ὁ πένης καὶ πτωχὸς καὶ ἐνδεὴς, τί προσαγάγω ἐπάξιον; ὅ,τιοῦν μὲν οὐκ ἄλλο, διάπυρον δὲ πίστιν καὶ στοργὴν, καὶ ἀγάπην γνησίαν, ἐν αἷς με σῶσον Δέσποινα.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαίροις ὁ πανάγιος ναός· Χαῖρε Βασιλέως καθέδρα· Χαῖρε πυρίμορφε, θρόνε τοῦ Παντάνακτος· Χαῖρε Ἀγγέλων χαρά. Τοῦ Ἀδὰμ χαῖρε ἔγερσις, τοῦ παραπεσόντος· Χαῖρε τὸ κατάκριμα τῆς Εὔας λύσασα· Χαῖρε ὀρθοδόξων τὸ κλέος· τῶν ἁμαρτωλῶν ἡ προστάτις· καὶ ἀδικουμένων ἡ βοήθεια.

Χαῖρε ἡ λαβὶς ἡ μυστικὴ, ἣν περ Ἡσαΐας προεῖδεν, ἄνθρακα φέρουσα, ῥύπου ἐκκαθαίροντα τὴν κτίσιν ἅπασαν· Χαῖρε βάτε πυρίφλεκτε, καὶ μὴ καιομένη· Χαῖρε στύλε πύρινε δι' οὗ εἰσήχθημεν, πάντες εἰς κατάπαυσιν θείαν· Χαῖρε τοῦ ἐλέους ἡ θύρα, καὶ ἁμαρτανόντων ἡ συγχώρησις.

Χαῖρε ἡ πολύαστρος ἁγνὴ, σφαῖρα οὐρανοῦ ἡ ἀστέρας, πλάνητας ἅπαντας, καὶ ἀπλανεῖς φέρουσα καὶ ὑπερλάμπουσα· Χαῖρε κύκλε λαμπρότατε, δώδεκα ζωδίων, δι' οὗ μέσου ὥδευσε Χριστὸς ὁ ἥλιος, καὶ οἰκονομίας ἐνσάρκου, ὑπὲρ σωτηρίας ἀνθρώπων, πᾶσαν τὴν περίοδον ἐπλήρωσεν.

Μόνη τὸν ἀχώρητον Θεὸν, ἀστενοχωρήτως ἐν μήτρᾳ, ἐκυοφόρησας, ἄνθρωπον γενόμενον δι' ἀγαθότητα, Παναγία θεόνυμφε· Διὸ δυσωπῶ σε. τῶν στενοχωρούντων με παθῶν ἀπάλλαξον· ὅπως τὴν στενὴν εὐθυπόρως, τρίβον διοδεύσας εἰς πλάτος, φθάσω τῆς ἐκεῖ Μακαριότητος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ.

Οὗ ἡ ἀκροστιχίς.

,, Θρηνῶδες ᾆσμα δεύτερον τῇ Παρθένῳ· Φωτίου.

Ωδὴ, α΄. ἦχος β΄. Δεῦτε λαοί.

ΘΡΗΝΟΥ καιρὸς, πάρεστιν ὦ παναθλία ψυχὴ, τὸ τῆς παρούσης στάδιον ζωῆς ὃ τρέχομεν καὶ καθεύδομεν οἴμοι! λοιπὸν διεγερθῶμεν νῦν καὶ θρηνήσωμεν.

Ρους ποταμοῦ, σκιὰ καπνὸς καὶ ἐνύπνιον, καὶ ἄνθος χόρτου πέφυκε τὸ μαραινόμενον, ἡ παροῦσα τερπνότης· λοιπὸν τῇ Θεοτόκῳ ψυχὴ προσπέσωμεν.

Η τὴν ζωὴν, μόνη τεκοῦσα Θεόνυμφε, νεκρόν με χρηματίσαντα καὶ κατακείμενον, ἁμαρτίας τῷ βέλει, ἀνάστησον φαρμάκῳ τῷ τοῦ ἐλέους σου.

Νοῦν καὶ ψυχὴν, καὶ τὰς αἰσθήσεις ἐμόλυνα, ἐπιτελῶν τὰ ἄτοπα Θεοχαρίτωτε· ἀλλὰ σοῦ τῷ πελάγει, προσπίπτω τοῦ ἐλέους καὶ μὴ ἀπώσῃ με.

Ωδὴ, γ΄. Στερέωσον ἡμᾶς.

Ως ἄλλον με λησταὶ τοῦ βίου στάδιον, ὁδίτην ὁδεύοντα συλλαβόντες, τὴν ψυχὴν κατετραυμάτισαν· ἀλλὰ σὺ Θεομῆτορ ἀνακάλεσαι.

Δουλώσας τῆς ψυχῆς τὸ αὐτεξούσιον, ἐτρώθην τοῖς πάθεσι μὴ ζηλώσας, Ἰωσὴφ ἀλλ' ἐλευθέρωσον, Θεομῆτορ τῆς τούτων δεσποτείας με.

Εν σοὶ τῶν ἡδονῶν θαῤῥῶν Δέσποινα, τὸ μέγα καὶ ἄῤῥηκτον χαλκοῦν τεῖχος, ὑπερβαίην καὶ ῥυσθείην τε, ἀπὸ πειρατηρίου δεινοῦ δαίμονος,

Σταγόνες μου δακρύων ἐξηράνθησαν, Παρθένε τῷ ὕπνῳ βεβαρημένου· ἀλλ' ἐγρήγορσίν μοι δώρησαι, καὶ δακρύων πηγὴν καὶ στάσιν πάννυχον.

Ωδὴ, δ΄. Ὑμνῶ σε. ἀκοὴν γὰρ Κύριε.

Απάσης ἁμαρτίας αἴτιον, φιλαυτία φιλαργυρία· ἃς ἐκ ψυχῆς πάναγνε ἐπόθησα, καὶ πᾶσαν πρᾶξιν αἰσχρὰν, αὐθαιρέτως ἐξετέλεσα· ἀλλ' οὖν ἐν γήρᾳ, σῶσόν με τὸν ἄθλιον.

Στολήν με τοῦ σεπτοῦ βαπτίσματος, ἀπεξέδυσεν ὁ βελίαρ, καὶ τὸ τραχὺ Πάναγνε καὶ δυσαχθὲς, τῆς ἁμαρτίας αὐτὸς περιέθετο τριβώνιον· ὃ δυσωπῶ σε, Κόρη με ἀπόδυσον.

Μαρία Θεοτόκε Δέσποινα, εὐφροσύνη μου καὶ σωτηρία, ἐν κλίνῃ κειμένου ἀείποτε τῆς ἀμελείας, τῷ θείῳ φωτί σου διασκέδασον, τῆς ταπεινῆς ψυχῆς μου τὴν σκοτόμαιναν.

Αἰγύπτου Μωϋσῆς ἐξήγαγε, τῆς δουλείας Ἰσραηλίτας· ἐμὲ δὲ τίς Πάναγνε, ἐξάξει τῆς

πικρᾶς δουλείας παθῶν; εἰ μὴ σὺ πρὸς τὸν Δεσπότην μου, καὶ σὸν υἱὸν πρεσβεύσῃς ἡ φιλεύσπλαγχνος.

Ωδὴ, ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Διὰ νηστείας ποτὲ, προκαθαρθεὶς ὁ Μωυσῆς ἤκουσε, θείας φωνῆς, καὶ σοῦ Θεομῆτορ κατεῖδε τὸν τύπον. Ἐγὼ δὲ ἀσωτεύων, πῶς ἴδω φῶς τῆς γνώσεως;

Ἐν τῇ ἐρήμῳ Σινᾶ, Μάννα Θεὸς τῷ Ἰσραὴλ ἔβρεξε· σὺ δὲ ψυχὴ εἰ βούλει, τοῦ Μάννα τυχεῖν τοῦ νοητοῦ, πρόσελθε τῇ τούτου Μητρὶ καὶ ἐκθρέψει σε.

Ὑψηγορίᾳ δεινῇ, ὥσπερ Δαθὰν καὶ Ἀβειρὼν κέχρημαι, κατὰ Θεοῦ οὐ κατὰ Μωσέως, καὶ πίπτω ὑπὸ γῆν· σὺ δέ με Θεομῆτορ ἀνάστησον δέομαι.

Τῆς ἀθλίας μου ψυχῆς, πράϋνον κύματα αἰσχρὰ Δέσποινα, καὶ τῆς σαρκὸς παῦσον τὰς ὀδύνας, ἡ μόνη τεκοῦσα, ἄνευθεν ὠδίνων Θεὸν σωματούμενον.

Ωδὴ, ϛ΄. Ἄβυσσος ἁμαρτημάτων.

Ἔκχεον τῆς εὐσπλαγχνίας, τῆς σῆς τὸν ἔλεον Κόρη, ἐπὶ τὴν ταπείνωσιν ἡμῶν, καὶ ἵλεως ἵλεως γενήθητι, τοῖς σοῖς δούλοις Παρθένε.

Ῥέουσιν εὐεργεσίας, τῆς σῆς ἀέναα ῥεῖθρα, καὶ τὰς ξηρανθείσας ἐκ παθῶν, ψυχὰς καταρδεύουσι· μεθ' ὧν ἁγνὴ ἄρδευσόν με.

Ὅσιον οὐδὲν ἐν βίῳ, διεπραξάμην ὁ τάλας, μᾶλλον δὲ πληθὺν ἁμαρτιῶν· ἀλλ' ἔκτεινον Δέσποινα τὴν χεῖρά σου, καὶ γεέννης με ῥῦσαι.

Νύμφη Θεοῦ Παναγία, ἡ σκέπη μου καὶ ἡ δόξα· σύ μοι ἐν ἐξόδου τῷ καιρῷ παράστηθι, σῴζουσα καὶ ἄγουσα, πρὸς μονὰς αἰωνίους.

Κάθισμα. Τὰ ἄνω ζητῶν.

Μετάνοιαν δὸς, γνησίαν μοι Πανάμωμε, τῶν ἐκ βρεφικῆς, πταισμάτων ἡλικίας μου, καὶ πάντων συγχώρησιν, τελείαν τούτων παράσχου μοι, καὶ τῆς ἐνθέου πολιτείας ἁγνὴ, ἐπιλαβέσθαι προθύμως ἀξίωσον.

Ωδὴ. ζ΄. Εἰκόνος χρυσῆς.

Τραχεῖαν ὁδὸν, καὶ στενὴν τῆς ἀρετῆς Θεοκυῆτορ, αἱ τῶν ἁγίων ἐκδιδάσκουσι, βίβλοι καὶ πᾶς λόγος ἔνθεος· ἥν με διανύειν προθύμως, τῇ δυνάμει σου ἴσχυσον, τὰς ἐφ' ἑκάτερα τροπὰς ἀεὶ ἐκκλίνοντα.

Ἡσύχῳ τῷ νῷ, καὶ γαλήνῃ λογισμῶν τοῦ Παρακλήτου, ἡ θεία χάρις ἐπεισέρχεται, ἐν τῇ καρδίᾳ Θεόνυμφε· ἥν μοι καταπέμψαι δυσώπει, τὸν υἱόν σου καὶ Κύριον, τῷ τῆς καρδίας συντριμμῷ καὶ ταπεινώσει ψυχῆς.

Πολλῶν πειρασμῶν, φλογοφόρων καὶ πικρῶν λῦσον τὸ νέφος, τῶν συνεχόντων καὶ θλιβόντων με, καὶ ἀκρατῶς μαστιζόντων με, μόνη προστασία τοῦ κόσμου, καὶ συνέτισον ψάλλοντα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀγρίοις θηρσὶ, παρεδόθην τῶν παθῶν τοῖς ἐπιστάταις, ὡς ἐν ἐρήμῳ οἱ γογγύσαντες, καὶ ἀφανῶς ἐκκεντοῦσί με, ὥσπερ καὶ ἐκείνους οἱ ὄφεις· ἀλλὰ Κόρη Θεόνυμφε, τῇ σῇ πρεσβείᾳ

δυσωπῶ, δός μοι τὴν ἴασιν.

Ωδὴ, ή'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ραδιουργίαις ὁ ἐχθρὸς, ἐνεδρεύων ἀφανῶς ἐξαπατᾷ με, λογισμοῖς ὑποσύρων, εἰς ἡδονῆς τοὺς κρημνούς· ἀλλὰ σὺ Θεοτόκε φρούρει με, μόνη προστασία τῶν καταπονουμένων.

Θέλων ὑπείκω τῷ ἐχθρῷ, προσβολαῖς τῶν λογισμῶν ἐπιθεμένῳ, ἀλλ' ἀνίσχυρον τούτου τὴν μηχανὴν ἀγαθὴ, δεῖξον καὶ μάτην φρυαττόμενον, περιποιουμένη, ἐμὲ τὸν σὸν οἰκέτην.

Ενώπιόν σου ἐκχεῶ, ἐν κλαυθμῷ καὶ στεναγμῷ τὴν δέησίν μου, τῆς ψυχῆς μου τὴν θλίψιν ἀπαγγελῶ σοι ἁγνή· ἰδοὺ γὰρ σηπεδόνι θλίψεων, καταδαπανῶμαι, μὴ βλέπων σε τὸ φῶς μου.

Νηστείαν ἄσκησον ψυχὴ, ἀγρυπνίαν καὶ κλαυθμὸν καὶ ψαλμῳδίαν, καὶ τὴν ἄϋλον στάσιν ἐν ὁλονύκτοις εὐχαῖς· κἀντεῦθεν Θεός σοι ἱλάσεται, ταῖς τῆς Θεοτόκου, πρεσβείαις εὐπροσδέκτοις.

Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας

Ωδὴ, θ'. Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.

Ως συμπαθὴς οὖσα Κόρη, συμπαθέστατον λόγον, ἐκύησας ἡμῖν μετὰ σαρκός· τοῦτον ἀεὶ ἐκδυσώπησον, τοῦ ῥυσθῆναι κινδύνων, καὶ θλίψεων καὶ ἄλλων πειρασμῶν, τοὺς ἁγνὴ Θεοτόκον, ἐν πίστει σε δοξάζοντας.

Τοῦ Ἀαρὼν πρὶν ἡ ῥάβδος, καὶ ἡ στάμνος τοῦ Μάννα, λυχνία καὶ ἡ χρυσῆ κιβωτὸς, σὲ προετύπουν Θεόνυμφε· ὧν ἡμεῖς τὰς ἐκβάσεις, ἀρτίως καθορῶντες τηλαυγῶς, Θεοτόκον κυρίως, ἐν πίστει σε δοξάζομεν.

Κρήνην προχέουσαν νᾶμα, τοῖς πιστοῖς σωτηρίας, Πανάχραντε καλοῦμέν σε ἁγνή· οἱ γὰρ τακέντες τῷ καύσωνι, τῶν ἀπείρων πταισμάτων, εὑρήκαμεν πολλὴν ἀναψυχὴν, τοῦ υἱοῦ σου τὸ αἷμα· δι' οὗ ἡμᾶς ἀνέπλασεν.

Τῆς γεηρᾶς μὲν οὐσίας, τοῦ Ἀδὰμ ἀνεφύης, ὡς κλάδος Θεομῆτορ Μαριάμ· ἄνθος δὲ μόνη τὸν Κύριον, ἐξανέτειλας ἄνευ, χειρὸς καὶ γεωργίου γηγενοῦς· διὰ τοῦτό σε πάντες, ἐν ὕμνοις μεγαλύνομεν.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαῖρε πλατυτέρα οὐρανῶν· Χαῖρε ὑπερτέρα τῶν ἄνω Κόρη Δυνάμεων· Χαῖρε πάσης Δέσποινα, τῆς οἰκουμένης ἁγνή· Χαῖρε ἅγιον τέμενος, Θεοῦ τοῦ ὑψίστου, Χαῖρε θεία γέφυρα θνητοὺς μετάγουσα, μόνη πρὸς ζωὴν τὴν ἀγήρω· Χαῖρε τὸ διάσωσμα Κόσμου· Χαῖρε τῶν πιστῶν ἁπάντων καύχημα.

Χαῖρε ἡ παγκόσμιος χαρά· Χαῖρε χελιδὼν γλυκυτάτη ἔαρ εὐφρόσυνον, πᾶσιν ἀνατείλασα, τοῖς ἐν χειμῶνι κακῶν, λαμπὰς χαῖρε ἡ ἄσβεστος, τοῖς πλάνης ἐν σκότει φῶς τῆς θείας γνώσεως ἡ ἀπαστράψασα· Χαῖρε βασιλέων τὸ κράτος· Χαῖρε κραταιὰ προστασία, τῶν εἰλικρινῶς μακαριζόντων σε.

Χαῖρε ἡ μεγάλη καὶ λαμπρὰ, ἄρκτος ἡ ἑπτάστερος Κόρη, τοῦ νοητοῦ οὐρανοῦ, τοῖς ἑπτὰ χαρίσμασιν, ἡ ἐξαστράπτουσα· ἀκινήτῳ πρεσβείᾳ σου, ὥσπερ ἄλλῳ Πόλῳ, τοὺς ἐν νυκτὶ πλέοντας, τὴν βίου θάλασσαν, θεῖον ὁδηγοῦσα πρὸς ὅρμον, τῆς τῶν οὐρανῶν βασιλείας, καὶ γλυκεῖ φωτί σου καταλάμπουσα.

Δέξαι τὴν ἱκέσιον ᾠδήν· δέξαι μου τὸν θρῆνον Παρθένε· δέξαι τὴν δέησιν· δέξαι μου τὰ δάκρυα, καὶ στεναγμὸν τῆς ψυχῆς, καὶ τὸν θρῆνον ἀφάνισον· τὰ δάκρυα παῦσον· πάντα μεταῤῥύθμησον τὰ λυπηρὰ εἰς χαράν· δίδου τῷ τὴν σὴν ἐκζητοῦντι, θείαν προστασίαν καὶ σκέπην, ὁλοψύχῳ νεύσει Θεονύμφευτε.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΘΕΚΛΗΣ ΜΟΝΑΧΗΣ.

Ὡς ὁρᾶται ἐν τῇ ὀγδόῃ καὶ ἐνάτῃ ᾠδῇ.

Ωδὴ, α΄. ἦχος β΄. Τῷ Τὴν ἄβατον.

ΕΓΚΩΜΙΩΝ σοι, ἀειθαλὲς διάδημα, νῦν ἐξυφαίνει Πάναγνε, ἡ Ἐκκλησία Πνεύματι, καὶ προσάγει εὐλαβῶς, σὺν τῷ Ἀρχαγγέλῳ σοι, νυμφαγωγῷ Γαβριὴλ, τὸ χαῖρε ᾄδουσα, καὶ σὲ σεπτῶς γεραίρουσα.

Γεωργήσασα, τὴν ζωηφόρον ἄμπελον, Μῆτερ Θεοῦ Πανύμνητε Χριστὸν τὸν Κύριον, γῆ ἁγία τοῦΠατρὸς, ὤφθης ὑπὲρ ἔννοιαν· Θεοχαρίτωτε, καὶ πόμα θείας ζωῆς, κόσμον ἁγνὴ ἐπότισας.

Κυματούμενον δεινῶς τοῖς παραπτώμασι, πάντα τὸν κόσμον ἄχραντε, καὶ κινδυνεύοντα, σὺ κυήσασα Χριστὸν, τὸν κυβερνήτην καὶ σωτῆρα Κύριον, λιμὴν ὡς εὔδιος, ζάλης πικρᾶς διέσωσας.

Καταφύγιον, Καὶ Σωτηρίου πόλιν σε, πάντες πιστοὶ γινώσκοντες, Μαρία Μῆτερ Χριστοῦ, σοῦ δεόμεθα θερμῶς, δέξαι δεήσεις, τῶν σῶν πιστῶν οἰκετῶν, καὶ λῦσον ἅπαντας, πταισμάτων κατακρίσεως·

Ωδὴ, γ΄. Στερέωσον ἡμᾶς ἐν σοί.

Ἀρχὴ ἀποστροφῆς Θεοῦ ἐγένετο, τῆς Εὔας ἡ πλάνη ἀπὸ ἀνθρώπων· ἡ ἁγία Θεοτόκος δὲ, πάλιν τὸν Θεὸν πρὸς ἡμᾶς ἐπεσπάσατο.

Ζωῆς σε θησαυρὸν γεννᾷ Πανύμνητε, τῷ κόσμῳ καὶ χαίρει τῇ εὐπαιδείᾳ, ὁ πατήρ σου ἐν σοὶ Πάναγνε, ἐξ αὐτοῦ προελθούσῃ χαρᾷ ἅπασιν.

Εξ Ἄννης ἡ χαρὰ τοῦ γένους ἤνθησας, καὶ τίκτεις Παρθένε τὸν βασιλέα, καὶ συγχαίρουσι τῷ τόκῳ σου, αἱ γυναῖκες ἀρᾶς τῆς πρὶν λυόμεναι.

Η βάτος ἐν Σινᾶ προδιετύπου σου, Παρθένε παράδοξον τὸ τοῦ τόκου· σὺ γὰρ πῦρ τὸ τῆς Θεότητος, δεξαμένη τὴν μήτραν σου οὐκ ἔφλεξας.

Ωδὴ, δ΄. εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Ιακὼβ σε ὡς κλίμακα θεοπρεπῶς προέβλεπε Παρθένε· ἧς ἐπὶ τὸ ἄκρον, Θεὸς ἐπεστήρικτο.

Τῶν Ἀγγέλων ἡ κάθοδος, τὴν πρὸς ἡμᾶς τοῦ λόγου παρουσίαν, διὰ σοῦ Πανύμνητε προϋπέφαινεν.

Η γαστήρ σου ἡ ἄχραντος, καὶ οἱ μαστοὶ μακάριοι Παρθένε· δἰ αὐτῶν γὰρ ζωὴν πάντες εὑράμεθα.

Μυστικῶς ἀνυμνοῦμέν σε, Μῆτερ Θεοῦ φωναῖς ὀρθοδοξίας· ἣν τῇ Ἐκκλησίᾳ συντήρει πρεσβείαις σου.

Ωδὴ, ε΄. Φώτισον τοὺς ὀφθαμούς μου.

Νόμου σε τιμιωτέραν, τῆς κιβωτοῦ ἀνυμνοῦμεν· τὸν γὰρ πάντων Κτίστην καὶ Θεὸν, οὐ πλάκας ἐβάστασας, Πανύμνητε Θεοτόκε Μαρία.

Θρόνον σε Θεοῦ τοῦ λόγου, κηρύττομεν Θεοτόκε, ἐν ᾧ ὡς βροτὸς ὁ Θεὸς, καθήμενος ὤπταί μοι, δεικνύων σε Χερουβὶμ ὑπερτέραν.

Ελυσας πικρᾶς δουλείας, τὸ γένος ἅπαν Παρθένε, καὶ ἐλευθερίᾳ Χριστοῦ, τὴν φύσιν τοῦ θήλεος ἐτίμησας, ἐν τῷ θείῳ σου τόκῳ.

Ετεκεν υἱὸν Παρθένος, καὶ εὐτολμοῦσι γυναῖκες, κατὰ τοῦ ἐχθροῦ ἐμφανῶς· καὶ ταύτῃ ἀκολουθοῦσι νεάνιδες, παρθενίαν ἀσκοῦσαι.

Ωδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Η τοῦ κόσμου χαρὰ ἀειπάρθενε, χαῖρέ σοι κραυγάζοντας σὺν τῷ Ἀγγέλῳ πιστῶς, τῆς σῆς χαρᾶς ἀξίωσον, καὶ τὴν λύπην ἡμῶν διασκέδασον.

Ουρανὸς οὐρανῶν ὑψηλότερος, ὤφθης Θεονύμφευτε τῇ θείᾳ δόξῃ σου, ἐν σοὶ γὰρ ὁ Θεὸς ἡμῶν, ὁλικῶς ἐποχούμενος ὤφθη μοι.

Τῆς χαρᾶς τῆς ἀλήκτου χωρίον σε, Μῆτερ ἀειπάρθενε σαφῶς γινώσκοντες, τὸ χαῖρέ σοι κραυγάζομεν· σοὶ γὰρ πρέπει τὸ χαίρειν μόνῃ Πάναγνε.

Νῦν ἡ φύσις τοῦ θήλεος γέγηθε· νῦν ἡ λύπη πέπαυται χαρὰ δὲ ἤνθησεν, ὅτι Μαρία ἔτεκε, τὴν χαρὰν τὸν Σωτῆρα καὶ Κύριον.

Κάθισμα. Εὐσπλαγχνίας ὑπάρχουσα.

Ραθυμίαν ψυχῆς μου τὴν χαλέπην, καὶ καρδίας μου πώρωσιν Μῆτερ Θεοῦ, ἐπινεύσασα ἴασαι ταῖς πρεσβείαις σου, καὶ σωζομένων μερίδος καταξίωσον, λυτρουμένη παντοίας με κολάσεως, ἡ μόνη ἐλπίς μου καὶ παράκλησις.

Ωδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Ο πόκος ποτὲ, Γεδεὼν τὴν ἐπὶ σοὶ τοῦ Θεοῦ λόγου, προεζωγράφει θείαν κάθοδον· ὥσπερ γὰρ δρόσον τὴν σύλληψιν, ἄφθορε Παρθένε, ἐδέξω· διὸ πάντες σοι κράζομεν· εὐλογημένος ὁ καρπὸς, τῆς σῆς κοιλίας ἁγνή.

Καινὰ καὶ φρικτὰ, καὶ πιστὰ καὶ ἀληθῆ τὰ σὰ μυστήρια. Μαρία μῆτερ τοῦ Θεοῦ ἡμῶν, ὅτι ἐν σοὶ κατηλλάγημεν, πάντες τῷ Θεῷ καὶ Δεσπότῃ, καὶ Ἀγγέλοις συμψάλλομεν· εὐλογημένος ὁ καρπὸς, τῆς σῆς κοιλίας ἁγνή.

Ο πρὶν Γεδεὼν, προμηνύων σου σαφῶς τὸν θεῖον τόκον, λεκάνην φέρει πλήρη ὕδατος, τὴν τοῦ ἐρίου ἐκπίεσιν· ὅλη γὰρ ἐν σοὶ ἡ Θεότης, κατεσκήνωσεν ἄχραντε· εὐλογημένος ὁ καρπὸς τῆς σῆς κοιλίας ἁγνή.

Τεκοῦσα Θεὸν, τὸν Σωτῆρα τοῦ παντὸς γέγονας Κόρη, τῶν πεπτοκότων ἐπανόρθωσις, ἁμαρτολῶν ἀνακαίνισις· τῶν ἀπηλπισμένων ἐλπίς τε, καὶ ψαλλόντων βοήθεια· εὐλογημένος ὁ καρπὸς τῆς σῆς κοιλίας ἁγνή.

Ωδὴ, η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Νέος Παράδεισος ἡμῖν, ἀνεδείχθης Παναγία Θεοτόκε, οὐ θανάτου τὸ ξύλον, ἀλλὰ ζωῆς τὸ φυτὸν, ἀσπόρως βλαστήσασα Κύριον· οὗ τῆς ἀθανάτου, ζωῆς τρυφῶμεν πάντες.

Οὐδεὶς ἀπώλετο ἁγνὴ, τὰς τῆς πίστεως ἐλπίδας κεκτημένος, ἐπὶ σοὶ ὀρθοδόξων, Μαρία μῆτερ Θεοῦ· μόνοι δὲ οἱ φθόνῳ ἀρνούμενοι, σοῦ μὴ προσκυνεῖν τῆς μορφῆς τὸν χαρακτῆρα.

Θέλγεται πᾶσα ἡ Χριστοῦ, Ἐκκλησία Θεοτόκε τῷ σῷ τόκῳ, ὅτι σῴζονται πάντες ἁμαρτωλοὶ καὶ πτωχοὶ, οἱ πόθῳ ἐν σοὶ καταφεύγοντες· ἦλθε γὰρ Θεὸς, διὰ σοῦ ἀνθρώπους σῶσαι.

Ελευθεροῦται διὰ σοῦ ἡ προμήτωρ Θεοτόκε καταδίκης· καὶ ἰδοὺ νῦν γυναῖκες, ὑπεραθλοῦσι Χριστοῦ, καὶ χαίρει ἡ φύσις τοῦ θήλεος· ὡς βεβαιοῖ ἔργῳ, ἡ πρωτομάρτυς Θέκλα.

Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ'. Ἡ τὸν πρὸ ἡλίου φωστῆρα.

Κλῖνόν μοι τὸ οὖς σου Παρθένε, ἀνυμνούσῃ ὑπερύμνητε, δι' ἐγκωμίων λόγων τὸν τόκον σου, καὶ ὡς δῶρα χηριακὰ, τοὺς ὕμνους τῶν χειλέων μου, προσδεξαμένη αἴτησαι, ἁμαρτιῶν μοι τὴν συγχώρησιν.

Λάμπει σου τὸ θεῖον κάλλος· ἀστράπτει τῆς ἁγνείας ἡ λαμπρότης· καὶ ὑπερστίλβει, τούτων σου ἡ γέννησις. Θεὸς γὰρ ὁ καὶ ποιητὴς, ἡλίου καὶ τῆς κτίσεως, οὗτος ἐκ σοῦ, γεγέννηται, διό σε πάντες μεγαλύνομεν.

Ἡμεῖς ὡς ἄνθος ἁγνείας, καὶ ῥάβδον Παρθενίας σε, καὶ Μητέρα Θεοῦ, ἐν ὕμνοις ἐκθειάζουσαι, Θεοτόκε μετὰ φωνῆς, αἰνέσεως δεόμεθα, ἐν παρθενίᾳ στήριξον, καὶ ἐν ἁγνείᾳ ἡ-

μᾶς φύλαξον.

Σῶμα καὶ ψυχήν σου Παρθένε, διατηρούσης ἀμόλυντον, ὁ βασιλεὺς Χριστὸς ἠράσθη τοῦ κάλλους σου, καὶ Μαρία τῆς ἑαυτοῦ, σαρκώσεως ἀνέδειξε, Μαρία ὑπερένδοξε, οἰκονομῶν τὴν σωτηρίαν μου.

Προσόμοιον. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαῖρε θρόνε Θεοῦ, Παντάνασσα Μαρία· χριστιανῶν ἡ δόξα· καύχημα τῶν παρθένων· νύμφη ἡλιοστάλακτε.

Χαῖρε ἡ τὴν χαρὰν, πηγάσασα τῷ κόσμῳ, ὑπεραγία Κόρη, βροτῶν τε καὶ Ἀγγέλων, τὸ ἔξοχον ἀγλάϊσμα.

Χαῖρε σκεῦος ἁγνὴ, τοῦ οὐρανίου μύρου, ἄνθος τῆς ἀφθαρσίας· Χαῖρε ῥόδον καὶ κρῖνον, εὐωδιάζων ἅπαντας.

Παντάναξ Ἰησοῦ, εἰρήνευσον τὸν κόσμον, πρεσβείαις τῆς Μητρός σου, Παρθένου Παντανάσσης, καὶ πάντων τῶν ἁγίων σου.

## ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΤΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ ΓΕΩΡΓΙΟΥ,

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτακίοις.

Ωδὴ α΄. ἦχος β΄. Δεῦτε λαοί.

ΔΟΞΑ τῇ σῇ, κυοφορίᾳ Πανάμωμε· τοῖς ἐξ Ἀδὰμ γὰρ λύτρωσιν εὐηγγελίσατο, καὶ νεκροῖς αἰωνίοις, τὴν τῆς ἀθανασίας ὁδὸν ἐκαίνισεν.

Σὺ τὸ χρυσοῦν, θυμιατήριον Δέσποινα, ἐν ᾧπερ τὸ χειρόγραφον τὸ τοῦ Προπάτορος, κατεκαύθη τῷ θείῳ, πυρὶ προσομιλῆσαν τοῦ ἐν σοὶ ἄνθρακος.

Χαῖρε χρυσῆ, στάμνε τοῦ Μάννα διάδοχε· χαῖρε πηγὴ ἀκένωτε τοῦ ζῶντος ὕδατος, Θεοτόκε Παρθένε, ζωοῦσα καὶ δροσίζουσα τοὺς ὑμνοῦντάς σε.

Γνῶσιν Θεοῦ, ἅπαντες κατεπλουτίσθημεν, οἱ ἐπιγνόντες Δέσποινα σὲ Θεομήτορα· καὶ Κυρίαν ἁπάντων, τοῖς πράγμασι τοὺς λόγους ἐπισφραγίζοντες.

Ωδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Τὴν μόνην παρθενεύουσαν μετὰ τόκον, Μαρίαν τῶν ἁγίων ἁγιωτέραν, τὴν ὄντως ἀπειρόγαμον Θεοτόκον· δεῦτε ὑμνήσωμεν πιστοὶ κραυγάζοντες· Χαῖρε Κόσμου Δέσποινα.

Θεοχαρίτωτε.

Σὲ βάτος ἀκατάφλεκτος προετύπου, τὴν ἔμψυχον καὶ ἔμπνουν καὶ ζῶσαν βάτον· τὸ πῦρ γὰρ τῆς Θεότητος συλλαβοῦσα, ἄφλεκτος ἔμεινας, Θεογεννήτρια, διὸ τοῦ ἀσβέστου με πυρὸς ἐξάρπασον.

Δαβὶδ ὁ σὸς προπάτωρ καὶ Θεοπάτωρ, καλεῖ σε θυγατέρα καὶ βασιλίδα, ἡμεῖς δὲ σὲ Παρθένον καὶ Θεοτόκον· τὸ ξένον ἄκουσμα τῆς οἰκουμένης ἁγνή, καὶ τὸ μέγα καύχημα τῶν τιμώντων σε.

Εὑρών σε τῶν Ἀγγέλων καθαρωτέραν, ὑπέδυ τὴν γαστέραν σου τὴν ἁγίαν, ὁ φῶς οἰκῶν ἀπρόσιτον Θεοτόκε, καὶ ὤφθη ἄνθρωπος, ἐκ σοῦ σαρκούμενος, ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενος.

Ωδὴ, δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Υμνολογοῦντες ἄχραντε, τὸν ἐν γαστρὶ τῇ σῇ σωματωθέντα, σὲ δοξολογοῦμεν ὡς θεομήτορα.

Λελυτρωμένοι πάναγνε, τῶν ζοφερῶν τοῦ ᾅδου κενεώνων, τῷ θείῳ σου τόκῳ σὲ μακαρίζομεν.

Ρῦσαι πάσης κακώσεως, τοῦ δυσμενοῦς Παρθένε τοὺς εἰδότας, ἀληθῶς Θεοῦ σε Μητέρα πάναγνον.

Ως λιμένα σε ἔχοντες, καὶ ἀσφαλῆ τοῦ Κόσμου σωτηρίαν, Θεοτόκε ἅπαντες σοὶ προστρέχομεν.

Ωδὴ, ε'. Ὁ φωτισμός.

Τὴν ὀφειλὴν, τῆς προμήτορος Εὔας σὺ Θεομῆτορ, ἀπέτισας σάρκα ἠμφιεσμένον, ἐκ σοῦ τεκοῦσα τὸν Σωτῆρα τοῦ Κόσμου, ὅθεν πάντες σε μακαρίζομεν, κεχαριτωμένη Μαρία Πανάμωμε.

Υπὲρ ἡμῶν, τὸν ἐκ σοῦ σαρκωθέντα Παρθενομῆτορ, πάντοτε δυσώπει τῶν σὲ ὑμνούντων, τοῦ λυτρωθῆναι ἐκ παθῶν, καὶ κινδύνων, ψυχοφθόρων κακῶν καὶ θλίψεων, καὶ αἰωνιζούσης φλογὸς καὶ κολάσεως.

Αἴγλῃ τῇ σῇ, Θεομῆτορ τὸν νοῦν μου καταυγασθῆναι, τὸν ἐσκοτισμένον τῇ ἁμαρτίᾳ, νεῦσον Παρθένε, τῆς ἀγνείας τὸν ζόφον καὶ πταισμάτων ἐξαφανίζουσα· ἄλλην γὰρ ἐκτός σου φρουρὸν οὐκ ἐπίσταμαι.

Ράβδῳ τῆς σῆς, ἀντιλήψεως ῥήξασα τὴν πώρωσίν μου, δάκρυα πηγάζειν ἀξίωσόν με, τὴν φοινικὴν δὲ τῶν παθῶν μου πλημμύραν, ὥσπερ ἄλλην θάλασσαν, τεμοῦσα ἐρυθρὰν πρὸς γῆν ἀπαθείας, τὸν νοῦν μου ὁδήγησον.

Ωδὴ, ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Σωματοῦται ὁ λόγος ἐν μήτρᾳ σου, καὶ δι' εὐσπλαγχνίαν γνωρίζεται ἄνθρωπος· ἵνα Θεὸν τὸν ἄνθρωπον, ἀπεργάσηται Κόρη Πανάμωμε.

Δι' ἐμὲ κατ' ἐμὲ ἐχρημάτισε, βρέφος ὁ παντέλειος ἀνακαινίζων με, παλαιωθέντα πάθεσι, διὰ σοῦ Παναγία Θεόνυμφε.

Καλυφθεῖσαν δεινῶς τὴν καρδίαν μου, τοῖς τῶν ἀποῤῥήτων πταισμάτων μου κύμασι,

τῇ πανσθενεῖ πρεσβείᾳ σου, Παναγία Παρθένε διάσωσον.

Γηγενεῖς τὸν σὸν τόκον γεραίρουσι, καὶ δοξολογοῦσιν Ἀγγέλων τὰ τάγματα, καὶ σὲ Θεογεννήτριαν, Ἀειπάρθενον Κόρη δοξάζουσιν.

Κάθισμα Τὰ ἄνω ζητῶν.

Ἐκ πόθου ψυχῆς, προστρέχω νῦν τῇ σκέπῃ σου, αἰτούμενος ἁγνὴ τὴν λύσιν τῶν πταισμάτων μου· μὴ ἀπώσῃ ἄχραντε, ἀλλ' εὐσπλάγχνως πρόσδεξαί με κράζοντα. Ἡ Θεὸν σαρκωθέντα κυήσασα, νοσοῦσαν τὴν ψυχήν μου θεράπευσον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Θεοῦ καθαρὸν, οἰκητήριον καὶ ἄσπιλον Παρθένε, ναόν με ποίησον τοῦ Πνεύματος, τοῦ παναγίου γενόμενον, σπήλαιον λῃστῶν ἀκαθάρτων· ἵνα πόθῳ κραυγάζω σοι· εὐλογημένος ὁ καρπὸς τῆς σῆς κοιλίας ἁγνή.

Ὑλώδη εὑρὼν, τὴν καρδίαν ὁ ἐχθρὸς ἐνέκρωσέ μου· ἀλλά με σθένος θεῖον ἔνδυσον, καὶ ἐκνικῆσαι ἀξίωσον, τοῦτον Ἀειπάρθενε Κόρη· ἵνα πίστει κραυγάζω σοι· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὁ πάλαι τοὺς τρεῖς, νεανίας ἐκ καμίνου καιομένης, Χριστέ μου λόγε λυτρωσάμενος· αὐτὸς κἀμὲ ταῖς δεήσεσι, τῆς ἀπειρογάμου Μητρός σου, τῆς φλογὸς ἧς ἐξέκαυσα, τῶν ἀμετρήτων μου κακῶν ῥῦσαι καὶ σῶσόν με.

Ἰδού σε ἁγνὴ, πᾶσα φύσις γηγενῶν δοξολογοῦσιν, ὑπερθαυμάζοντες τὸ μυστήριον, τῆς σῆς κυήσεως ἄχραντε, καὶ χαρμονικῶς ἐκβοῶντες, τῷ ἐκ σοῦ ἀνατείλαντι. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν.

Ὠδὴ, η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τὴν παναγίαν κιβωτὸν, τὴν ὑπέρτιμον σκηνὴν τὴν θείαν στάμνον· τὴν λυχνίαν τὴν πλάκα, τὸν φωτοφόρον ναὸν, τὸν θρόνον τοῦ Θεοῦ τὸν ἔνδοξον, τὴν ἁγνὴν Παρθένον ὑμνήσωμεν συμφώνως.

Ἰδοὺ γεγέννηται ἐκ σοῦ, Ἡσαΐας ἐμφανῶς ἁγνὴ ἐβόα· ὁ υἱὸς τοῦ ὑψίστου, καὶ σὸς ὁρᾶται υἱὸς, Παρθένε υἱοὺς ἐργαζόμενος, τοῦ ἐπουρανίου Πατρὸς τοὺς σὲ ὑμνοῦντας.

Μὴ διαλίπῃς ἐκτενῶς, τὸν υἱόν σου καὶ Θεὸν καθικετεύειν, ὑπὲρ τῶν προσκυνούντων καὶ ἀνυμνούντων πιστῶς, τὴν χάριν τὴν σὴν Θεονύμφευτε, μόνη Παναγία ὑπερευλογημένη.

Ὅλος ἐσκότισμαι τὸν νοῦν· ὅλος δαίμοσιν αἰσχροῖς κατεδουλώθην, ἀλλὰ σοῦ καταφεύγω τῇ σκέπῃ τῇ κραταιᾷ, Παρθένε καὶ βοῶ σοι σῶσόν με, τῇ σῇ μεσιτείᾳ ἡ κεχαριτωμένη.

Αἰνοῦμεν Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε.

Ὠδὴ, θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

Σὲ εὐλογοῦσιν ἄνω, τάξεις τῶν ἀσωμάτων, καὶ ἀνυμνοῦσιν ἅπαντα Πανύμνητε, ἀν-

θρώπων πλήθη κάτω, γῆ καὶ οὐρανὸς καὶ θάλασσα κοινῇ χορείᾳ, παναρμονίῳ μέλει, παγκόσμιον ᾠδὴν, Χαῖρέ σοι χαρμοσύνως βοῶντα Θεογεννήτρια.

Χαῖρε ἔμψυχε βάτε, καὶ πανάγιον ὄρος· Χαῖρε πάγχρυσε στάμνε καὶ θεία τράπεζα, Παντάνασσα Μαρία· Χαῖρε μυστικὴ νεφέλη καὶ πύρινε στύλε· Χαῖρε γέφυρα Κόσμου καὶ κλίμαξ οὐρανοῦ· Χαῖρε καταφυγὴ καὶ προστάτις τῶν μελῳδούντων σε.

Πᾶσαν ὑπερεκπλήττει, ἀκοὴν καὶ νοῦν ὅλως, τὸ ὑπὲρ φύσιν ἄχραντε μυστήριον, τοῦ τόκου σου πῶς Μήτηρ, ἅμα καὶ Παρθένος γέγονας, καὶ μετὰ τόκον πάλιν Παρθένος μένεις ἀπείρανδος ἁγνή! Ὅθεν σε Θεοτόκον, κυρίως πάντες δοξάζομεν.

Ὕμνον ἔνθεον Κόρη, τὸν παρόντα προσδέχου, ἀντιδοῦσα χάριν τοῖς εἰς σέ, πεποιθόσι καὶ εἰρήνην, αἴτησαι ταῖς Ἐκκλησίαις ἀεὶ παρασχεθῆναι· τοῖς βασιλεῦσι νίκας καὶ τρόπαια πιστοῖς· ἵνα Χριστιανῶν πᾶσα γλῶσσα σὲ μεγαλύνωμεν.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χαῖρε πᾶσα Κτίσις σοι βοᾷ· Χαῖρε Παναγία Παρθένε· Χαῖρε, τὸ σκῆπτρον Δαβίδ· Χαῖρε ἡ βλαστήσασα βότρυν τὸν πέπειρον· Χαῖρε πύλη οὐράνιε· καὶ ἄφλεκτε βάτε· Χαῖρε φῶς παγκόσμιον· Χαῖρε Ἀγγέλων χαρά· Χαῖρε Ἀποστόλων τὸ κλέος· Χαῖρε τῶν Μαρτύρων ἀνδρεία· καὶ τῶν ἀσκητῶν θεῖον ἐντρύφημα.

Χαῖρε ὄρος ὄντως ὑψηλόν· ὄρος ἀλατόμητον χαῖρε· ὄρος κατάσκιον χαῖρε· τὸ πιότατον ὄρος ὡς ψάλλει Δαβίδ· Χαῖρε ὅλης τῆς κτίσεως, Κυρία Παρθένε· Χαῖρε ὅπλον ἄμαχον κατὰ βαρβάρων ἐχθρῶν· Χαῖρε ἀμυντήριον θεῖον, πάσης ἐπηρείας δαιμόνων· Χαῖρε καταφύγιον τῶν δούλων σου.

Χαῖρε τῆς ἀγάπης τῆς διπλῆς, πλάτος ἀδιόριστον Κόρη, καὶ βάθος ἄπειρον, τῆς θείας σαρκώσεως θεολογίας τε, ὕψος ἀπερινόητον, προορισμοῦ θείου, μῆκος προαιώνιον ὑπεραγία σεμνή· Χαῖρε ἀκρωτήριον ὄντως, τῆς καλῆς ἐλπίδος Παρθένε, τοῖς ὠκεανὸν τοῦ βίου πλέουσιν.

Στῆσον πεπτωκότα με δεινῶς· καὶ κατεῤῥαγμένον εἰς χάος καὶ βυθιζόμενον· πρόφθασον καὶ ῥῦσαί με τῆς νῦν κακώσεως, Παναγία πανύμνητε, καὶ μὴ καταισχύνης, μηδὲ ἀποῤῥίψῃς με ἀπὸ προσώπου τοῦ σοῦ. Ποῦ γὰρ ἐφευρήσω ὁ τάλας, ἄλλην προστασίαν ἐκτὸς σου; Δέσποινα τοῦ Κόσμου μὴ παρίδῃς με.

# ΤΗ ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ.

Ωδή. α'. ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

ΕΝ φωναῖς ᾀσμάτων Ἱερῶν, αἶνον χαριστήριον, χρεωστικῶς τῇ Θεοτόκῳ ᾄδω σοι, ἀνθ' ὧν περισώζεις με, ὑπὸ πάντων ὧν ἔσχον σε βοήθειαν· σὺ μετὰ Θεὸν γὰρ, Δέσποινα ὑπάρχεις μοι προσφύγιον.

Ἐν παντὶ ἐξαίφνης θροϊσμῷ, μόνον σου τὸ ὄνομα, ὅτι φωνῶ καὶ δέους ἀπαλλάττομαι· τοιαύτη ἡ χάρις σου, καὶ τηλικαύτη ἡ ἄμετρος βοήθεια· ἧ πᾶς ὁ προστρέχων, Δέσποινα ἐξ ἀναγκῶν λελύτρωται.

Ἐμπεσὼν εἰς σάλον πειρασμῶν, πότε σε ἐζήτησα, καὶ οὐ ταχὺ ἐῤῥάϊσας τὸν κλύδωνα; τὸν νοῦν μου εἰρήνευσας; ἀπὸ παντοίας ἐπηρείας ἐξήρπασας; ὅθεν εὐλογῶ σε, Δέσποινα, καὶ ἀνυμνῶ τὸ κράτος σου.

Ἀπογνοὺς τῷ πλήθει τῶν δεινῶν, ἔκλαυσα καὶ εὗρόν σε, προασπιμὸν τῶν ἀναγκῶν ἐξαίρουσαν· πάντοτε προφθάνεις με· ἀδιαλείπτως προστασία ὑπάρχεις μοι· ὅθεν εὐλογῶ σε, Δέσποινα, καὶ ἀνυμνῶ τὸ κράτος σου.

Ωδή. γ'. Στειρωθέντα μου τὸν νοῦν.

Τίς αἰνεῖν σε γηγενῶν, κατ' ἀξίαν ἱκανοῖ, παρθενομῆτορ; σὺ γὰρ ἐν γυναιξὶ, μόνη ὤφθης ἐκλεκτὴ καὶ Παμμακάριστος.

Οὐρανός σε ἀνυμνεῖ καὶ ἡ γῆ σε εὐφημεῖ· μεθ' ὧν κἀγώ σοι, ὀφειλὰς ἀποδιδοὺς, ἀνθ' ὧν ὤφθης μοι σωτὴρ Θεογεννήτρια.

Πεποιθήσει τῇ εἰς σὲ, λυτρωθεὶς ἐκ πειρασμῶν, σοὶ ἀνακράζω ἐκ βαθέων ψυχῆς· σύ μου σκέπη κραταιὰ Θεοχαρίτωτε.

Συσχεθέντα ἐν δεινοῖς, ἀπογνόντα καὶ τοῦ ζῆν, ἠλέησάς με ἡ ἐλπὶς τῶν βροτῶν, ἐξελοῦσα τῶν κακῶν ῥοπαῖς σου Δέσποινα.

Ωδή, δ'. Τὴν ἐκ Παρθένου σου γέννησιν.

Τὴν φοβεράν σου ἐπίκλησιν, ὁπηνίκα ἀκούσῃ, ἡ δαιμόνιος πληθὺς, ἀποδιδράσκει ὡς ἐκ πυρὸς δειματουμένη· ὅθεν μου φωνοῦντος, Θεοτόκε βοήθει· ἐπακούειν μὴ παρίδῃς ἀγαθή.

Τὸ ἐπιπόθητον ὄνομα, ἐν εἰκόνι σε βλέπω, τὴν Κυρίαν τοῦ παντός· καὶ γὰρ ἐν ταύτῃ θαυματουργεῖς βρύουσα χάριν, καὶ τὸν ἐν πεποιθήσει προσιόντα σοι δοῦλον, ἐξαιροῦσα Θεοτόκε, τῶν δεινῶν.

Εὐχαριστήριον αἶνόν σοι, κατὰ χρέος ἐπᾴδω, ὑπερύμνητε ἁγνή· ὅτι προφθάνεις ἐν οἰκτιρμοῖς τὸν σὸν οἰκέτην· ὅτι με ἐμπαρέντα παγίσιν, ἀφύκτοις τῶν κακούντων, ἐλυτρώσω

θαυμαστῶς.

Σωματικοῖς κατερρύπωσα, πάθεσι τὴν ψυχήν μου, ὁ πανάθλιος ἐγώ· ἀλλ' ἐπὶ σὲ τὴν ἀμώμητον Κόρη πίστει προστρέχω· ὅθεν μή με παρίδης· ἄκουσον τοῦ κλαυθμοῦ μου, καὶ πρόσδεξαι τῆς ψυχῆς μου τὸν πόθον.

Ὠδὴ, ε'. Ὅτι νὺξ τῶν παθῶν περὶ ἐμέ.

Ὅτι σὺ εἶ ἰσχὺς τῆς ἀσθενοῦς καρδίας μου, εἰκότως ἀνυμνῶ ἁγνὴ καὶ φθέγγομαι. Τί κραταιά σου ἡ ῥοπὴ, τῆς δυνάμεως ἐν προστασίαις!

Ὅτι σοῦ ἡ εἰκὼν θαυματουργεῖν ἐγνώρισται, ῥωννύμενος ἐν αὐτῇ ἁγνὴ προσφθέγγομαι. Τί ὡραιώθη ἡ μορφὴ, τοῦ προσώπου σου Θεογεννῆτορ!

Ὅτι σοὶ ἐμαυτὸν προσαναθεὶς ἐπήλπισα, βοήθεια κατ' ἐχθρῶν γενοῦ μοι Δέσποινα· σοῦ ἡ πρεσβεία γὰρ σεπτὴ, καὶ ἡ δύναμις ἀμαχωτάτη.

Ὅτι σὲ ἐν δεινοῖς ἐπικουρεῖν ἐζήτησα, εὐήκοος ἱλασμὸς ἔσο μοι Δέσποινα· σὺ σωτηρίας γὰρ ἐλπὶς, τοῦ οἰκέτου σου Θεογεννῆτορ.

Ὠδὴ, ς'. Ἄβυσσος ἁμαρτημάτων.

Ἄβυσσος τῆς ἁμαρτίας, καταποντίζει τελείως, τὴν ἀθλιωτάτην μου ψυχὴν πάναγνε Δέσποινα· σὺ χεῖρά μοι βοηθείας παράσχου.

Ἄβυσσος τῆς εὐσπλαγχνίας, ὑπάρχουσα Θεοτόκε, τῶν ἐν τῇ ἰλύϊ τῶν παθῶν, δεινῶς ἐμπαγέντα με, ἀνάγαγε ἀπαθείας πρὸς ὕψος.

Χαῖρέ σοι ἀναβοῶμεν, αἰσίως τὸ τοῦ Ἀγγέλου, τῇ ὑπεραμώμῳ Παρθένῳ· χαῖρε χαράκωμα τῶν δούλων σου, καὶ ἀνέδρευτον ἕρκος.

Χαῖρέ σοι τῇ πανυμνήτῳ, καὶ ἀπειράνδρῳ Παρθένῳ, νῦν προσάγω Κόρη χαρμονικῶς, χαῖρε ἀντίληψις καὶ καύχημα τῶν εἰς σὲ προστρεχόντων.

Κάθισμα· πρεσβεία θερμή.

Ἡ μόνη Θεὸν ἀσπόρως ἀποτέξασα, καὶ πάλιν ἁγνὴ, μετὰ τὸν τόκον μείνασα· σοὶ προσπίπτομεν Δέσποινα, μετὰ φόβου καὶ πόθου κραυγάζοντες, ἐκ παθῶν καὶ νόσων δεινῶν, καὶ θλίψεων πασῶν ἡμᾶς λύτρωσαι.

Ὠδὴ ζ'. Ἐν τῇ φλογοφόρῳ καμίνῳ.

Ἐν παρθενικῇ σου νηδύϊ, ὡς ἐν οὐρανῷ ἑπτακύκλῳ, βαστάζεις Θεόπαις τὸν πάντων Κτίστην, καὶ τεκοῦσα ὡς πρὶν πάναγνος, διαμεμένηκας ἁγνή· φοβερὸν τὸ θαῦμα!

Ἐν πολυστενάκτῳ ὀδύνῃ, ὡς ἐν πυριφλέκτῳ καμίνῳ, ὑπῆρχον ὁ παῖς σου Θεογεννῆτορ, καὶ ἐρρύσθην ταῖς πρεσβείαις σου, τῆς συνεχούσης με ποινῆς, ὡς φλογὸς οἱ παῖδες.

Εὐχαριστηρίους ᾠδάς σοι, ὡς κυριακὴν εὐπορίαν, προσφέρω ὁ παῖς σου Θεογεννῆτορ· ἀνυμνῶ σου τὴν ἀντίληψιν, καὶ προστασίαν φοβεράν, αἷς ἀεί με σκέπεις.

Σὺ τῇ περιλύπῳ ψυχῇ μου, φάρμακον ἡδῦνον ταύτην, ὑπάρχεις ὡς εὔσπλαγχνος σεμνὴ Μαρία, ἐμποιοῦσα φῶς ἐγκάρδιον, τοῖς σκοτεινοῖς μου λογισμοῖς· καὶ φρουροῦσα σῴζεις.

Ωδὴ, η'. Παῖδες ἅγιοι καμίνῳ.

Θείοις ᾄσμασι ποικίλλω σοι τὸν ὕμνον ἁγνὴ, ὑπὲρ τῆς εἰς ἐμὲ εὐκταίας σκέπης σου· σὲ γὰρ ἐν πειρασμοῖς ἐξεῦρον δρόσον ζωῆς, τοὺς πόνους ἀναψύχουσαν, καὶ παρορμῶσαν ψάλλειν με· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Σύ μου Δέσποινα ἐλπὶς καὶ προσφυγὴ κραταιὰ, ἐν περιστατικοῖς ἀγῶσι φθάσαντος· ἐν σοὶ γὰρ πεποιθὼς, ἐπιβουλὰς δυσμενῶν δυναμωθεὶς ἐκτρέπομαι, καὶ εὐχαρίστως φθέγγομαι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Πόῤῥω βέβλησο δαιμόνιος πληθὺς πονηρά· ὅτι μοι συμμαχεῖ μεγάλη δύναμις· αὕτη Μήτηρ Θεοῦ, κλῶσα πάγας τὰς σὰς, κἀμὲ διαφυλάττουσα ὡς ἐκ παγίδος ὄρνεον, εἰς τὸ βοᾷν ἀνελλιπῶς, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Μόνη ἄχραντε διήλεγξας θεσμοὺς φυσικούς· ὅτι ἄνευ σπορᾶς υἱὸν γεγέννηκας, ἔχουσα ἐνταυτῷ παρθενικὴν ἀστραπὴν, καὶ μητρικὴν συγγένειαν· καὶ σοῦ τὸ θαῦμα ᾄδεται, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, Θεοτόκε Μαρία Πανύμνητε.

Ὁ Εἱρμός.

Παῖδες ἅγιοι καμίνῳ ἐμβληθέντες ποτὲ, καὶ τὴν φλόγα δροσοβολοῦσαν θεώμενοι, Ἀγγέλου ὡραίου ἐπιστασίᾳ φρικτῇ, συμφώνως οἱ τρεῖς ἔμελπον, δοξολογοῦντες καὶ κράζοντες· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ωδὴ, θ'. Τῶν γηγενῶν τίς ἤκουσε.

Τῶν γηγενῶν τίς αἶνόν σοι οὐ πλέξει; ἢ τίς ἐγκώμια οὐ φῇ; ὅτι πρέσβυς ὑπάρχεις εἰς Θεὸν ἅπασι· μεθ' ὧν κἀμοῦ ἐπὶ πᾶσι τοῦ σοῦ οἰκέτου, ἀνθ' ὧν καὶ ἀναμέλπω, καὶ ἐν ᾠδαῖς Θεοκυῆτορ Μαρία μεγαλύνω σε.

Ἐν συμφοραῖς λαμπρότερον ἡλίου, ἐναπαστράπτει σου τὸ φῶς, τῆς κραταιᾶς προστασίας, διασκεδάζουσα τῆς ἀθυμίας τὰ νέφη ἐκ τῆς ψυχῆς μου· διὸ καὶ ἀναμέλπω, καὶ ἐν ᾠδαῖς Θεοκυῆτορ Μαρία μεγαλύνω σε.

Ἐν γυναιξὶ σὺ μόνη ἐκληρώσω, θαῦμα πανθαύμαστον ἁγνὴ, τεκοῦσα καὶ μὴ φθαρεῖσα τὴν παρθενίαν σου· ὁ ὑπὲρ φύσιν γὰρ τὴν φύσιν καινοτομῶν, αὐτὸς Θεὸς ἁπάντων ὁ κυηθείς· διό σε πίστει καὶ πόθῳ, ἀπαύστως μεγαλύνομεν.

Πάντες ὁμοῦ τὸ χαῖρέ σοι βοῶμεν, ὡς γεννησάσῃ τὴν χαρὰν, καὶ βραβευθείσῃ πρεσβεία πᾶσι τοῖς πέρασιν, ὡς καὶ ἐμοῦ προστασία τοῦ σοῦ οἰκέτου. Τοιαύτη σου ἡ χάρις· διό σε ἐν ᾠδαῖς Θεοκυῆτορ Μαρία μεγαλύνομεν.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαίροις ἣν ἑώρακε ποτὲ, πύλην κεκλεισμένην προφήτης, θείῳ ἐν Πνεύματι, μόνος ἣν διώδευσε πάντων ὁ αἴτιος· Χαῖρε ἔξοχον ἄκουσμα· παράδοξον θαῦμα· Χαῖρε στάμνε πάγχρυσε τὸ μάννα φέρουσα· Χαῖρε θησαυρὲ πενομένων· Χαῖρε ἀσθενούντων ἡ ῥῶσις· Χαῖρε δυστυχούντων ἡ ἀνόρθωσις.

Χαῖρε ἡ ἀέναος πηγὴ, τοῦ χρυσαυγεστάτου Παρθένε, καὶ θείου νάματος· Χαῖρε ἡ ἀντίληψις καὶ προστασία βροτῶν· Χαῖρε ἅγιον οἴκημα, τοῦ πάντων Δεσπότου, σκεῦος κα-

θαρώτατον, μῦρον πολύτιμον· Χαῖρε ὁ Θεόδροσος πόκος, πάλαι Γεδεὼν ὃν προεῖδε, Πνεύματι τῷ θείῳ ἐλλαμπόμενος.

Χαίροις τοῦ ἐλέους ποταμέ· Χαῖρε μυστηρίων διόπτρα καὶ θύρα Πάναγνε· Χαῖρε ἀνεξάντλητε γλυκεῖα θάλασσα, χαρισμάτων τοῦ Πνεύματος· Χαῖρε ἀϊδίων, στεφάνων ἡ πρόξενος, θεοπρεπῶν τε γερῶν· Χαῖρε τὸ ἐγκώμιον Κόσμου, παντὸς ἐγκωμίου καὶ λόγου, ἀσυγκρίτῳ μέσῳ ὑπερέχουσα.

Ἄρόν σου τὰς χεῖρας ἀγαθὴ, πρὸς τὸν σὸν υἱὸν καὶ μαστούς σου, οὕς περ ἐθήλασε, δεῖξον, καὶ σπαργάνων τε, τοῦτον ὑπόμνησον· τὰ ἐκείνου ἀνάμιξον, τοῖς σοῖς Θεοτόκε, τὸν σταυρὸν, τοὺς ἥλους τε, τὴν λόγχην αἵματα, τραύματα καὶ ἅπαντα πάθη· καὶ οὕτως ἱλέωσον τοῦτον, ἐφ᾽ ἡμῖν καὶ ῥῦσαι τῆς κολάσεως.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΝΕΟΥ.

Κατ᾽ ἀλφάβητον· ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ, α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.

ΑΜΒΡΟΣΙΑΣ κόσμῳ τὴν τρυφὴν, χαῖρε ἡ πηγάσασα, Θεογεννήτρια χαῖρε Παράδεισε, τῆς ζωῆς βλαστήσασα, ξύλον Δέσποινα ὃ καὶ βλέψαι ἀξίωσον, καὶ κατατρυφῆσαι, πάντας τοὺς πιστῶς ὑμνολογοῦντάς σε.

Βασιλείαν τὴν τῶν οὐρανῶν, ἡ πιστοῖς παρέξασα, Θεογεννήτρια χαῖρε τῷ τόκῳ σου, τῷ ἀῤῥήτῳ Πάναγνε, χαρμονῆς ἡμᾶς αἰωνίου ἀξίωσον, χαῖρε τοῦ βοᾷν σοι, κεχαριτωμένη μεσιτείαις σου.

Γηθοσύνως χαῖρέ σοι σεμνὴ, βάτε ἀκατάφλεκτε. Θεογεννήτρια πόθῳ τοῖς κράζουσι, βοηθὸς γενήθητι, μεσιτείαις σου, καὶ ἡμᾶς ἐλευθέρωσον, πονηρευομένων, ἀπὸ συστροφῆς ἡ πανευλόγητος.

Ἀναξίων πρόσχες οἰκετῶν, ταῖς οἰκτραῖς δεήσεσι, διηνεκῶς ἐκβοώντων σοι Πάναγνε· χαῖρε θεία τράπεζα, ἄρτον φέρουσα τῆς ζωῆς Θεονύμφευτε, οὗ ἐπαπολαῦσαι, πάρεξον ἡμῖν ταῖς ἱκεσίαις σου.

Ὠδὴ, γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Δοχεῖον χαῖρε μύρου τοῦ οὐρανίου· ὁ τόκος ὁ θεόδροσος χαῖρε Κόρη· κραταίωσον τοὺς δούλους σου χαῖρε ψάλλειν, ἡ φῶς ἀπρόσιτον Θεογεννήτρια, τοῖς ἐν σκότει λάμψασα τῷ

θείῳ τόκῳ σου.

Ἐκλύτρου τῶν διψώντων αἰσχύνης πλῆσαι, ψυχήν μου ἵνα χαῖρε ἀπηλπισμένων, ἐλπὶς ἀναβοῶ σοι χαῖρε λυχνία, καὶ ὄρος ἅγιον Θεοχαρίτωτε· Χαῖρε τὸ διάσωσμα τῶν τιμώντων σε.

Ζωὴν ἡ τὴν ἀνώλεθρον χαῖρε κόσμῳ, ἐκβλύσασα τῷ τόκῳ σου χαῖρε πύλην, διάρασα ἀνθρώποις τὴν οὐρανίαν· βοῶντας χαῖρέ σοι Θεογεννήτρια, αἰωνίου ἔμπλησον χαρμονῆς ἡμᾶς.

Θεόδμητον παλάτιον χαῖρε Κόρη, ἀγλάϊσμα τοῦ γένους καὶ προστασία· Κυρία χαῖρε Κόσμου καὶ θεία σκέπη· τὸ χαῖρε ὅπως σε, ἀπαύστως μέλπωμεν, ἀναγκῶν καὶ θλίψεων ἐξελοῦ ἡμᾶς.

Ὠδὴ, δ΄. Ἐλήλυθας.

Η ἔμψυχος κιβωτὸς χαῖρε πλάκας τῆς χάριτος, θεοτεύκτους φέρουσα, Θεοχαρίτωτε χαῖρέ σοι, πόθῳ τοὺς κραυγάζοντας, δεινῶν παντοίων, ῥυσθῆναι καθικέτευε.

Θεόμορφον καὶ θειότατον χαῖρε ἀνάκτορον, πειρασμῶν καὶ θλίψεων καὶ νοσημάτων ἐκλύτρωσαι, χαῖρε τοὺς βοῶντάς σοι, τετυρωμένον καὶ πῖον ὄρος Πάναγνε.

Ιάσεων χαῖρε Κόσμῳ πηγὴν ἡ ἐκβλύσασα· χαῖρε λύπην λύσασα τῶν Προπατόρων τῷ τόκῳ σου· ἀλλ᾽ ὡς προστασία μου, μανίας ῥῦσαι καὶ βλάβης ἐχθραινόντων μοι.

Ακράδαντον χαῖρε τεῖχος, πιστῶν ἄβυσσον, τοῦ ἐλέους τέξασα, Θεογεννήτρια ἔπιδε, πάντας δεομένους σου, καὶ τρικυμίας τοῦ βίου ἀπολύτρωσαι.

Ὠδὴ, ε΄. Ὁ φωτισμός.

Κατὰ παθῶν, ἐξανάστησον Κόρη τῶν ὀλεθρίων, πόθῳ τοὺς τὸ χαῖρέ σοι ἐκβοῶντας, αὐγὴ ἡμέρας, μυστικῆς χαῖρε ὄρος, Θεογεννῆτορ ἀλατόμητον· χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Λύσις ἀρᾶς, παντευλόγητε χαῖρε ἁμαρτανόντων, χαῖρε ἱλαστήριον χαῖρε βάθος, τοῦ θείου ὕψους δυσανάβατον, χαῖρε ἀσθενούντων Θεοχαρίτωτε, ἴασις ἡμᾶς νοσημάτων ἀπάλλαξον.

Μετὰ Θεὸν, τοῖς βοῶσί σοι χαῖρε ἡ ἐλπὶς καὶ σκέπη· χαῖρε ἐνδιαίτημα θείας δόξης· παραμυθία τῶν ἐν θλίψεσι χαῖρε· πάσης βλάβης ἁγνὴ καὶ θλίψεως, λύτρωσαι ἡμᾶς τοὺς εἰς σὲ καταφεύγοντας.

Νέκταρ πιστούς, ἡ ποτίσασα χαῖρε, παλινζωίας· Χαῖρε τοῦ ἀδύτου φωτὸς νεφέλη· λυχνία χαῖρε, φωτισμὸν τοῖς ἐν σκότει, παρασχοῦσα Θεογεννήτρια· σκότους ἐξωτέρου ἡμᾶς ἀπολύτρωσαι.

Ὠδὴ, ς΄. Ἤχου ῥημάτων δεήσεως.

Νεῦσον αἰτήσει τῶν χαῖρέ σοι, ἐπιβοώντων γέφυρα δι᾽ ἧς, περαιοῦται Κόρη πανσεβάσμιε, τῶν σῳζομένων πληθὺς θεῖαν πρὸς ἐπίγνωσιν.

Ξύλον ζωῆς χαῖρε Δέσποινα, ἡ ἐξανθήσασα τὸ νοητὸν, ἐξ οὗ φαγόντες ὄντως οὐ θνήσκο-

μεν, καὶ ἀρᾶς προπατορικῆς, ἄχραντε ἐῤῥύσθημεν.

Ὄρεξον χεῖρα τοῖς χαῖρέ σοι, ἐπιβοῶσι πάναγνε ἀεὶ, καὶ παντοίας βλάβης καὶ κακώσεως, ῥῦσαι Παρθένε ἡμᾶς, καὶ φρικτῆς κολάσεως.

Ἄδοντας χαῖρε τῷ κράτει σου, ἀπὸ παντοίας ῥῦσαι συμφορᾶς, καὶ εἰρήνης Κόρη πολυύμνητε, τὸν τῆς εἰρήνης Θεὸν, ὡς τεκοῦσα ἔμπλησον.

Κάθισμα. Εὐσπλαγχνίας ὑπάρχουσα.

Τίς εἶδε; τίς ἤκουσε Μητέρα, τίκτουσαν τὸν ἑαυτῆς Δημιουργὸν, τὸν διδόντα τροφὴν πάσῃ σαρκί; ὢ τοῦ θαύματος! θρόνος Χερουβικὸς ἐδείχθη ἡ γαστήρ σου Θεοτόκε, κεχαριτωμένη πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Πυρὶ πειρασμῶν, φλεγομένους ἡ πηγὴ τῶν τεραστίων, σῇ μεσιτείᾳ καταδρόσισον Θεοχαρίτωτε ᾄδοντας· χαῖρε ἡ ὀμβρήσασα Κόσμῳ σωτηρίας τὰ νάματα· χαῖρε Παράδεισε τρυφῆς· χαῖρε πιστῶν προσφυγή.

Ῥημάτων σεμνὴ, τῶν τὸ χαῖρέ σοι ψυχῆς ἐν εὐφροσύνῃ, ψαλλόντων Κόρη Παναμώμητε, Θεογεννήτρια ἄκουσον, πάσης προσβολῆς ἐναντίας, ῥυομένη τῷ κράτει σου, καὶ ἐξ ἐχθρῶν νοητῶν καὶ αἰσθητῶν εἰσαεί.

Σκηνὴ τοῦ Θεοῦ, χαῖρε δόξαν ἡ βροτοῖς διηγουμένη· λυχνία χαῖρε Παρθένε τῆς χάριτος, πλάκας ἡ κατέχουσα Κόρη, τῆς ζωῆς χαῖρε τράπεζα, ἄρτον οὐράνιον ἡμῖν, παρεχομένη ἀεί.

Σκοτίας κρημνοῦ, τῶν αἱρέσεων ἡμᾶς Παρθένε ῥῦσαι, βοῶντας χαῖρε στῦλε πύρινε, Θεογεννήτρια λήξεως, δεῖξον δὲ ἀεὶ κληρονόμους, οὐρανίου τοῦ ψάλλειν σοι· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ, η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τράνωσον γλώσσας τὰς ἡμῶν, χαῖρε Πάναγνε βοᾷν ἐλπὶς τοῦ Κόσμου, τὸ ἀπόρθητον τεῖχος τοὺς σοὺς οἰκέτας ἁγνὴ, ποικίλλων συμφορῶν καὶ θλίψεων, ἔξελοῦ καὶ τρίβους, ὑπόδειξον ἐνθέους.

Ὕψιστον χαῖρε τοῖς βροτοῖς, σωματώσασα Θεὸν ἀφράστῳ τρόπῳ· τῶν πιστῶν χαῖρε σκέπη· τοὺς σὲ ὑμνοῦντας ἀεὶ, Παρθένε κληρονόμους ἔργασαι, τῆς ἐπουρανίου τρυφῆς καὶ βασιλείας.

Φρύαγμα σβέσον καθ' ἡμῶν, ἐπεμβαίνειν ἀφειδῶς ὁπλιζομένων· ἵνα χαῖρε βοῶμεν, σοὶ Θεομῆτορ ἀεὶ, τῇ μόνῃ ὑπερτέρᾳ Κτίσεως, πάσης ἀοράτου, καὶ ὁρωμένης Κόρη.

Ἵνα φωναῖς περιχαρῶς, ἀναγγέλωμεν τὰ σὰ πηγὴ ἐλέους, μεγαλεῖα ἐκ νόσου, Παρθενομῆτορ τῇ σῇ, πρεσβείᾳ ἔξελοῦ τὸ χαῖρέ σοι, ἐπιβοωμένους ὑπερευλογημένη.

Αἰνοῦμεν. Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε.

Ὠδὴ, θ'. Ἀνάρχου γεννήτορος.

Χριστοῦ χαῖρε ἔμψυχος, ἡ βίβλος τοὺς ἐκ πόθου σοι, ἐκβοῶντας τὸ χαῖρε Θεοχαρίτωτε· χαῖρε τὸ κατάσκιον ὄρος, ὡς ἐπὶ σοὶ θεμένους ἐλπίδα, ἡμᾶς παντευλόγητε, δυσχερείας πάσης λύτρωσαι.

Ψυχῆς φωτισμὸν ἡμῖν, καὶ τῶν σωμάτων ἴασιν, τοῖς τὸ χαῖρε βοῶσί σοι Παναμώμητε, πάρεξον ταχέως λυχνία ἡ θεαυγὴς, καὶ στάσιν λιταῖς σου, ἐν ὥρᾳ τῆς κρίσεως, δεξιὰν ἡμῖν ἐξαίτησον.

Ὠσθεὶς κατενήνεγμαι, πρὸς ᾅδην ὁ ταλαίπωρος· ἀλλὰ χεῖρα πρὸ τέλους Θεογεννήτρια, δίδου μοι βοῶντί σοι χαῖρε ἡ φωτεινὴ, νεφέλη καὶ πάσης, μανίας ἐξάρπασον, τῶν μισούντων με Θεόνυμφε.

Οὐδεὶς ἐν σοὶ πέποιθε, καὶ κατησχύνθη πώποτε, Ἀειπάρθενε Κόρη Θεοχαρίτωτε. Ὅθεν τοὺς προσφεύγοντας πίστει τῷ σῷ ναῷ, καὶ πόθῳ βοῶντας, Ἀγγέλου τὸ χαῖρε σοι, μὴ ἐλλίπῃς περιέπουσα.

Προσόμοιον. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαίροις ὁ ἀείῤῥους ποταμὸς, χαίροις ἀνεξάντλητε κρήνη, πλήρης ὑδάτων πολλῶν· δι' ὧν καταρδεύεται ἡ κτίσις ἅπασα· καὶ καρδίαι εὐφραίνονται, τηκόμεναι δίψει, καὶ φλογμῷ κρατούμεναι τῶν παραπτώσεων· Χαίροις φωτεινὸν τοῦ Δεσπότου, καὶ τρεπνὸν παλάτιον Κόρη· Χαίροις τῶν ἁμαρτανόντων ἡ διόρθωσις.

Χαῖρε παναγία ἀπαρχὴ, ἀνθρωπίνου γένους Παρθένε, ἐξ ἧς ἀνέπλασε, φύσιν βροτῶν ἅπασαν, Χριστὸς ὁ Κύριος· Χαῖρε γῆ ἀγεώργητε, καὶ ἄρουρα θεία, ἡ καρποφορήσασα ζωῆς τὸν ἄσταχυν· Χαῖρε Προφητῶν ἡ διόπτρα, Χαῖρε Ἀποστόλων ἡ δόξα· Χαῖρε τῶν μαρτύρων τὸ κραταίωμα.

Χαῖρε τῆς ἀκτίστου καὶ κτιστῆς, φύσεως μεθόριον μόνη ἁγνὴ ὑπάρχουσα· Χαῖρε πολυσύνθετον χαρίτων Πάναγνε· Χαῖρε ἔμψυχος Δέσποινα, καλῶν ἀγαθῶν τε, ἀνακεφαλαίωσις· Χαῖρε ἑστία κοινὴ, θείων ἀνθρωπίνων τε ἅμα, καὶ Ἀγγελικῶν Θεοτόκε, δωρεῶν καὶ μέγα οἰκητήριον.

Πλῆσον εὐφροσύνης τὴν ἐμὴν, νῦν Θεοκυῆτορ Παρθένε, καρδίαν δέομαι· ἦλθοσαν γὰρ ὕδατα, ἕως αὐτῆς ἀληθῶς, εἰς ἰλὺν ἐνεπάγην δὲ βυθοῦ ἀπωλείας, ἤδη καὶ εἰς πέταυρον ᾅδου προσήγγισα· σὺ οὖν ὡς τῷ Πέτρῳ μοι χεῖρα, ὄρεξον ἀνύμφευτε Μῆτερ, τῆς φιλανθρωπίας σου καὶ σῶσόν με.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΡΧΗ ΤΟΥ Γ'. ΗΧΟΥ.

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ,

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

Οὗ ἡ ἀκροστιχίς.

Τῇ Παρθένῳ μέλισμα ἐξᾴδω τρίτον. Μανουήλ.

Ωδὴ, α'. ἦχος γ'. Ὁ τὰ ὕδατα πάλαι.

ΤΟΝ βυθὸν ὡς τεκοῦσα, τῆς ἀμετρήτου σοφίας, εὐλογημένη Μαρία, φωτισμὸν δίδου μοι, καὶ λόγον ἔμπνευσον νῦν, ὅπως ἀνυμνήσω σου τὰ παμφαῆ μεγαλεῖα· ἅπερ σοι ὁ Κύριος Κόρη ἐποίησεν.

Ἡ θανάτου τὸ κέντρον, καὶ ἰταμότητα ᾅδου, καταβαλοῦσα τελείως, τοκετῷ πάναγνε, ὑπεραγίῳ τῷ σῷ, καὶ ἡμᾶς ζωώσασα· δόξα τοῖς σοῖς μεγαλείοις, ἅπερ σοι ὁ Κύριος Κόρη ἐποίησεν.

Παμφαεστάτη πύλη, ἐξ ἧς πυρσὸς ἀναλάμψας, μέγας προῆλθεν ἀῤῥήτως, καὶ πιστοὺς ηὔγασε, καὶ τῶν δαιμόνων βωμοὺς, πάντας κατενέπρησε· δόξα τοῖς σοῖς μεγαλείοις, ἅπερ σοι ὁ Κύριος Κόρη ἐποίησεν.

Ἀνεζώωσας Εὔαν. καὶ Ἀδὰμ τεθνηκότας, τῇ δεινῇ παραβάσει, τῆς ζωῆς τὴν πηγὴν ἀποτεκοῦσα Χριστὸν, τὸν ὄντως Θεὸν ἡμῶν· δόξα τοῖς σοῖς μεγαλείοις, ἅπερ σοι ὁ Κύριος Κόρη ἐποίησεν.

Ωδὴ, γ'. Ὁ Ἐκ μὴ ὄντων.

Ῥύου κινδύνων παντοίων καὶ συμφορῶν, τοὺς ὑμνοῦντας Δέσποινα, τὸν πανάγιον τόκον σου· ἔχεις γὰρ τὸ δύνασθαι, σοῦ τῇ θελήσει ἁγνὴ ἰσοτάλαντον.

Θαυμάστωσόν σου τὰ πλούσια ἐπ' ἐμὲ, ἐλέη καὶ χεῖρά μοι βοηθείας χορήγησον· ἔχεις γὰρ τὸ δύνασθαι, σοῦ τῇ θελήσει ἁγνὴ ἰσοτάλαντον.

Ἐπλήγωσάν με τὰ βέλη τοῦ δυσμενοῦς· ἀλλὰ θείᾳ νεύσει σου, ἐν ὑγείᾳ βελτίωσον· ἔχεις γὰρ τὸ δύνασθαι, σοῦ τῇ θελήσει ἁγνὴ ἰσοτάλαντον.

Νοῦν ὑποτάξας κινήσεσι τῆς σαρκὸς, ἀχλύος ἐμπέπλησμαι· σὺ δὲ κάθαρον, λάμπρυνον· ἔχεις γὰρ τὸ δύνασθαι, σοῦ τῇ θελήσει ἁγνὴ ἰσοτάλαντον.

Ωδὴ, δ'. Ἔθου πρὸς ἡμᾶς.

Μέσον τοῦ Θεοῦ, καὶ βροτῶν ἐγένου πανύμνητε, καὶ τοῦ πλάστου ἐξαποικισθὲν, τὸ πλάσμα ὑπερφυῶς κατήλλαξας· ὅθεν ἐκβοῶμεν σοι· χαῖρε σοῖς δούλοις πᾶσι, σωτηρίαν

πυρσεύουσα.

Ἔνθες χαρμονὴν, τῇ πολυοδύνῳ καρδίᾳ μου, κατακρατηθείσῃ λυπηροῖς, τοῦ εἰς τὸν κόσμον τὸν φθόνον σπείραντος· ὅπως Κόρη μέλπω σοι· χαῖρε σοῖς δούλοις πᾶσι, σωτηρίαν πυρσεύουσα.

Λύτρωσαι δεινῶν, τῶν περικυκλούντων με Πάναγνε, καὶ μηδὲ ἐώντων μου τὸν νοῦν, ὕμνους ὑφαίνειν τῇ θείᾳ δόξῃ σου· ἵνα πόθῳ κράζω σοι· χαῖρε σοῖς δούλοις πᾶσι, σωτηρίαν πυρσεύουσα.

Ἵλεων ἡμῖν, ταῖς σαῖς ἱκεσίαις ἀπέργασαι, Κόρη τὸν υἱόν σου καὶ Θεὸν, ἵνα ῥυσθῶμεν ὀργῆς καὶ θλίψεως, καὶ σοὶ ἀεὶ κράζωμεν· χαῖρε σοῖς δούλοις πᾶσι σωτηρίαν πυρσεύουσα.

Ὠδὴ, ε'. Πρὸς σὲ ὀρθρίζω.

Στοιχείων κρᾶσιν, πρὸς ὑγιᾶ δούλου τοῦ σοῦ, Κόρη κατάστασιν εὐχαῖς σου ποίησον· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

Μὴ μετελθέτω, λοιμώδης νόσος Παρθένε σὸν λαόν· ἀλλ' ὡς φιλεύσπλαγχνος ἄτρωτον φύλαξον· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

Ἄχραντε Κόρη, νόσων παντοίων με ἀπάλλαξον δοῦλον τὸν σὸν, καὶ περιφρούρησον· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

Ἐν κλίνῃ νόσου, κατ' ἄμφω κείμενον ἁγνὴ, θᾶττόν με ἔγειρον τῇ εὐσπλαγχνίᾳ σου· σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον, τῷ κόσμῳ ἐξανέτειλας.

Ὠδὴ, ς'. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Ξύλον καὶ φυτόν σε ἀειθαλὲς, ἔγνωμεν Κόρη, τὴν ζωὴν ἐξανθήσασαν, χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ποταμὸν τοῦ ἐλέους· ὅθεν Θεοτόκον σε κυρίως σέβομεν.

Ἄφλεκτον τὴν βάτον ἐν τῷ Σινᾷ, τῆς σῆς λοχείας ἁγνὴ τύπος ἐφύλαξε· καὶ ἡμᾶς τῇ σκέπῃ σου, ἐκ πάσης ῥύου ὀδύνης· καὶ γὰρ Θεοτόκον σε κυρίως σέβομεν.

Δάκρυσι προπίπτω σοι ἀγαθή· καὶ ἐκβοῶ σοι ἐλέησόν με Δέσποινα, τὸν πολλαῖς ὑπεύθυνον, ἁμαρτίαις καὶ πάθεσιν· ἵνα ὡς Θεοτόκον σε κυρίως σέβωμαι.

Ὤκησε χαρίτων ἐν σοὶ πηγή· διὸ χάριτας νέμεις τοῖς σὲ γεραίρουσι· καὶ ἐμοῦ χαρίτωσον, δαψιλῶς Κόρη τὴν καρδίαν· καὶ γὰρ Θεοτόκον σε κυρίως σέβομαι.

Κάθισμα. Θείας πίστεως.

Θρόνος πάγχρυσος τοῦ βασιλέως, καὶ παράδεισος διηνθισμένος, ἀνεδείχθης Θεοτόκε πανύμνητε· τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν· ὅθεν ἅπαντες, Θεοῦ ἀληθῶς μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Ὠδὴ, ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

Τὸ μέγα χριστιανῶν, σὺ εἶ ἱλαστήριον, πρὸς τὸν Θεὸν καὶ Δημιουργὸν, τὸν ἐκ σοῦ ἀφράστως τεχθέντα ἀγαθὴ, καὶ μεσίτις ἀπαύστως· ὅθεν σοι χαῖρε κράζομεν, δόξης θρόνε ἡλιόμορφε.

Ράβδος Μωσέως ποτέ, σέ προανετύπωσεν, ἐκ τῆς δεινῆς καὶ εἰδωλικῆς, πλάνης πρὸς τὴν θείαν ἀλήθειαν ἁγνή, ἡμᾶς ὁδηγήσασα, διό σοι χαῖρε κράζομεν, δόξης θρόνε ἡλιόμορφε.

Ιλέωσον μητρικαῖς, λιταῖς σου πανάμωμε, τὸν σὸν υἱὸν καὶ Θεὸν ἡμῶν, τοῖς ἁμαρτωλοῖς καὶ οἰκέταις σου ἡμῖν· καὶ νόσων ἀπάλλαξον· ἀεὶ γὰρ χαῖρε κράζομεν, δόξης θρόνε ἡλιόμορφε.

Τύποι τὸ πρὶν Χερουβὶμ, κιβωτὸν ἐσκίαζον· σοὶ δὲ ἁγνὴ ἡ πανσθενουργὸς, ὑψίστου ἰσχὺς ἐπεσκίασε σαφῶς, ὡς ναῷ θεότητος· διό σοι χαῖρε κράζομεν, δόξης θρόνε ἡλιόμορφε.

Ωδὴ, η'. Ἀστέκτῳ πυρί.

Ο θεῖος Δαβὶδ σὸς προπάτωρ, φάσκει ἐλαλήθη περὶ σοῦ δεδοξασμένα, τοῦ Θεοῦ ἡ ἔμψυχος πόλις, δόξαν ἣν ἐπλούτισας προαγγέλλων· χαῖρε τῆς δόξης τὸ τέμενος, δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

Νοσοῦντα ψυχὴν καὶ τὸ σῶμα, ἐξ ἀπροσεξίας Θεομῆτορ, τῷ ἐλέει σου με νῦν, ἔγειρον τῆς κλίνης· ὅπως πίστει πάντοτε ἐκβοῶ σοι· χαῖρε τῆς δόξης τὸ τέμενος, δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

Μόνη ἐπὶ σοὶ τὰς ἐλπίδας, τῆς ἐμῆς ἀνέθηκα Παρθένε σωτηρίας· καὶ ἐν σοὶ ῥυσθῆναι προσδοκῶ, λύπης καὶ κακώσεως ὅπως μέλπω· χαῖρε τῆς δόξης τὸ τέμενος, δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

Ανάστειλον Πάναγνε Κόρη, τὰς κακὰς ἐχθρῶν ἐφόδους τῇ σῇ δυνάμει, εἰς ἀεί μοι διενοχλούντων, φθόνῳ δολιόφρονι ἵνα μέλπω· χαῖρε τῆς δόξης τὸ τέμενος, δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον, εὐλογεῖτε.

Ωδὴ, θ'. Καινὸν τὸ θαῦμα.

Ναμάτων θείων γνώσεως τῆς σῆς, τὴν ἀεὶ διψῶσάν μου ἔμπλησον Κόρη ψυχὴν, πρὸς πόθον ἰθύνουσα ἁγνὴ τοῦ υἱοῦ σου, καὶ λυτρουμένη ταύτην ἐπηρείας ἐχθρῶν, ὁρατῶν ὁμοῦ καὶ ἀοράτων· νεύσει γὰρ μόνῃ τῇ σῇ, ἀβλαβὴς συντηρηθήσομαι.

Ο πάντων Κτίστης καὶ δημιουργὸς, κατασκηνώσας ἐν σοὶ ἀῤῥήτως Κόρη, ἁγνὴ οὐσίαν τὴν βρότιον, ἐκάθηρε πᾶσαν, τῆς προπατορικῆς τε καὶ ἀρχαίας ἀρᾶς· διὸ κἀμὲ ῥῦσαι ἐκ κινδύνων· νεύσει γὰρ μόνῃ τῇ σῇ, ἀβλαβὴς συντηρηθήσομαι.

Υπερθεν πάντας σώζεις τῶν δεινῶν, καὶ κακώσεως τῇ κραταιᾷ σου Κόρη χειρὶ, τοὺς πιστῶς ὑμνοῦντάς σου τὴν θείαν λοχείαν, καὶ ἣν ἐκτήσω δόξαν ἐκ τοῦ πάντων Θεοῦ· κἀμὲ νῦν φυλάττοις σε ὑμνοῦντα· νεύσει γὰρ μόνῃ τῇ σῇ, ἀβλαβὴς συντηρηθήσομαι.

Λαὸς καὶ κλῆρος προσπίπτει ἁγνὴ ὁ Χριστώνυμος, οἰκετικῶς ἐλέει τῷ σῷ, καὶ τὴν σὴν βοήθειαν νῦν ἐπικαλεῖται, λοιμώδους νόσου, θᾶττον λυτρωθῆναι δεινῆς, λιμοῦ τε καὶ δυσμενῶν ἐφόδου· νεύσει γὰρ μόνῃ τῇ σῇ, ἀβλαβὴς συντηρηθήσεται.

Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Χαῖρέ σοι πάντες ἀνακράζομεν Μαρία Θεοτόκε· Χαῖρε ναὲ Κυρίου· Χαῖρε Δέσποινα ἡ κεχαριτωμένη· Χαῖρε τὸ φῶς ἀῤῥήτως ἀστράψασα, τὸ φωτίσαν τοὺς ἐν σκότει τῆς πλάνης.

Χαῖρε τῶν ἀθλητῶν λαμπρότατον στεφάνωμα, ἁγνὴ Παρθενομῆτορ· Χαῖρε Κυρίου θρόνε· Χαῖρε πάντιμε ὑπερδεδοξασμένη· Χαῖρε σκιὰν τοῦ νόμου ἡ παύσασα, ὡς τέξασα τὸν τοῦ νόμου δοτῆρα.

Χαῖρε ἁγνὴ τὸν ἥλιον εἰσάξασα, τοῖς ἐν σκότει κειμένοις· χαῖρε τεῖχος καὶ σκέπη, τῶν εἰς σὲ προστρεχόντων ἐκ καρδίας· Χαῖρε παρθένων τὸ ἔνθεον ἀγλάϊσμα· καὶ ὀρθοδόξων ἁπάντων προστασία.

Κινδύνων τῷ πελάγει νῦν κλυδωνιζόμενον, τὸν δοῦλόν σου παρθένε, καὶ συμφορῶν τῷ πλήθει, ῥιπιζόμενον, οἰκτείρησον καὶ σῶσον, τῶν οἰκτιρμῶν τέξασα, τὸ πέλαγος τὸ ἀμέτρητον Κόρη.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ.

Οὗ ἡ ἀκροστιχίς.

Θρηνεῖν τὸ κέρδος τοῦ βίου καθ' ἡμέραν.

Ὠδὴ, α'. ἦχος γ'. Χέρσον ἀβυσσοτόκον.

ΘΛΙΨΕΣΙ προσπαλαίειν ἐν βίῳ κάλλιστον, εἰς ὠφέλειαν ψυχῆς· διὰ τοῦτο Θεοτόκε, οἱ ἐν θλίψεσιν ὄντες, ἀεί σε βοηθὸν καλοῦμεν, ἀκαταπαύστως κράζοντες· Δέσποινα μὴ παρίδῃς, τὴν δέησιν τῶν δούλων σου.

Ῥίζα κακῶν ἁπάντων, ἐν βίῳ πέφυκεν, ἡ φιλάργυρος σπουδή· ἧς τὸ κέρδος ἀπεδείχθη, τοῦ Ἰούδα ἀγχόνη· διὸ οἱ τῷ Χριστῷ δουλεύειν, εἰλικρινῶς βουλόμενοι, ῥίψωμεν ταύτην πόῤῥω, διὰ τῆς Θεομήτορος.

Ἥλιος ὡς ἐν πόλῳ ἄλλος δέδεικται, ἡ ἀκτήμων βιωτὴ, ἀρετῶν κατακοσμοῦσα τὸν πολύμορφον κύκλον· διὸ οἱ τῶν παθῶν τῷ σκότει, ἀεὶ συμποδιζόμενοι, ταύτης τῇ φωταυγίᾳ, πρὸς τὴν Παρθένον δράμωμεν.

Νῦν με ψυχοφθόρων ζάλη κατέλαβε, καὶ ἀτόπων λογισμῶν, καὶ πρὸς βάραθρον καθέλκει, καὶ βυθὸν ἀπωλείας· σὺ οὖν γενοῦ μοι κυβερνήτις, καὶ πρὸς λιμένα ἴθυνον, θεῖόν με Παναγία, καὶ μακαρίαν εὔκλειαν.

Ωδὴ, γ'. Τὸ στερέωμα.

Ἐλιπάνθημεν, ταῖς ἡδοναῖς ταῖς τοῦ βίου, πανύμνητε πάθεσιν οἱ παχυνθέντες, καὶ Θεοῦ τὰς ἐντολὰς κατελίπομεν.

Ἰσχυρώτατον, τῆς βασκανίας τὸ πάθος, ἁπτόμενον ἄχραντε καὶ τῶν ἀρίστων, οὗ ῥυσθῆναι δυσωπῶ ταῖς πρεσβείαις σου.

Νηπιόφρονες, οἱ διὰ δόξαν ματαίαν, τὴν ἄσκησιν ἄχραντε πεποιημένοι· ὧν μερίδος διὰ σοῦ λυτρωθείημεν.

Τὸν ἐλπίζοντα, καὶ καταφεύγοντα πίστει, πρὸς σὲ θεονύμφευτε μὴ ὑπερίδῃς· ἀλλὰ σῶσόν με τὸν δοῦλόν σου δέομαι.

Ωδὴ, δ'. Ἐκάλυψεν οὐρανούς.

Ὁράσει με ὁ Σατᾶν, ἐν Παραδείσῳ ποτὲ, θεογεννῆτορ εἷλεν ὡς αἰχμάλωτον Παρθένε. Καὶ νῦν δὲ τῇ ὁράσει πειρᾶται ἄχραντε, συλῆσαι τὸ θεῖον τῆς ἁγνείας ἔνδυμα, καὶ ἐπενδῦσαι χιτῶνα, τὸν τῆς ἁμαρτίας με.

Κατέπηξεν ὁ ἐχθρὸς, ἐν πάσῃ τῇ αἰσθήσει μου, τὰς μαγγανείας ἑαυτοῦ Παρθένε Θεοτόκε, καὶ δι' αὐτῶν καθέλκει με Κόρη εἰς θάνατον· ἡ μόνη τετοκυῖα τὸν λόγον, τὸ μέγα κῆτος χειρωσάμενον, ἐκ τῶν αὐτοῦ πολυπλόκων δικτύων ῥῦσαί με.

Ἐγκάθηται ἐφ' ὁδοῦ, σαρκὸς ἐν τοῖς κινήμασιν, ὄφις ὁ δόλιος ἐχθρὸς, καὶ ἐπιβάτῃ νῷ προσεπιτίθεται, κεντῶν ἀπροσδοκήτως Παρθένε, τῷ κέντρῳ τῶν παθῶν, καὶ θάνατον τὸν ψυχικόν μοι προσάγει· διὸ βοήθει μοι.

Ῥομφαίᾳ με ἡδονῆς, καταβαλεῖν φθονερῶς, ἐπιζητοῦσιν οἱ ἐχθροί· ἔτειναν γάρ μοι τόξον, ψυχοφθόρον αὐτῶν, καὶ ἐν αὐτῷ ἡτοίμασαν σκεύη θανάτου· ἐν σιδηρᾷ ῥάβδῳ σου, οὓς κεραμέως ὡς σκεύη, σύντριψον Δέσποινα.

Ωδὴ, ε'. Ὡς εἶδεν Ἡσαΐας.

Δολίως με τῷ λείῳ τῆς ἡδονῆς, ὁ δόλιος ἠγκίστρευσε καὶ ἰχθῦν, ὡς ἄφωνον ἐσαγήνευσεν· ἀλλ' ἔχων φρουρόν σε ἁγνὴ, τῶν ἀρκύων καὶ δικτύων τῶν αὐτοῦ, ἐν τάχει ῥυσθῆναι, ὁ οἰκέτης σου δέομαι.

Ὁ μέγας ἐν ἰσχύϊ Θεὸς, καὶ ἐν ἐλέει πλούσιος ἁγνὴ, ὁ δι' οἶκτον σάρκα προσλαβόμενος, κράζει μετανοεῖτε, ὑμεῖς καὶ κληροῦσθε τὴν οὐράνιον ζωήν· ἐγὼ δὲ τοῦ βίου, ταῖς ἡδοναῖς συμφύρομαι.

Συνήφθη τοῖς Ἀγγέλοις ἀγαθὴ, ἡ τῶν ἀνθρώπων φύσις ἐν σοί· ὅθεν πολιτείαν ζηλοῦσιν ἄθρωποι, Ἀγγέλων ἐν παρθενίᾳ, καὶ ἁγνότητι βιοῦντες ἐπὶ γῆς· ὧν περ τῆς μερίδος, ἀξίωσόν με Δέσποινα.

Τὸ ἄτονον ἐπίστασαι τῆς σαρκὸς, ψυχῆς τε τὴν ὀδύνην ἁγνή· καὶ τὸ τοῦ νοός μου σαθρὸν καὶ ἄστατον, Παρθένε ἐλέους διὸ, καταξίωσον καὶ χάριτος τῆς σῆς, ἵνα σε δοξάζω, σωζόμενος τῇ σκέπῃ σου

Ωδὴ, ς'. Ἐβόησέ σοι.

Οὐδόλως φρίττω, οὐδόλως τρέμω, τὴν μυστηρίων μετάληψιν· διὰ τοῦτο Κόρη, ἀσθενῶ συ-

νεχῶς ἁμαρτάνων.

Ὑγρὸν τὸν βίον, ὑλώδη τρόπον, Θεοκυῆτορ μετέρχομαι· διὰ τοῦτο ξένος, τῶν Χριστοῦ εἰμι χαρισμάτων.

Βιοῦν οὐ θέλω, ἐστενωμένως, τῶν μοναχῶν νόμοις Δέσποινα, καὶ πλατεῖαν τρέχων, εἰς ὁδόν εἰμι ἀπωλείας.

Ἰσχύς μου πᾶσα, καὶ ἡ ἐλπίς μου, φῶς καὶ ζωὴ καὶ παράκλησις, σὺ ὑπάρχεις Κόρη· διὰ τοῦτο εἰς σὲ προσφεύγω.

Κάθισμα. Ἡ Παρθένος σήμερον.

Ἐκ θερμῆς σοι πίστεως, ἀναβοῶ Θεοτόκε, ἀναξίῳ στόματι, καὶ ῥυπαρᾷ τῇ καρδίᾳ· σῶσόν με βεβυθισμένον ταῖς ἁμαρτίαις· οἴκτειρον τῇ ἀπογνώσει θανατωθέντα· ἵνα κράζω σεσωσμένος· χαῖρε Παρθένε Χριστιανῶν τὸ καύχημα.

Ὠδὴ, ζ', Σὲ τὸν ἐν πυρί.

Ὅταν ἐννοήσω πάναγνε, τὸ βῆμα τὸ ἀδέκαστον, καὶ λογίσωμαι τὰς πράξεις τὰς ἀτόπους μου, ἐμαυτὸν ἀπελπίζω· ἀλλὰ σύ μου τὸν γνόφον καὶ ἀθυμίας τὴν ἀχλὺν, μακρὰν ἀπόῤῥιψον.

Ὕπνου ῥαθυμίας ἄχραντε, καὶ ἀκηδίας ἐκλύσεως, ἐκ βρωμάτων ἀκρασίας συμβαινόντων μοι, τὴν διόρθωσιν δίδου καὶ ψυχῆς ἐγρηγόρσει, καὶ κατανύξεως φωτί με καταλάμπρυνον.

Κλαίω καὶ θρηνῶ καὶ δέδοικα, τῶν πειρασμῶν τὴν κάμινον, ὑψουμένην κατ' ἐμοῦ ὁρῶν ὁ ἄθλιος· ἀλλ' ἀπόσβεσον ταύτην. Παναγία Παρθένε, τοῦ ἐλέους δροσισμῷ, τῆς εὐσπλαγχνίας ὡς πηγή·

Ἄπειρος πταισμάτων ζάλη με, κατέλαβε τὸν δείλαιον, καὶ πρὸς χάος ἀπωλείας ἕλκει πάναγνε, κυβερνήτην τεκοῦσα, Θεομῆτορ Παρθένε, πρὸς ἀπαθείας τὸν λιμένα με καθόρμισον.

Ὠδὴ, η'. Ἀστέκτῳ πυρί.

Θρηνῶν ὁ Δαβὶδ Θεομῆτορ, φόνον καὶ μοιχείαν, ἐμελῴδει ἐλέησόν με, ὁ Θεὸς ὁ Θεός μου· ἐγὼ δὲ μυρίαις ὑπεύθυνος ἁμαρτίαις, πῶς εὕρω συγχώρησιν; εἰ μὴ σαῖς πρεσβείαις, αὐτῷ ἱλεωθείην.

Ἡμέραν ἀεὶ ἐξ ἡμέρας, τρέφομαι ματαίαις Θεοτόκε ταῖς ἐλπίσιν, ἐκζητῶν τοῦ μετανοῆσαι· πάλιν συνηθείᾳ δὲ κεχρημένος, τρέχω ὥσπερ κύων εἰς ἐξέραμα, πρὸς τὴν δυσωδίαν, παθῶν τῶν ἀκαθάρτων.

Μετάνοια βίου δευτέρου, τίθησι συνθήκας ἐν Κυρίῳ Θεομῆτορ, καὶ ἀνίστησι τοὺς πεσόντας· τὸ πένθος καθαίρει, καὶ παριστάνει τούτους φωτεινοὺς τῷ πλάσαντι· μεθ' ὧν καὶ ταττοίμην, ἐγὼ ὁ σὸς οἰκέτης.

Ἐπλήσθη κακῶν ἡ ψυχή μου· ἤγγισε τῷ ᾅδῃ ἡ ζωή μου ἐλογίσθην, ὡσεὶ ἄνθρωπος τοῖς ἐχθροῖς μου, μόνος ἀβοήθητος· ἀλλὰ δεῖξον κόσμου κραταιὰ ἀντίληψις, ὡς ἀβοηθήτων βοήθεια ὑπάρχεις.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογῇ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε πάντα.

Ὠδὴ, θ΄. Ἐν νόμῳ σκιᾷ.

Ῥοήν μοι δακρύων δώρησαι, Παρθενομῆτορ τῷ ἐμπαθεῖ, καὶ λύπην τῆς καρδίας, καὶ στεναγμὸν καὶ πένθος ψυχικόν· ὅπως πενθήσω τὸν νοῦν μου, τὸν νεκρωθέντα κακῶς, καὶ σπλαγχνισθεὶς ὁ υἱός σου, ἐγείρῃ τοῦτον ὡς Λάζαρον.

Ἁγνὴ παναγία Δέσποινα, ἡ τέξασα Χριστὸν ἐν σαρκὶ, τὸν ἕνα τῆς Τριάδος, τὸν γυμνὸν ἁπάσης ἀρετῆς, τῶν ἀρετῶν τῇ Τριάδι, ταύτῃ με πλούτισον, φόβῳ Θεοῦ κατανύξει, ταπεινώσει τε φρουροῦσῃ με.

Νεκρῶσαι σαρκὸς τὸ φρόνημα, πᾶς λόγος θεηγόρος φησιν· ἐν τούτῳ γὰρ ζωοῦται ἡ ψυχὴ, καὶ τρέχει πρὸς Θεὸν, καὶ τῶν σκηνῶν ἐπιβαίνει τῶν οὐρανίων μονῶν· ὧν με τυχεῖν ἐκδυσώπει, τὸν υἱόν σου Θεονύμφευτε.

Νυκτὶ τῶν παθῶν σκοτούμενον, καταύγασόν με Δέσποινα, ἡμέρα ἀπαθείας· ἐκ νυκτὸς ὀρθρίζει γὰρ πρὸς σὲ, ἐν συντριβῇ τῆς καρδίας ἁγνὴ τὸ πνεῦμά μου· διότι φῶς ἐπὶ τῆς γῆς, ἐξανέτειλας τὸν Κύριον.

Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Χαῖρε τῶν Προφητῶν, τῶν θείων ἁγνὴ καύχημα· Χαῖρε παστὰς Κυρίου· Χαῖρε νεφέλη κούφη· Χαῖρε ἄχραντε Μῆτερ εὐλογημένη· Χαῖρε χαρὰ κόσμου καὶ ἀντίληψις· Χαῖρε ὁ νῖκος ὀρθοδόξων Ἀνάκτων.

Χαῖρε τῶν Ἀποστόλων, Κόρη τὸ κραταίωμα· Χαῖρε χρυσῆ λυχνία, καὶ μαναδόχε στάμνε· Χαῖρε ἄνθος τὸ τῆς πίστεως Παρθένε· Χαῖρε τὸ φῶς ἀῤῥήτως κυήσασα· Χαῖρε θρόνε πύρινε τοῦ ὑψίστου.

Χαῖρε σκηνὴ ἁγία· Χαῖρε τράπεζα, καὶ γέφυρα καὶ κλίμαξ· Χαῖρε ὄρος Κυρίου, ἀλατόμητον Παρθένε· Χαῖρε στέλεχος ἱερώτατον καὶ ἄφθαρτον· Χαῖρε Μήτηρ Κυρίου.

Χαρᾶς μου τὴν καρδίαν, πλῆσον χαροπάροχε, καὶ θείας εὐφροσύνης· ὅπως ἀεὶ δοξάζω, τὴν σὴν Δέσποινα βεβαίαν προστασίαν, ὅτι οὐκ ἔχω ἄχραντε ὁ δοῦλός σου, πλὴν σοῦ ἄλλην ἐλπίδα.

# ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Οὗ ἡ ἀκροστιχίς.

Τρίτη δέησις τῇ πανευκλεεῖ Κόρῃ Φωτίου.

Ωδὴ, α΄. ἦχος γ΄. Ὁ τὰ ὕδατα πάλαι.

ΤΟΝ ἐν σοὶ ἀποῤῥήτως, Παρθενομῆτορ σκηνώσαντα, Θεὸν λόγον δυσώπει, τῶν παθῶν ῥύσασθαι τῆς ἀτιμίας με, καὶ δοῦναι κατάνυξιν, τῇ ταπεινῇ μου καρδίᾳ, καὶ τῶν ὀφλημάτων μου τὸν ἱλασμὸν παρασχεῖν.

Ῥυπωθεῖσαν ἐξ ἔργων, ἀτοπωτάτων πανάχραντε, τὴν ἀθλίαν ψυχήν μου, ῥυπτικοῖς νάμασι τῆς εὐσπλαγχνίας σου, ταύτην ἀποκάθαρον, ναὸν αὐτὴν τοῦ ἁγίου, καὶ πανσέπτου Πνεύματος ἀποτελοῦσα φαιδρόν.

Ἱλαστήριον θεῖον, Θεοτόκε Παρθένε, ἐν αὐτῇ ἅπαντες πιστῶς προστρέχομεν, καὶ λύσιν εὑρίσκομεν τῶν χαλεπῶν ἐγκλημάτων, καὶ διασωζόμεθα ἀπὸ παντοίων κακῶν.

Τὴν Παρθένον Μαρίαν, ὦ ψυχή μου τὴν ἔχουσαν, οἰκτιρμοὺς ἀμετρήτους, καὶ βροτοὺς σώζουσαν ἀπὸ ποικίλων κακῶν, εὑροῦσα προστάτιν σου, πρόσπεσον ταύτῃ βοῶσα, Δέσποινα πανάχραντε σπεῦσον βοήθει μοι.

Ωδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων.

Η ἀνωτέρα τῶν οὐρανίων νοῶν, ἡ πάντων δεσπόζουσα τῶν ποιημάτων ἄχραντε, σὺ γενοῦ προστάτις μου, ἐν ὥρᾳ δίκης φρικτῆς Θεογεννῆτορ.

Διὰ παντός σοι ἐκ βάθους μου τῆς ψυχῆς, κραυγάζω θεόνυμφε καὶ ἐπικαλοῦμαί σε· μὴ οὖν ἀποῤῥίψῃς με, ἀπὸ προσώπου τοῦ σοῦ κατῃσχυμένον.

Ελέησόν με ἐλέησόν με ἁγνὴ, βοῶ σοι σὺν δάκρυσιν ἀεὶ καὶ προσπίπτω σοι τῶν παραπτωμάτων μου, λαβεῖν τὴν ἄφεσιν, δυσώπει πρὸ τοῦ τέλους.

Η θεία πύλη τοῦ βασιλέως Χριστοῦ, δι' ἧς διῆλθε, καὶ κόσμῳ πεφανέρωται· πύλας μοι διάνοιξον, τῆς κατανύξεως ἁγνὴ καὶ μετανοίας.

Ωδὴ, δ΄. Ἔθου πρὸς ἡμᾶς.

Στήριξον ἡμᾶς, κλονουμένους αὔραις τῶν θλίψεων, καὶ τῶν ἀναγκῶν καὶ πειρασμῶν, ἐπὶ τῇ πέτρᾳ τῆς σωτηρίας ἁγνὴ, πᾶσαν ἀποτρέπουσα, καθ' ἡμῶν βλάβην, τοῦ δολίου δράκοντος.

Ἵλεων ἡμῖν τὸν σωτῆρα πάντων καὶ Κύριον, Δέσποινα τοῦ Κόσμου ἀγαθή, καὶ εὐμενῆ τοῖς δούλοις σου ποίησον, ταῖς σαῖς παρακλήσεσι, καὶ ἱκεσίαις καὶ θερμαῖς δεήσεσιν.

Σύμμαχος ἡμῖν, καὶ προστάτις φάνηθι Δέσποινα, θραύουσα πολέμους πονηρούς, τῶν νοητῶν ἐχθρῶν καὶ φυλάττουσα, ἀτρώτους καὶ σκέπουσα, ἡμᾶς ἐκ πάσης βλάβης καὶ κακώσεως.

Τάχυνον ἁγνή, εἰς τὸ βοηθῆσαι καὶ ῥύσασθαι, πάντας τοὺς προστρέχοντας εἰς σέ, ἀποφιμοῦσα γλώσσας δολίων ἀνδρῶν, καὶ ἡμῖν παρέχουσα, τῆς σωτηρίας τῆς σῆς τὴν ἀσφάλειαν.

Ὠδὴ, ε΄. Πρὸς σὲ ὀρθρίζω.

Παῦσον τὸν πόνον, τῆς ταλαιπώρου μου ψυχῆς, καὶ τὰς ὀδύνας τοῦ σώματός μου πάσας, ἡ τὸν ψυχῶν ἰατρὸν τεκοῦσα, σωμάτων τε πανάμωμε.

Ἁμαρτημάτων, νύξ με συνέχει ἀγαθή, καὶ ἡδονῶν ὁμίχλη με καλύπτει· τῷ φωτισμῷ τῆς σῆς πρεσβείας, Παρθένε καταλάμπρυνον.

Νάμασι θείοις, τῶν πρεσβειῶν σου Μαριάμ, τὴν ἐκτακεῖσαν τῷ καύσωνι ψυχήν μου, τῶν χαλεπῶν καὶ δεινῶν πταισμάτων, ἐπόμβρησον καὶ σῶσόν με.

Ἐν σοὶ προστρέχω· μή με ἀπώσῃ ἀγαθή, μὴ δὲ παρίδῃς, μηδὲ ἐξουδενώσῃς· ἀλλ' εὐμενῶς τῆς σῆς βοηθείας, τὴν χάριν μοι κατάπεμψον.

Ὠδὴ, ς΄. Ἄβυσσος ἐσχάτη.

Ὕπνος με κατέλαβεν ὁ δεινός, τῆς ἀμελείας καὶ συνωθεῖ πρὸς θάνατον, ἀπωλείας Δέσποινα· αὐτή με διανάστησον πρὸς μετάνοιαν, καὶ σωτηρίαν δώρησαι.

Κύματα τῶν ἐμπαθῶν λογισμῶν, διηνεκῶς με συνταράττουσιν ἄχραντε, πονηρῶν πνευμάτων τε, καταιγίδες βυθίζουσιν· ἀλλὰ στήριξον ἀπαθείας ἐν πέτρᾳ με.

Λάμπρυνον τῷ φέγγει σου ἀγαθή, τὰ σκοτισθέντα τῆς καρδίας μου ὄμματα, λογισμῶν συγχύσεσι· καὶ φωτὸς υἱὸν ποίησον· καὶ ἐν τόπῳ με φωτεινῷ κατασκήνωσον.

Ἔχουσα συμπάθειαν δαψιλῆ, καὶ εὐσπλαγχνίαν Θεοτόκε ἀμέτρητον, ταύτην εἰς τὸν δοῦλόν σου, τὸν σὲ ἐπικαλούμενον νῦν ἐπίχεε, πλουσίαν καὶ σῶσόν με.

Κάθισμα. Θείας πίστεως.

Παραμύθιον, τῶν θλιβομένων, ἱλαστήριον, ἁμαρτανόντων, σὺ ἀνεδείχθης Μητροπάρθενε Δέσποινα· τὴν γὰρ βροτῶν σωτηρίαν γεννήσασα, πύργος ἰσχύος πιστοῖς μόνη γέγονας, ὅθεν κράζομεν· Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ, ζ΄. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

Ἐβλάστησας ἐν γαστρί, τὸν στάχυν τὸν ἔνθεον, παναληθῶς Δέσποινα ἁγνή, καὶ τοῦτον ἐκύησας, πάντων εἰς βροτῶν σωτηρίαν ἅπασαν, ψυχὴν τῆς αὐτοῦ χάριτος, ἐμπιπλῶντα καὶ σῴζοντα.

Ἰλύος τῆς τῶν παθῶν, καὶ βυθοῦ τῶν θλίψεων, καὶ πειρασμῶν τῶν βιωτικῶν, ἕλκυσον ἡμᾶς πρὸς ἀπάθειαν ἁγνή, καὶ χαρὰν εὐφρόσυνον, εὐλογημένος κράζοντας, ὁ καρπὸς τῆς

κοιλίας σου.

Κοιλάδων τῶν κοσμικῶν, ὡς κρῖνον ἐν μέσῳ σε, καὶ ἀκανθῶν τῶν βιωτικῶν, ὡς κοκκοβαφές, ῥόδον εὔοσμον ἀνθοῦν, ὁ Θεὸς εὑράμενος, ἐν σοὶ σαφῶς ἐσκήνωσε, καὶ ἡμᾶς ἁγνὴ εὐώδιασεν.

Ο πύλην σε μυστικὴν, οἰκείαν προθέμενος, καὶ ἐπιστὰς ξένως τοῖς ἐν γῇ, διὰ σοῦ ἁγνὴ θύραν δέδωκε βροτοῖς, πρὸς ζωὴν εἰσάγουσαν, τὴν αἰωνίαν ἅπαντας, ὡς οἰκτίρμων καὶ τῶν ὅλων Θεός.

Ωδὴ, η'. Τὸν συμβολικῶς.

Ῥῦσαί με Πανύμνητε πρεσβείαις ταῖς σαῖς, ἐκ πάσης κακώσεως, καὶ δυσχερείας βιωτικῆς, καὶ τὴν σήν μοι παράσχου σκέπην τὴν σωτήριον.

Η φωταγωγὸς τῶν ἐν σκότει Μαρία σεμνὴ, τὰ ὄμματα φώτισον, τὰ τῆς ψυχῆς μου δέομαι, τῶν παθῶν μου τὸν ζόφον, φωτί σου σκεδάζουσα.

Φύλαξον ἡμᾶς ἐπηρείας ἐχθρῶν ἀσινεῖς, τοὺς πίστει τὸ ὄνομα, τὸ σὸν προσκαλουμένους σεμνὴ, γλωσσαλγίας τὰς τούτων φιμοῦσα καὶ τὰ στόματα.

Ως τὸν Ποιητὴν τῶν ἁπάντων τεκοῦσα σαρκὶ, ἰσχύεις καὶ δύνασαι, ὅσα θέλεις πανάχραντε· διὸ μελλούσης ἡμᾶς ῥῦσαι κατακρίσεως.

Ὁ Εἱρμός.

Τὸν συμβολικῶς ἐν εἴδει Ἀγγέλου, καταβάντα Θεὸν, καὶ τὴν φλόγα τινάξαντα ἐκ μέσου τῆς καμίνου, εὐλογεῖτε τὰ ἔργα, ὡς Κτίστην καὶ Κύριον.

Ωδὴ, θ'. Ἐν νόμῳ σκιᾷ.

Τοὺς νόμους τοὺς σοὺς ἠθέτησα, καὶ τὰς σωτηρίους ἐντολὰς παρέβην σου οἰκτίρμον· καὶ πτοοῦμαί σου τὸ φοβερὸν βῆμα, ἐν ᾧπερ καθίσας κρινεῖς τὰ σύμπαντα· διὸ βοῶ δωρεάν με σῶσον Λόγε, τῆς Μητρὸς δεήσεσιν.

Ἰσχύς μου ἐλπὶς καὶ ὕμνησις, κράτος καὶ σωτηρία μου Θεόνυμφε Μαρία, ὁρατῶν με λύτρωσαι ἐχθρῶν, καὶ δυσμενῶν ἀοράτων, ἐπιζητούντων με θηριωδῶς διασπᾶσαι, καὶ εἰς τέλος ἀπολέσαι με.

Ο βίος μου ὅλος ἄχραντε, ῥαθύμως ἐκτετέλεσται καὶ ἤγγισα τῷ ᾅδῃ, νῦν τῆς ἀπογνώσεως ἁγνή· ἀλλὰ διόρθωσιν δίδου, καὶ μὴ ἐάσῃς με ἐν τῇ τοιαύτῃ κακώσει, τὸν προσφεύγοντα τῇ σκέπῃ σου.

Υἱὸν τοῦ Θεοῦ γεννήσασα, καὶ πάντων οὖσα Δέσποινα, Παρθένε Παναγία, τὴν ἐμὴν ἐλέησον ψυχὴν, καὶ ἐν ἡμέρᾳ τῆς δίκης, καταδίκης ῥῦσαί με, καὶ μὴ ἐάσῃς βασάνοις, τῆς γεέννης ὑπαχθῆναί με.

Προσόμοια. Ὁ τῷ πάθει σου Χριστέ.

Χαῖρε ἡ λύσις τῆς ἀρᾶς, καὶ χαρᾶς ἡ ἀνάβλυσις· Χαῖρε δι' ἧς Ἀγγέλοις συνήφθημεν· Χαῖρε Μήτηρ ἄχραντε· Χαῖρε τῶν πιστῶν, ἡ θερμὴ καὶ βεβαία ἀντίληψις.

Χαῖρε καύχημα λαμπρὸν, καὶ τῆς πίστεως ἔγερσις· Χαῖρε δι' ἧς δεσμῶν ἀπελύθημεν.

οἱ πάλαι κρατούμενοι, ζόφῳ ἀγνωσίας ἁγνή, καὶ βυθῷ παραπτώσεων.

Χαῖρε ὁ πόκος Γεδεών. Χαῖρε Θεοῦ τὸ ἀνάκτορον· Χαῖρε βότρυν νοητὸν ἡ βλαστήσασα· Χαῖρε κόσμου Δέσποινα· Χαῖρε ὀρθοδόξων, τὸ στήριγμα καὶ καύχημα.

Ὅτι πλήθει συμφορῶν, καὶ πταισμάτων συνέχομαι, ὑπὸ τὴν σὴν προσπίπτω ὁ δύστηνος, Δέσποινα ἀντίληψιν, μή με τοῦ λοιποῦ, τὴν πλουσίαν σου στερήσῃς βοήθειαν.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ

Ὠδή, α΄. ἦχος γ΄. Χέρσον ἀβυσσοτόκον.

ΥΨΟΥΣ ἀπολισθήσας βίου κρείττονος, καὶ ἀμείνονος ζωῆς, εἰς κατώτατον τοῦ ᾅδου, κατηνέχθην χωρίον· ἀρχῆς δὲ πάσης καὶ ἐξουσίας, διὰ σοῦ πάλιν γέγονα, Δέσποινα ὑπεράνω, τεκούσης τὸν Σωτῆρά μου.

Ἤνοικται ἡ κλεισθεῖσα πύλη Δέσποινα, Παραδείσου τῆς Ἐδέμ, διὰ σοῦ τῆς θείας πύλης τῆς ἐμψύχου καὶ ζώσης· ἣν μόνος ὁ Θεὸς διῆλθε, καὶ κεκλεισμένην ἔλιπεν· ὅθεν ἐκδυσωπῶ σε, πύλην ζωῆς μοι ἄνοιξον.

Πνεύματος παναγίου σκεῦος ἅγιον, καὶ δοχεῖον ἱερόν· Θεοτόκε τὴν ψυχήν μου, πονηρῶν γεγονυῖαν, πνευμάτων κατοικητήριον, ἁγία καθαγίασον, Πνεῦμά μου τοῖς ἐγκάτοις, εὐθὲς νῦν ἐγκαινίζουσα.

Ὄρθρῳ τῆς μετανοίας σκότος λύσασα, καὶ τὴν νύκτα τῶν παθῶν, τὴν ἐν ζόφῳ τῆς ἀγνοίας, κοιμωμένην ψυχήν μου, ὀρθρίσαι καὶ φωταγωγηθῆναι, φωτὶ τῆς θείας γνώσεως, ἔγειρον Θεοτόκε, τῇ φωταυγεῖ πρεσβείᾳ σου.

Ὠδή, γ΄. Τὸ στερέωμα.

Γένος γήϊνον, διὰ τῆς σῆς μεσιτείας, οὐράνιον γέγονε Θεογεννῆτορ· διὸ γῆς με, καὶ τῶν γηΐνων λύτρωσαι.

Ἐπληθύνθησαν, ὑπὲρ τὰς τῆς κεφαλῆς μου, πανάχραντε Δέσποινα τρίχας τὰ πλήθη, τῶν κακῶν μου, ἀλλὰ σύ με διάσωσον.

Ἐκ νεότητος καταφρονήσας τῶν θείων, τοῦ τόκου σου Δέσποινα παραγγελμάτων, ἀτιμίας εἰς τὰ πάθη ὠλίσθησα.

Νῦν εἰσάκουσον, τοῦ στεναγμοῦ τῆς φωνῆς μου, καὶ δώρησαι Πνεῦμά μοι συντετριμμένον, καὶ καρδίαν ταπεινὴν ἀπειρόγαμε.

Ωδή, δ'. Ἐκάλυψεν οὐρανούς.

Ὡς ἔμψυχος καὶ ζῶσα λογικὴ κιβωτός, εὐλογημένη Μαριὰμ τὸν νομοδότην λόγον, ὥσπερ Νῶε χωρεῖς, κατακλυσμοῦ λυτρούμενον πλάνης τὸν κόσμον, καὶ ἀρχηγὸν δεικνύμενον, ἑτέρου κόσμου δευτέρου καὶ βίου κρείττονος.

Τιμῶμέν σε τὸ χρυσοῦν, θυμιατήριον ἐν ᾧ, ὁ λόγος τοῦ Πατρὸς ἀνάψας, παναγίαν σάρκα, τὴν οἰκουμένην ἔπλησε, θείας εὐώδους ὀσμῆς καὶ καθηγίασε, τὸν μολυνθέντα ἀέρα, κνίσσῃ σπονδῶν ἐναγῶν Θεομακάριστε.

Ἰάσεως πᾶσι δρόσον ἀποστάζεις ἁγνή· τῶν ἰαμάτων ὡς πηγὴ καὶ σωτηρίου κρήνη, καὶ Θεοῦ ποταμὸς πεπληρωμένος ὑδάτων θείων, αὔλων ψυχοτρόφων καὶ ζωοποιῶν· ὅθεν κἀμὲ δυσωπῶ σε νοσοῦντα ἴασαι.

Ἡ πάναγνος ἀληθῶς καὶ πάντων Δέσποινα, ἡ τὸν Δεσπότην τοῦ παντὸς ἀνερμηνεύτῳ λόγῳ, συλλαβοῦσα Χριστόν, τῆς δεσποτείας τοῦ τυραννοῦντος, δραπέτου δεσπότου κοσμοκράτορος, λυτρωσαμένη με δεῖξον, δοῦλόν σου γνήσιον.

Ωδή, ε'. Ὡς εἶδεν Ἡσαΐας.

Τὴν θείαν μυροθήκην τοῦ ἀθανάτου Μύρου· τὴν ἁγίαν πηγήν, τοῦ ζωοποιοῦντος καὶ ζῶντος ὕδατος· τὴν πύλην τῆς σωτηρίας· τὸν Παράδεισον Θεοῦ τὸν λογικόν, τὴν ἔμψυχον Πόλιν, Χριστοῦ τοῦ βασιλέως ὑμνῶ.

Νοΐ κεκαθαρμένῳ διαπαντός, ὁρᾶν καὶ ἐνοπτρίζεσθαι, σὲ τὸ ἀγαλλίαμα τῆς καρδίας μου, Παρθένε ἰσχὺν μοι δίδου, καὶ τῷ σῷ περιαυγάζεσθαι φωτί, καὶ τῆς εὐωδίας, τῆς σῆς ἀντιλαμβάνεσθαι.

Γνησίας μετανοίας· ἐνδιαθέτου πένθους καὶ κατανύξεως, μεριμνημένην χάριν παράσχου μοι· ἰδοὺ γὰρ ἀπεγνωσμένος, ὑπὸ πλήθους τῶν ἐμῶν ἁμαρτιῶν, ἁγία Παρθένε προστρέχω τῷ ἐλέει σου.

Ἡ δάμαλις, ἡ θεία ἡ τετοκυῖα, μόσχον σιτευτὸν ἐκλεκτόν· ἡ ἀμνὰς τὸν ἄρνα Χριστὸν ἡ τέξασα, προβάτοις τοῖς δεξιοῖς με συναρίθμησον, καὶ μάνδρας οὐρανῶν, καὶ τοῦ Παραδείσου, τῆς χλόης με ἀξίωσον.

Ωδή, ς'. Τοὺς εἰς τὰ τέλη.

Ναὸς καὶ πύλη καὶ λυχνία, κιβωτὸς καὶ καταπέτασμα· στάμνος καὶ ῥάβδος καὶ σκηνὴ γῆ ἁγία θεία τράπεζα, καὶ γέφυρα καὶ κλίμαξ· θρόνος παστὰς παλάτιον, τοῦ Θεοῦ ὤφθης Κόρη.

Καλήν σε Κόρην καὶ ὡραίαν, ὁ ὡραῖος κάλλει Κύριος, ὑπὲρ υἱοὺς τῶν γηγενῶν, εὑρηκὼς ἁγνὴ ἀνέτειλεν, ὡς ἥλιος ὡραῖος, ὡς ἐκ παστοῦ νυμφίος, τῆς σῆς ἀφθόρου νηδύος.

Ὁ θαυμαστὸς ἐν τοῖς ἁγίοις, ἐθαυμάστωσέ σε Δέσποινα, τὸ θαυμαστὸν ὡς ἀληθῶς, οὐρανοῦ καὶ γῆς μυστήριον· διό σου τὰ ἐλέη, νῦν ἐπ' ἐμοὶ θαυμάστωσον, δεομένῳ ἐλέους.

Ἡ ταπεινὴν βροτείαν φύσιν, ἀνυψώσασα καὶ πένητας, ἡ ἀνιστῶσα ἀπὸ γῆς, καὶ πτωχοὺς ἐξεγείρουσα, παθῶν ἀπὸ κοπρίας, ἐκ τοῦ χοὸς πανάμωμε, τῶν κακῶν ἔγειρόν με.

Κάθισμα. Θείας πίστεως.

Τεῖχος ἄῤῥηκτον· στεῤῥὰν κρηπῖδα· ὅρμον ἄκλυστον, γαληνιῶντα, κεκτημένοι σε Πανύμνητε Δέσποινα, οἱ ἐν πελάγει παθῶν χειμαζόμενοι, εἰς εὔδιον λιμένα τὴν σὴν ἀντίληψιν, προσφεύγοντες πιστῶς γαλήνης τύχοιμεν.

Ωδὴ, ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

Ἄστρον διὰ σοῦ ἀνέτειλεν, ἁγνὴ ἐξ Ἰακὼβ ὁ Χριστὸς, ὁ ποιήσας τὴν σελήνην καὶ τὸν ἥλιον, εἰς ἀρχὰς καὶ εἰς φαῦσιν, τῆς νυκτὸς καὶ ἡμέρας· ὃν ἐκδυσώπει τὴν ἐμὴν καταφωτίσαι ψυχήν.

Ὄρος Δανιὴλ προεῖδέ σε Παρθένε ἀλατόμητον, ἐξ οὗ λίθος Χριστὸς, ἄνευ χειρῶν τέτμηται· ἀλλὰ δέομαι ἆρον, τὸν βαρύτατον λίθον, τὸν τῆς πωρώσεως ταχὺ ἐκ τῆς καρδίας μου·

Ῥίζης Ἰεσσαὶ βλαστήσασα, στέλεχος ἱερώτατον, ἀφθαρσίαν τοῖς πιστοῖς ἐκαρποφόρησας, καὶ ζωῆς θείας ἄνθος, εὐλογίαν ἀνθῆσαν, ἀποξηράναν σαφῶς τὸ τῆς κατάρας φυτόν.

Ἤνεγκας ἁγνὴ ὡς ἄμπελος, βότρυν ζωῆς περκάζοντα, τὸν τὴν μέθην τῆς ἀπάτης ἀναστείλαντα, καὶ πηγάσαντα κόσμῳ ἐπιγνώσεως οἶνον· ὅν περ οἱ πίνοντες πιστοὶ σωφρονιζόμεθα.

Ωδὴ, η'. Ἀστέκτῳ πυρί.

Ἡ ἀεροβάμων νεφέλη, ἧς ὁ ἐποχούμενος νεφέλαις Θεὸς λόγος, ἐπιβὰς ὡς ἐπὶ νεφέλης κούφης καθεζόμενος, τῆς Αἰγύπτου πάλαι κατέβαλε ξόανα· σύντριψον Παρθένε τὰς στήλας τῶν παθῶν μου.

Ἡ θεία λαβὶς, ἡ τὸν θεῖον ἄνθρακα ἀῤῥήτως δεξαμένη, Θεοτόκε τῶν παθῶν μου πεπυρωμένους ἄνθρακας κατάσβεσον, Παναγία δρόσῳ σου τῶν παρακλήσεων· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Νυμφῶνος τερπνοῦ τῶν ἁγίων, καὶ οὐρανοπλόκου με ἀξίωσον παστάδος, ὁ νυμφὼν ὁ τῆς θείας δόξης, ἔνδυμα λαμπρόν με τῆς ἀπαθείας, Μῆτερ τοῦ Θεοῦ ἐνδύσασα, καὶ τῆς ἀφθαρσίας στολὴν περιβαλοῦσα.

Νύξ με ἀφεγγὴς περιέχει· ἔργοις γὰρ τοῦ σκότους ἐδουλώθην· ἀλλ' αὐτή με τῷ φωτί σου αὔγασον Κόρη, καὶ φώτισον ψάλλοντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε

Ωδὴ, θ'. Ἐν νόμῳ σκιᾷ.

Ἰδοὺ ἡ ἐμὴ ἀντίληψις· ἰδοὺ ἡ σωτηρία μου· ἰδοὺ ἡ προστασία τῆς ψυχῆς μου καὶ ἀγαλλίασις· ἰδοὺ ἡ καταφυγή μου· ἰδοὺ ἡ σκέπη μου σαφῶς, καὶ ἡ βεβαία μου ἐλπίς. ἡ Παρθένος τε καὶ Δέσποινα.

Ὡραίαν ψυχῇ καὶ σώματι, ὡραίαν Κόρη καὶ τῷ νοῒ εὑρών σε ὁ ὡραῖος· ἐκ λαγόνων σου παρθενικῶν ἐσωματώθη ὡς οἶδε, τὴν ἀμορφίαν μου ἁγνὴ καθωραΐζων ὡς Θεὸς, ὃν ἱκέτευε σωθῆναί με.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Νέον βρέφος Κόρη φέρουσα, ἀγκάλαις σου τὸν ἄναρχον, ὡς οὖσα πλατυτέρα οὐρανῶν· καὶ πάντων τῶν κτιστῶν ἁγιωτέρα Παρθένε· τοῦτον ἱκέτευε τοῦ λυτρωθῆναί με σεμνὴ, τῶν ἀμέτρων παραπτώσεων.

Σύ μου τὴν ζωὴν κυβέρνησον, καὶ τὴν καρδίαν πλήρωσον χαρᾶς· σὺ λῦσον τὰς ὀδύνας, τῶν ἀμέτρων Κόρη στεναγμῶν, καὶ τὴν πικρίαν μου πᾶσαν, τὴν τῆς ψυχῆς ἀγαθὴ, εἰς εὐφροσύνην ἀληθῆ, Παναγία μεταῤῥύθμισον.

Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Χαίροις ὑπεραγία Λόγον ἅγιον, ὑψίστου δεξαμένη, ἐν τῇ γαστρί σου Κόρη· χαῖρε κῦδος τίμιον τῶν ὀρθοδόξων· Χαῖρε ἀΰλων Ἀγγέλων εὐπρέπεια· Χαῖρε Θεόνυμφε, τὸ προσφύγιον πάντων.

Χαῖρε κάλλος πάγχρυσον καὶ πολυέραστον, τῆς οἰκουμένης πάσης, Μαρία Θεοτόκε· Χαῖρε θεία παράκλησις τῶν θλιβομένων· Χαῖρε τῶν ἀσθενούντων ἁγνὴ ἐπίσκεψις· Χαῖρε πυρίμορφε, τοῦ Κυρίου καθέδρα.

Χαῖρε στύλε παρθενίας ἀκλινέστατε· Χαῖρε παντευεργέτις, τῶν σὲ ὑμνολογούντων· Χαῖρε παλάτιον χρυσαυγὲς βασιλέως· Χαῖρε ὁ μέγας ἐν μικρῷ Κόσμος πάναγνε· Χαῖρε κεφάλαιον, τῆς ἡμῶν σωτηρίας.

Σὺ μόνη προστασία πέλεις ἀκαταίσχυντος, καὶ καύχημα Παρθένε, χριστιανῶν καὶ δόξα· σύ μου στέρησον τοὺς πόνους καὶ τὰ νέφη, τῶν συμφορῶν ἄχραντε, μετάστρεψον θυμηδίας εἰς φέγγος.

## ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΑΡΣΕΝΙΟΥ ΜΟΝΑΧΟΥ,

Οὗ ἡ ἀκροστιχίς.

Τρίτος Πάναγνε, ψαλμὸς ἐξ Ἀρσενίου.

Ὠδὴ α΄. ἦχος γ΄. Χέρσον ἀβυσσοτόκον.

ΤΟΝ ὄντως ὑπέρθεον Κόρη πάναγνε, τὸν βροτοὺς τοὺς λογικοὺς, μεταθέντα ἀλογίας, ἐπὶ λόγου τὴν χάριν, ἡ μόνη μητρικῶς τεκοῦσα Λόγον, λόγον δοθῆναί μοι, αἴτησε Θεομῆτορ, τοῦ μέλπειν καὶ δοξάζειν σε.

Ρωσθέντες οἱ ῥώσεως ψυχῶν ἄμοιροι τῇ εὐρώστῳ σου σεμνὴ, δυναστείᾳ ὡς πρὸς θεῖον, ἰατρὸν προσφευγότες, τὸ σὸν ἐπιζητοῦμεν σθένος, τοῦ τὸ σαθρὸν τῆς φύσεως, δύναμιν προσ-

λαβέσθαι ὑμνεῖν καὶ μακαρίζειν σε.

Ἰὸν τὸν πανώλεθρον ὃν πρὶν ἤμεσεν, ἐπὶ φύσιν τὴν ἡμῶν, ὁ εἰσδὺς ἐν παραδείσῳ, κακὸς σύμβουλος ὄφις, ἐν γλυκασμῷ σου θείῳ, Μήτηρ Θεοῦ καθάρασα, δοξάζειν σε καὶ χαίρειν, ἡμᾶς νῦν ἐνδυνάμωσον.

Τοῦ φύσει φυτοῦ ζωοποιοῦ Δέσποινα, θεωρίᾳ νοερᾷ παραδόξως νῦν τρυφῶντες σοῦ θερμῇ μεσιτείᾳ, οἱ πρὸς γῆν ἐκνενευκότες πάλαι, καὶ ξύλου βρώσει θνήξαντες, σὲ κατὰ χρέος πάντες, ἐν ὕμνοις μεγαλύνομεν.

Ὠδὴ, γ'. Τὸ στερέωμα.

Ὅνπερ ἄσυλον, ὡς θησαυρὸν Θεοτόκον, ἐν μήτρᾳ σου δέδεξαι Χριστὸν δυσώπει, τοῦ πλουτίσαι τοὺς πιστῶς εὐφημοῦντάς σε.

Σὺ στερέωμα, ὤφθης τὸ μέσον ὑδάτων, τὸν ἥλιον φέρουσα δικαιοσύνης, ὃν δυσώπει, φωτισθῆναι τοὺς δούλους σου.

Πάντων Δέσποινα, ἡ τὸν γλυκύτατον βότρυν, βλαστήσασα ἄμπελος παντὶ τῷ κόσμῳ, εὐφροσύνῃ σου φαιδρᾷ πάντας εὔφρανον.

Ἆρον πάναγνε, τὸν ἐκ κακίας ζυγόν μου, καὶ κούφισον πάνδεινον κλοιὸν πταισμάτων· ὅπως εὔθυμος ἀεὶ μακαρίζω σε.

Ὠδὴ, δ'. Ἐκάλυψεν οὐρανούς.

Νενίκηκας ἀρεταῖς, σεμνὴ τὰ σύμπαντα, τὸν οὐρανὸν μὲν καθαρμῷ, τὴν γῆν δὲ πᾶσαν, τῷ φρικτῷ ἁγνισμῷ· ὑπερβαίνεις καὶ θαλάσσας ἐν πλάτει· μὴ οὖν ἐλλίπῃς Δέσποινα, ὑπὲρ τῶν πάντων πρεσβεύειν, ἁγνὴ μητρόθεε.

Ἀνέθαλεν ἀληθῶς, ῥάβδος τὸ πρὶν Ἀαρὼν, συνανέθαλε ταύτῃ δὲ, καὶ Ἰεσσαὶ ἡ ῥάβδος, σὲ προτυποῦσαι ἁγνή· ἡ μὲν γὰρ ἐξ ἱερέων σε, ἡ δὲ σε εἶναι, ἐκ βασιλέων ἔδειξεν· ἡ οὖν ἐξ ἄμφω φυεῖσα σῶζε τοὺς ἅπαντας.

Γινώσκοντες πάγκαρπον ἄχραντε ἄρουραν, ἐν ἀσπερμάντῳ τῇ σπορᾷ, στάχυν βλαστήσασάν σε, τὸν τρέφοντα τὰ πάντα, καὶ φύσεως ἁπάσης τὸν πλάστην, Χριστὸν ἀρτοποιοῦσαν ἐν σπλάγχνοις, σὲ δυσωποῦμεν λιμοῦ νοητοῦ ἡμᾶς λύτρωσαι.

Νενόησαι τῆς Τριάδος πόλις ἔμψυχος· τοῦ ποταμοῦ γὰρ ἀγαθὴ, σὲ κατευφραίνει. Πνεύματος ὁρμήματα· πατὴρ δέ σε ὡς σκῆνος ἁγνίζει· καὶ μένει σου ὁ υἱὸς ἐν μέσῳ· ὅθεν ἡμᾶς ἀσαλεύτους, φρούρει τῇ σκέπῃ σου·

Ὠδὴ, ε'. Ὡ, εἶδεν Ἠσαΐας.

Ἐν φύσει τῇ ἀστέκτῳ ὁ ἐκ Πατρὸς, ἀκτίστως γεννηθεὶς υἱὸς, διὰ σοῦ ἀτρέπτως κτίζεται πάναγνε· ὢ θαῦμα! πῶς ἐν σῇ μήτρᾳ ἡ σοφία, οἶκον πλάττει ἑαυτῇ, ἡμᾶς δὲ συμπλάττει, καὶ εἰρήνην χαρίζεται.

Ψυχήν μου τὴν ἀχρεῖαν τὴν ἐν νοός, ὀδοῦσιν ὄμφακος βρώσει, ἁμαρτίας ἄγαν αἱμοδιάσασαν, σαῖς πρεσβείαις Μήτηρ Θεοῦ, πρὸς γλυκύτητα μετάγουσα ζωῆς, ἄρτῳ οὐρανίῳ, καὶ σῆς χάριτος ἔμπλησον.

Α πρὶν ἐπεθύμουν Ἄγγελοι ἰδεῖν, ὅπως φύσεως ὁ Κτίστης αὐτῶν, ἐλθὼν ἐπελάβετο· αὐτὴ νῦν ἰδοῦσα Παρθένε, καὶ σωματώσασα Θεὸν, Ἀγγέλων πρωτεύεις, καὶ ἡμῶν δόξα δέδειξαι.

Λαμπρύνεται τὰ πλήθη ἁμαρτωλῶν, ἐλπίδι σῇ ῥωννύμενα καὶ γὰρ, ἐν πᾶσι πέλεις ὡς ῥὼξ ἐν βότρυϊ· δι' ὅπερ μηδόλως ἐχθρῷ λυμανθείημεν, ὡς ἐπήγγελται Θεὸς, ἐν σοὶ δὲ Παρθένε, τὴν εὐλογίαν εὕροιμεν.

Ωδὴ, ς'. Ἐβόησέ σοι.

Μαρία Μήτηρ, Χριστοῦ τοῦ Κτίστου· βίβλος Θεοῦ ἡ πανσφράγιστος, Οὐρανῶν ἐν βίβλοις, σαῖς λιταῖς ἁγνὴ κἀμὲ γράψον.

Οἱ πίστει θεία, λυχνίαν ἄλλην, λαμπαδηφόρον φρονοῦντές σε, ἐν φωτὶ ἀΰλῳ, ἀγαθῇ τῷ σῷ φαιδρυνθῶμεν.

Σβέσον ὡς αὔραν, ἐπιθυμίαν· θραῦσον θυμὸν κακοὺς θῆράς μου· καὶ ψυχῆς τὸν λόγον, τριμερῶς Παρθένε συντήρει.

Ἐν τῇ εἰκόνι, τὸ κατ' εἰκόνα, Θεοῦ πλουτῆσαι παράσχου μοι, ἐν τῇ ὁμοιώσει, καθ' ὁμοίωσιν ἁγνὴ φρούρει.

Κάθισμα· Ἡ Παρθένος σήμερον.

Ἐκ θερμῆς σοι πίστεως, ἀναβοῶ Θεοτόκε, ἀναξίῳ στόματι, καὶ ῥυπαρᾷ τῇ καρδίᾳ· σῶσόν με, βεβυθισμένον ταῖς ἁμαρτίαις· οἴκτειρον, τὸν ἀπογνώσει θανατωθέντα· ἵνα κράζω σεσωσμένος· χαῖρε Παρθένε χριστιανῶν τὸ καύχημα.

Ωδὴ, ζ'. Σὲ τὸν ἐν πυρί.

Ξένως ἐκτυποῖ πανάμωμε, τόκον τὸν σὸν ἡ κάμινος· καὶ γὰρ ὁ νεανίας τρεῖς φλέγων τύραννος, σὺν τετάρτῳ ὑμνοῦντας, καθορῶν ἀνακράζει· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἆραι ὁ ποιμὴν τὸ πρόβατον, θέλων ἐν σοὶ τοῦτο εὕρατο, καὶ περιθέμενος ἐξ ἀχράντων αἱμάτων σου, ἐπὶ ὤμων βαστάζει· ὅθεν πίστει βοῶμεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ῥύπος ὁ παθῶν ἀείποτε, σκοτοῖ ψυχήν μου Δέσποινα· ὡς καλάμην δὲ ξηρὰν καὶ πάντη ἄκαρπον, ἐμπιπρᾷ ἁμαρτία· διὸ κράζων βοῶ σοι· Θεομακάριστε ἁγνὴ, ῥῦσαι καὶ σῶσόν με.

Ῥείθρῳ ῥυπτικῷ σου κάθαρον, ἁγνὴ Θεογεννήτρια, τὴν ψυχήν μου ῥυπωθεῖσαν ἁμαρτήμασι, τοῖς ἀτόποις Παρθένε· ἵνα πίστει σοι μέλπω· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ωδὴ, η'. Ἀστέκτῳ πυρί.

Στάμνον σε χρυσῆν καὶ λυχνίαν, τράπεζαν καὶ ῥάβδον, θεῖον ὄρος καὶ νεφέλην, παλάτιον τοῦ βασιλέως, καὶ θρόνον πυρίμορφον Θεοτόκε, πάντες πιστοὶ ὀνομάζομεν, τὴν μετὰ τὸν τόκον Παρθένον φυλαχθεῖσαν.

Σὲ κρίνον ἁγνὴ κατοπτεύσας, ὁ τὰ τοῦ ἀγροῦ κατακοσμήσας κρίνα λόγος, ἀκανθώδους φύσεως ἐξαίρει, καὶ στολὴν ἐκ σοῦ ἐνδύεται· ὅθεν κράζω· ὅλον με γυμνὸν ἐπένδυσον, ὅπως

ἀνυμνῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ σοῦ γεννηθεὶς ὁ τὰ πάντα, φέρων ἐν τῷ ῥήματι τῷ αὐτοῦ Θεὸς λόγος, διὰ σοῦ τὸν καθαρμὸν τῶν πταισμάτων δίδωσιν· ὅθεν σοι κρίζω· σῶσον ἐν κρίσει με Δέσποινα ὅπως ἀνυμνῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Νοός μου τῷ νόμῳ προσβάλλων, ὁ ἀντιστρατευόμενος νόμος, τῆς σαρκὸς καταπείθει, μὴ τὰς εὐθείας ὁδοὺς τῶν θείων θελημάτων, βηματίζειν τοῦ υἱοῦ σου, διὸ δέομαι· τῇ σῇ μεσιτείᾳ διόρθωσόν με Κόρη.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ, θ΄. Ἐν νόμῳ σκιᾷ.

Ἱλέως τῷ σῷ προσβλέποντες, ὄμματι ψάλλομεν ἐκ ψυχῆς· ἐλέησον τοὺς πάντας, διὰ σπλάγχνα σου Μήτηρ Θεοῦ· δεῖξον τὴν θείαν σου χάριν, τοῖς τιμῶσί σε πιστῶς· ὅπως σε πάντες ἐν ὕμνοις, μελῳδοῦντες μεγαλύνωμεν.

Ὁρῶσα ἁγνὴ τὸν δοῦλόν σου, ποθοῦντά σε εἰλικρινῶς, ἐν θλίψεσι βοήθει· ἐν ἀνάγκαις φύλαττε θερμῶς· ἐν περιστάσεσι ῥύου· καὶ ἐν κινδύνοις σῶζέ με· σὺ γὰρ τοῦ κόσμου ἡ σκέπη· καὶ τοῦ γένους ἡ βοήθεια.

Ὑπέρφωτον φῶς ἀγέννητον, Πατὴρ ὁ θεῖος καὶ προβολεύς· υἱὲ Πατρὸς καὶ Λόγε, ὁ γεννηθεὶς ὡς φῶς ἐκ φωτός· καὶ Πνεῦμα ἄκτιστον θεῖον, τὸ λάμψαν ἐκπορευτῶς· Τριὰς μονὰς ὁ Θεός μου, πάντας φρούρει τῇ δυνάμει σου.

Ὑψόθεν τὴν σὴν ἀντίληψιν, ἁγνὴ κατάπεμψον καὶ ἡμῖν· τὴν δραστικὴν πρεσβείαν, τὴν σὴν ὄρεξον πᾶσι· δὸς τὴν τῶν ἰάσεων χάριν· καὶ τῶν θαυμάτων τὴν πληθύν· ἵνα πάντες σε τιμῶμεν, καὶ ἀπαύστως μεγαλύνωμεν.

Προσόμοια. Ὁ τῷ πάθει σου Χριστέ.

Χαῖρε Μήτηρ τῆς ζωῆς· Χαῖρε ἀειμακάριστε, Ἀγγέλων θεωρία πανόλβιος, καὶ βροτῶν τὸ καύχημα· Χαῖρε ἡ χαρὰν τοῖς ἀνθρώποις πηγάσασα Δέσποινα.

Χαῖρε κροτάφων τῆς Χριστοῦ, Ἐκκλησίας ἀνάπαυσις· καὶ ἀξιωμάτων παναμώμητε, τῶν αὐτῆς ἡ ὑπόληψις· Χαῖρε νοητὴ πύλη ἣν διῆλθεν ὁ ὕψιστος.

Χαῖρε καλλονὴ Ἰακώβ, ἣν ὁ Δεσπότης ἠγάπησε· Χαῖρε αὐγὴ ἡ τὸν ἥλιον φέρουσα, φωτίζοντα τὰ σύμπαντα· Χαῖρε ἡ φθορᾶς τοὺς βροτοὺς ῥυσαμένη τῷ τόκῳ σου.

Ἀπὸ πάσης προσβολῆς, ἐναντίας καὶ θλίψεως, καὶ ἐξ ἐχθρῶν δυσμενῶν Παναμώμητε, τοὺς δούλους σου λύτρωσαι· σὲ γὰρ κραταιὰν προστασίαν κεκτήμεθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΘΕΟΚΤΙΣΤΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ.

Οὗ ἡ ἀκροστιχίς.

Ἄδω τρίτον σοι δακρύων γέμον μέλος.

Ὠδὴ, α΄. ἦχος γ΄. Ὁ τὰ ἄδυτα πάλαι.

ΑΡΔΕΥΘΗΝΑΙ πλουσίως δάκρυσι δίδου, τὰς αὔλακας τῆς ἀθλίας ψυχῆς μου, καὶ καρποὺς φέρειν με ἑκατοστεύοντας, Δέσποινα ἀξίωσον, καὶ τὴν καρδίαν μου πάσης, εὐφροσύνης πλήρωσον ἵνα δοξάζω σε.

Διὰ σπλάγχνα ἐλέους Δέσποινα πάντων, ἐλέησον τὴν ἀθλίαν ψυχήν μου, καὶ πυρὸς λύτρωσαι τοῦ αἰωνίου σεμνή· καὶ τῆς τῶν δαιμόνων με ἐπιδρομῆς Θεοτόκε, τὸν ὑπὸ τὴν σκέπην σου νῦν καταφεύγοντα.

Ὡς ἀμόλυντος οἶκος τοῦ βασιλέως, τὴν πάθεσι μολυνθεῖσαν ἀτόποις, ἐμὴν δέομαι καρδίαν Κόρη ἁγνὴ, κάθαρον πρεσβείαις σου. καὶ καθαρᾶς πολιτείας, ἔργοις καταπλούτισον· ἵνα δοξάζω σε.

Τί ῥαθύμως τὸν βίον ψυχὴ ἀθλία παρέρχῃ; καὶ οὐ φοβῇ τὴν ἡμέραν τῆς φρικτῆς κολάσεως; ἀλλὰ ἀνάστα λοιπὸν ἐκ τῶν καταπτώσεων, καὶ ἀμελείας προθύμως, Θεοτόκε κράζουσα σῶσόν με Πάναγνε.

Ὠδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων.

Ῥῦσαι γεέννης καὶ πάσης ἄλλης ποινῆς, ἐν ὥρᾳ τῆς κρίσεως, σὸν οἰκέτην Πανάμωμε, καὶ μέτοχον ποίησον, τῆς τοῦ υἱοῦ σου καὶ Θεοῦ Βασιλείας.

Ἰάτρευσόν μου τὰ τραύματα τῆς σαρκός· καὶ τὸ πολυτάραχον τῶν λογισμῶν κλυδώνιον, Δέσποινα κατεύνασον, καὶ εἰρηναίαν κατάστασίν μοι δίδου.

Ταλαιπωρήσας νῦν κατεκάμφθην δεινῶς, καὶ οὐκ ἔστιν ἴασις τῇ ψυχῇ μου Πανάμωμε· ἀλλὰ μὴ εἰς τέλος με, ἐγκαταλίπῃς τὸν δοῦλόν σου Παρθένε.

Τὸ πρόσωπόν σου τὸ θεῖόν τε καὶ σεπτὸν, ἐπίφανον δέομαι σεμνὴ ἐπὶ τὸν δοῦλόν σου, καὶ ποιεῖν με δίδαξον, τὰ δικαιώματα Κόρη τοῦ υἱοῦ σου.

Ὠδὴ, δ΄. Ἦλθες πρὸς ἡμᾶς.

Ὅλη ἀγαθὴ, σὺ ὑπάρχεις ὅλη καὶ εὔσπλαγχνος· ὅλη συμπαθὴς καὶ βοηθὸς, ἐν τοῖς κινδύνοις καὶ περιστάσεσι, Μαριὰμ πανάχραντε· διό με ὅλον φρούρησον καὶ τείχισον.

Νύξ με ἀφεγγὴς, τῶν παθῶν συνέχει τὸν δείλαιον· ἀλλὰ τῷ φωτί σου ἀγαθὴ, τὰ τῆς

ψυχῆς μου νέφη διάλυσον, καὶ πρὸς φῶς ὁδήγησον, τῶν προσταγμάτων τοῦ Θεοῦ Πανάμωμε.

Σάλῳ πειρασμῶν, καὶ ταῖς τρικυμίαις ποντούμενος, τῶν πονηροτάτων λογισμῶν, καὶ εἰς βυθὸν ἀεὶ καθελκόμενος, τὸν τῆς ἀπογνώσεως· σῶσον βοῶ σοι Δέσποινα τὸν δοῦλόν σου.

Οταν τῆς σαρκὸς, ἡ ψυχή μου μέλλῃ χωρίζεσθαι, τότε παραστᾶσα συμπαθῶς, ἐπιδρομῆς δαιμόνων με ἅρπασον, τῶν ἐπιζητούντων μου ἀδιαλείπτως Κόρη τὴν ἀπώλειαν.

Ωδὴ, ε΄. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος.

Ιδε ἁγνὴ τὴν ἀσθένειαν ἴδε, τῆς ταπεινῆς καὶ ἀθλίας ψυχῆς μου, καὶ ἀοράτων ἐχθρῶν τῆς ἐπαναστάσεως, καὶ τῆς τούτων βλάβης ῥῦσαί με.

Δαιμονικαῖς ἐπηρείαις τὸν νοῦν μου, διηνεκῶς εἰς ἀτόπους ἐννοίας, ὑπεξελκόμενον μὴ ἐάσῃς Δέσποινα· ἀλλὰ στῆσον ἀπερίτρεπτον.

Αμαρτωλοῖς καὶ τελώναις ἐφάνη, ὁ σὸς υἱὸς διὰ σπλάγχνα ἐλέους· ὃν μιμουμένη ἁγνὴ, νῦν ἐμὲ οἰκτείρησον, ὑπὲρ πάντας ἁμαρτήσαντα.

Κύνες πολλοὶ περιέσχον με ὄντως· συναγωγὴ πονηρῶν με πνευμάτων, περιεκύκλωσαν· ἀλλὰ τούτων ἄχραντε, τὰς ἐνέδρας διασκέδασον.

Ωδὴ, ς΄. Ἄβυσσος ἐσχάτη.

Κύμασι βυθίζομαι τῶν παθῶν, τῆς ἁμαρτίας, καὶ ἡδονῶν ὁ δοῦλός σου· Θεοτόκε πρόφθασον, καὶ κυβερνήσει θείᾳ σου, πρὸς λιμένα με, μετανοίας ὁδήγησον.

Ρεῖθρά μοι δακρύων Πνευματικῶν, παράσχου Κόρη, ἵνα πλύνω τὸν βόρβορον, τῶν πλημμελημάτων μου, καὶ πρὸς τὸ ὕδωρ ἴθυνον, τῆς ἀνέσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Υπνωσα εἰς θάνατον ψυχικὸν, καὶ ἐν τῷ τάφῳ κεῖμαι τῆς ἀπογνώσεως· ἀλλὰ δίδου χεῖρά μοι, καὶ ἀνάστησον δέομαι, πρὸς μετάνοιαν καὶ ζωὴν ὁδηγοῦσά με.

Υπερθεν ἀνῆλθοσαν ἀληθῶς, τῆς κεφαλῆς μου αἱ πολλαὶ ἀνομίαι μου· ὡς βαρὺ φορτίον δὲ, ἐπ' ἐμὲ ἐβαρύνθησαν· ἀλλ' ἐλάφρυνον, τὸν κλοιόν μου Πανύμνητε.

Κάθισμα. Τὴν ὡραιότητα.

Απας ὁ βίος μου, ἐν ῥαθυμίᾳ πολλῇ, διῆλθε Πάναγνε καὶ νῦν προσήγγισα, τῷ τῆς ἐξόδου μου καιρῷ, καὶ δέδοικα τοὺς ἐχθρούς μου, μὴ διασπαράξωσι τὴν ψυχήν μου Πανάμωμε, καὶ τῆς ἀπωλείας με, τῷ βυθῷ παραπέμψωσιν· ἀλλ' οἴκτειρον τὸν δοῦλόν σου Κόρη, καὶ ῥῦσαί με τῆς τούτων κακώσεως.

Ωδὴ, ζ΄. Τὸ πρὶν εἰκόνι.

Ως συμπαθὴς Μήτηρ τοῦ Θεοῦ, τοὺς δούλους σου Δέσποινα συμπαθείας ἀξίωσον, τοὺς ἐν πίστει τῷ σῷ υἱῷ βοῶντας· ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Νομὴν ἀνάστειλον ἁγνὴ, τῶν ἡμαρτημένων, καὶ τῶν βεβήλων πράξεων· ἵνα πόθῳ τῷ σῷ υἱῷ κραυγάζω· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Γένος βροτῶν σε δυσωπεῖ, Θεοτόκε Δέσποινα, ἐλέησον τὸν δοῦλόν σου, τὸν ἐν πίστει τῷ

σῷ υἱῷ βοῶντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐπὶ τοῦ βήματος Χριστοῦ, ὅταν μέλλω κρίνεσθαι, ὡς ὑπεύθυνος ἄχραντε, φάνηθί μοι, ἐκ πάσης βασάνου ῥυομένη, τῇ θερμῇ σου προστασίᾳ.

Ὠδὴ, η'. Ἀστέκτῳ πυρί.

Μὴ παύσῃ ἁγνὴ δυσωποῦσα, τοὺς ἐν κατανύξει σε τιμῶντας λυτρωθῆναι, τῶν παγίδων τοῦ διαβόλου, τὸν υἱόν σου Δέσποινα εὐλογοῦντας· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οὐ χεῖρας καὶ ὄμματα μόνον, ἀλλὰ καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν, ἀνατείνω πρὸς σὲ Παρθένε· ὅλον με καταύγασον τῷ φωτί σου· ὅλον ἀπόπλυνον δάκρυσιν· ὅλον κατανύξει θερμῇ ἀπόλουσόν με.

Νὺξ ἁμαρτιῶν με καλύπτει, καὶ περιταράττει με πταισμάτων ζάλης πάσης ἐπίμονος τρικυμία· φρίττω οὖν καὶ δέδοικα τὰς κολάσεις· ὧν με Παναγία λύτρωσαι, τῶν ἀπηλπισμένων ἐλπὶς καὶ σωτηρία.

Μένει με δεινὴ καταδίκη, μέλλω κατακρίνεσθαι ἐνώπιον Ἀγγέλων, καὶ θεάτρου μυριανθρώπου μεγάλης ἀνάγκης με ῥῦσαι τότε, μέγα καὶ πλούσιον ἔλεος, ἔχεις γὰρ τεκοῦσα τὸν μέγαν Βασιλέα.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας Προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ, θ'. Ἐν νόμῳ σκιᾷ.

Ἐγγίζει ψυχὴ τὸ τέλος· ἐπὶ θύραις τὸ κριτήριον· ἀπόστηθι τῶν ἔργων τῆς αἰσχύνης, καὶ ἐπιλαβοῦ τῆς ἀγαθῆς πολιτείας· ἔχεις γὰρ σύμμαχον τὴν Θεοτόκον, ἐκ πάσης ῥυομένην σε κακώσεως.

Λῃσταῖς νοητοῖς Πανάμωμε, περιπεσὼν ὁ δείλαιος, ταῖς τούτων μεθοδείαις, τὸν χιτῶνά μου τῆς ἀρετῆς, φρενοβλαβῶς ἐξεδύθην· καὶ ψυχοφθόρων πληγῶν, πεπληρωμένος βοῶ σοι· Θεοτόκε μὴ παρίδῃς με.

Ὁ βίος μου ὅλος ἄχραντε, ῥαθύμως ἐκτετέλεσται, καὶ ἤγγισα τῷ ᾅδῃ νῦν τῆς ἀπογνώσεως ἁγνή· ἀλλὰ διόρθωσιν δίδου, καὶ μὴ ἐάσῃς με ἐν τῇ τοιαύτῃ κακώσει, τὸν προσφεύγοντα τῇ σκέπῃ σου.

Σαρκὸς τῆς ἐμῆς ἀσθένειαν, καὶ τῆς ψυχῆς τὸ ἄτονον· καρδίας τὴν ὀδύνην, καὶ τὰς τοῦ νοός μου ἐκτροπὰς, σοὶ ἀναθέμενος κράζω· ἑκάστῳ τούτων ἁγνὴ, δίδου τὴν ἴασιν ὅπως, ἐν αἰνέσει μεγαλύνω σε.

Προσόμοια. Μεγάλη τοῦ Σταυροῦ σου.

Χαῖρε ἡ προστασία πάντων Μητροπάρθενε, τὸ κλέος τῶν ἐν πίστει, θερμῇ σε δοξαζόντων· Χαῖρε πάγκαλλον ὡραΐσμα τοῦ Κόσμου· Χαῖρε καύχημα καὶ στήριγμα καὶ ἀνέδρευτον ἕρκος.

Χαῖρε ἡ τεκοῦσα μόσχον τὸν ἄμωμον, δάμαλις χαῖρε μόνη ὑπερευλογημένη· Χαῖρε δεδοξασ-

μένη· Χαῖρε τίμιον ἀγλλάϊσμα Ἀγγέλων· Χαῖρε ζωῆς πρόξενε, ἀνύμφευτε Θεοτόκε Μαρία.

Χαῖρε λαμπὰς τοῦ Κόσμου ἁγνὴ ἡ ἀκοίμητος· Χαῖρε πάγκαλλε νύμφη· Χαῖρε χρυσοῦν καὶ θεῖον, παλάτιον τοῦ Λόγου χαῖρε Κόρη, ἁπάντων μόνον καταφύγιον, τῶν βοώντων σοι χαῖρε.

Λεόντων ψυχοφθόρων ῥῦσαί με πρεσβείαις σου, ἐλπὶς καὶ προστασία, τοῦ γένους τῶν ἀνθρώπων· καὶ ὁδήγησόν με εἰς τὴν ἄνω βασιλείαν, καὶ καθορᾶν τὸ κάλλος ἀξίωσον, τοῦ υἱοῦ σου Παρθένε.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ (1)

Ωδὴ, α΄. ἦχος γ΄. Ὁ τὰ ὕδατα πάλαι.

ΧΑΙΡΕ θρόνε Κυρίου· Χαῖρε Παρθένε, ἡ λύσασα τὴν ἀχλὺν τῆς ἀπάτης, καὶ πρὸς φῶς ἄδυτον πάντας ἑλκύσασα· Χαῖρε ἀπειρόγαμε· Χαῖρε Θεόγραφε τόμε· τῶν πιστῶν τὸ στήριγμα χαῖρε πανύμνητε.

Χαῖρε στάμνε, τὸ μάννα φέρουσα ἔνδον, τοὺς πάντας καταγλυκαίνουσα πίστει, ἀληθῆ Δέσποιναν ὁμολογοῦντάς σε· χαῖρε πάσης κτίσεως, τὸν κυβερνήτην τεκοῦσα· χαῖρε φῶς αὐγάσασα τῷ Κόσμῳ πάναγνε.

Πολυέραστον κάλλος, πάνσεμνε χαῖρε, ἡ πάντας τῷ ὑπὲρ φύσιν σου τόκῳ, ἐκ βυθοῦ σώσασα τῆς ἀπιστίας ἁγνὴ, καὶ πρὸς πίστιν ἔνθεον χειραγωγήσασα μόνη· χαῖρε παντευλόγητε χαῖρε Θεόνυμφε.

Φωτοδόχε Παρθένε, χαῖρε ἡ μόνη τεκοῦσα, τὴν σωτηρίαν τοῦ κόσμου, ἡ ἐλπὶς ἅπασα τῶν δυστυχούντων ἁγνή· χαῖρε ζωοπάροχε· χαῖρε σεμνὴ Παναγία· χαῖρε τὸ ἀείζωον ῥεῖθρον πηγάσασα.

---

(1) Σημείωσαι ὅτι τὸ Θεοτοκάριον τὸ χειρόγραφον, τὸ ἐν πολλοῖς Μοναστηρίοις καθ' ἑκάστην ψαλλόμενον,
καὶ ἐν τῇ ἐνάτῃ ἀεὶ περιέχον τὸ ὄνομα, Ἰωάννης· ἐν δὲ τῷ ἀκροτελευτίῳ, ἀεὶ φέρον τὸ Θ. στοῖχεῖον, οἱ μὲν λέγου-
σιν, ὅτι, ἐστιν Ἰωάννου τοῦ Δαμασκηνοῦ, καθὼς καὶ ἐπιγράφεται· καὶ τὸ ἀκροτελεύτιον Θ. θέλουσι νὰ δηλοῖ, Θύ-
της· οἱ δὲ φασιν ὅτι, ἐστιν Ἰωάννου Θηκαρᾶ· θέλουσι γὰρ νὰ δηλοῖ, Θηκαρᾶς τὸ Θ. τὸ τελευταῖον· συμφωνῶ δὲ
καὶ ἐγὼ μὲ τοὺς δευτέρους· τοῦτο μὲν, συμπεραίνων, ἀπὸ τὸ ἐνηλλαγμένον τῆς φράσεως τῶν κανόνων τούτων, πρὸς
τὴν τοῦ θείου Δαμασκηνοῦ· τοῦτο δὲ, διατὶ ἔντινι τροπαρίῳ τοῦ δ΄. ἤχου ἀναφέρεται, νὰ φυλάττῃ ἡ Θεοτόκος
ταύτην τὴν εἰς αὐτὴν ἀφιερωμένην Πόλιν· ἥτις σαφῶς ἐστὶν ἡ Κωνσταντινούπολις, ἡ πατρὶς τοῦ Θηκαρᾶ, ὡς λέ-
γει ὁ Θεόδουλος, σχολιάζων τοὺς τοῦ Θηκαρᾶ ὕμνους· καὶ οὐχὶ ἡ Δαμασκὸς, ἡ πατρὶς τοῦ θείου Δαμασκηνοῦ·
ἐκ τοῦ Θεοτοκαρίου δὲ τούτου, ἠρανίσθη καὶ ὁ παρὼν Κανὼν ὁ ἐν τῇ ϛ΄. τοῦ πλ. α΄. ἤχου. ὁ ἐν τῇ ϛ΄. τοῦ πλ. β΄.
καὶ τοῦ βαρέος.

Ωδὴ, γ΄. Ὁ ἐκ μὴ ὄντων.

Η θεία κλίμαξ ἣν εἶδεν ὁ Ἰακὼβ, θνητοὺς ἡ ἀνάγουσα πρὸς οὐράνιον εἴσοδον· χαῖρε παναχ[illegible]ατε· καὶ δυστυχούντων ἐλπὶς χαρὰ καὶ σκέπη.

Η φλογοφόρος λαβὶς ἡ τὸν νοητὸν, ἄνθρακα κατέχουσα χαῖρε Μῆτερ ἀνύμφευτε, πυρὶ τὸν καθαίροντα, τὴν ἁμαρτίαν ἁγνὴ παντὸς τοῦ κόσμου.

Η ῥάβδος χαῖρε τὸ ἄνθος τὸ ζωηρὸν, παρθένε καὶ ἄφθορον παραδόξως βλαστήσασα· χαῖρε παναμώμητε· χαῖρε φαιδρὸν ἐνδιαίτημα Κυρίου.

Στάμνον τοῦ μάννα, τοῦ νοητοῦ σε ἁγνὴ, γινώσκοντες κράζομεν, ἀσιγήτως τὸ χαῖρέ σοι, Παναγία Δέσποινα· χαῖρε πιστῶν ἀσφαλὴς φρουρὰ καὶ σκέπη.

Ωδὴ, δ΄. Ἔθου πρὸς ἡμᾶς.

Χαῖρε νοητὴ, χελιδὼν ὄντως ἡδύλαλος, παύσασα χειμῶνα νοητὸν, καὶ πρὸς τὸ ἔαρ μεταῤῥυθμίσασα, πάντας τοὺς ἐν πίστει σὲ, καθαρωτάτη Κόρη μεγαλύνοντας.

Χαῖρε μυστικὴ, ζωοτρόφε τράπεζα Δέσποινα, ἄρτον τὸν οὐράνιον Χριστὸν ἐν μέσῳ ταύτης φέρουσα ἄμωμε· ἐξ οὗ οἱ μετέχοντες, ζωῆς ἀῤῥήτου καὶ χαρᾶς πληρούμεθα.

Χαῖρε θησαυρὲ, Παρθενίας ὄντως καὶ καύχημα· χαῖρε ἡ τὴν πέτραν τῆς ζωῆς, ἐν τῇ γαστρί σου μόνη χωρήσασα· χαίροις ὑπερθαύμαστε· χαῖρε πεσόντων ἀσφαλὴς ἀνόρθωσις.

Χαῖρε πιστῶν, ἀκλινὲς καὶ θεῖον ὀχύρωμα· χαῖρε τῶν ἀπίστων δυσμενῶν, καὶ πονηρῶν ἐχθρῶν ἀμυντήριον· χαίροις ὑπερθαύμαστε, εὐλογημένη χαῖρε πάντων Δέσποινα.

Χαῖρε φωτὸς ἀνεσπέρου χωρίον· χαῖρε ἁγνὴ νοσούντων θεραπεία, καὶ ἄκος ἄϋλον· χαῖρε θεῖον τέμενος, τοῦ Δεσπότου πανσεβάσμιε.

Χαῖρε σκηνὴ πλατυτέρα νεφέλης· τὸ χρυσαυγὲς δοχεῖον τοῦ ὑψίστου· χαῖρε πανύμνητε· χαῖρε μῦρον τίμιον, καὶ θυμίαμα πανεύοσμον.

Χαῖρε πιστῶν ἀκλινέστατον τεῖχος· ἡ κραταιὰ τοῦ κόσμου προστασία· χαῖρε πανάσπιλε· χαῖρε πάντων στήριγμα, τῶν ὑμνούντων σε Θεόνυμφε.

Τὸ φωτεινὸν τοῦ Δεσπότου δοχεῖον· χαῖρε σεμνὴ Ἀδὰμ τοῦ πεπτωκότος, μόνη ἀνόρθωσις, καὶ τῆς Εὔας λύτρωσις, τῶν δακρύων χαῖρε πάνσεμνε.

Ωδὴ, ς΄. Ἄβυσσος ἐσχάτη.

Χαῖρέ σοι προθύμως τοῦ Γαβριὴλ, πᾶς ὁ λαός σου γεγηθότες κραυγάζομεν· Θεοτόκε Δέσποινα· χαῖρε ἁγνὴ πολύφωτε, ἡ τὸν ἥλιον τοῖς πιστοῖς ἀνατείλασα.

Χαῖρέ σοι βοῶμεν περιχαρῶς, τῇ παναμώμῳ καὶ Μητρὶ τοῦ Θεοῦ ἡμῶν· χαῖρε βάτε ἄφλεκτε, καὶ χώρα ἀγεώργητε, τὸν οὐράνιον ἡ βλαστήσασα ἄσταχυν.

Χαῖρέ σοι τῇ βασιλίδι πιστοὶ, ὁμονοοῦντες ἀσυγχύτως κραυγάζομεν· χαῖρε κλίμαξ ἔμψυχε, τοὺς βροτοὺς ἀνάγουσα, πρὸς οὐράνιον καὶ ἀκήρατον εὔκλειαν.

Ἅπαντες τὸ χαῖρε χαρμονικῶς, σοὶ τῇ τεκούσῃ τὴν ἀείζωον δύναμιν, ἐκβοῶμεν ἄχραντε· χαῖρε παστὰς ὁλόφωτε· χαῖρε κράτιστον οἰκουμένης ὀχύρωμα.

Κάθισμα. Τὴν ὡραιότητα.

Χαῖρε εὐρύχωρον, Θεοῦ παλάτιον· χαῖρε πολύφωτον Χριστοῦ ἀνάκτορον· χαῖρε χρυσόπλοκε παστὰς, καὶ κλίνη πορφυρόστρωτε· θάλαμε πυρίμορφε· οὐρανὲ ὑψηλότατε· ἔμψυχε Παράδεισε· λογικὸν ἐνδιαίτημα· περίδοξε τοῦ Δεσπότου θρόνε, χαῖρε Μαρία Θεοτόκε.

Ωδὴ, ζ΄. Σὲ τὸν ἐν πυρί.

Χαῖρε φωτοφόρον οἴκημα, Μαρία πανακήρατε· χαῖρε σκήνωμα τοῦ Κτίστου καθαρώτατον· χαῖρε τεῖχος καὶ σκέπη, τῶν πιστῶς μελῳδούντων· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων.

Χαῖρε σωτηρίας πρόξενε, βροτῶν καὶ καταφύγιον· ὡραιότης Ἐκκλησιῶν καὶ εὐπρέπεια. χαῖρε νῖκος Ἀνάκτων, μελῳδούντων καὶ θάρσος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων.

Χαῖρε τῶν Παρθένων καύχημα· μητέρων ἐγκαλλώπισμα· χαῖρε πλοῦτε πενομένων ἀνεξάντλητε· χαῖρε κράτος καὶ δόξα τῶν πιστῶς ἐκβοώντων· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων.

Χαῖρε Θεοτόκε πάνσεμνε, βροτῶν τὸ καταφύγιον· χαῖρε τόπε ἁγιάσματος, καὶ σκήνωμα τοῦ Θεοῦ τοῦ ὑψίστου, ὃν ὑμνοῦντες βοῶμεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων.

Ωδὴ, η΄. Ἀστέκτῳ πυρί.

Ἵνα σοι πιστοὶ εὐχαρίστως, χαῖρε ἐκβοήσωμεν Παρθένε, ῥῦσαι πάσης, ἁμαρτίας ἡμᾶς καὶ ζάλης, πάσης περιστάσεως καὶ ἀνάγκης· πάσης συμφορᾶς καὶ θλίψεως, καὶ τῆς τῶν βαρβάρων δεινῆς ἐπικρατείας.

Ὡς τῶν οὐρανῶν πλατυτέραν, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέραν Θεοτόκε, γνόντες σε πάντες σοὶ προσφωνοῦμεν· χαῖρε Μητροπάρθενε· χαῖρε πάντων βροτῶν ἡ ἀνάκλησις, καὶ πανωλεθρία καὶ κατάπτωσις δαιμόνων.

Ἀπείρων με θλίψεων ῥῦσαι, τῶν ἐπερχομένων συνεχῶς μοι τῷ ἀθλίῳ, συμφορῶν τε καὶ πάσης βλάβης, πάσης κατακρίσεως, πάσης νόσου, πάσης ἀπειλῆς καὶ μάστιγος· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ναὸν τὸν τοῦ σώματος οἴμοι! ἔχρανα ὁ ἄθλιος ἀφρόνως, τῷ βορβόρῳ ἐπιμένων τῆς ἁμαρτίας· κάθαρόν με δέομαι, ῥυπτικῷ σου ῥείθρῳ, πανάμωμε Δέσποινα, καὶ χαρὰν πρὸς θείαν εἰσάγαγε καὶ δόξαν.

Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε.

Ωδὴ, θ΄. Καινὸν τὸ θαῦμα.

Ναὸν φρονοῦντες, σὲ χωρητικὸν, καὶ γινώσκοντες, τοῦ τῶν ἁπάντων Κτίστου καὶ Θεοῦ παναγία Δέσποινα, τὸ χαῖρέ σοι πόθῳ, ἀναβοῶμεν πάντες οἱ δοῦλοί σου· σοφίας Θεοῦ χαῖρε δοχεῖον· χαῖρε πιστῶν πρὸς Θεὸν, σωτηρία ἀκαταίσχυντε.

Ἡ θεία σκέπη, χαῖρε τῶν βροτῶν· τῶν ταγμάτων τε τῶν οὐρανίων χαῖρε· χαρὰ Ἀποστόλων καύχημα· μαρτύρων ἡ δόξα· τῶν ἀθλοφόρων χαῖρε θάρσος ἄῤῥηκτον, ἁπάντων ὁ

σίων καὶ δικαίων, χαῖρε φαιδρόν τε καὶ περιβόητον ἐγκαλλώπισμα.

Σύ μου τὴν φλόγα σβέσον τῶν δεινῶν· σὺ κατεύνασον τὸν σάλον ἁγνή, καὶ τὴν λύπην πράϋνον· τὰ δάκρυα παῦσον· τὰς συμφορὰς ἀπέλασον μακρὰν ἀπ' ἐμοῦ· χαρὰν δέ μοι δίδου τῷ σῷ δούλῳ· ὅπως ἀπαύστως ὡς εὐεργέτην μου μεγαλύνω σε.

Θεοκυῆτορ, πάντων τῶν εἰς σέ, προστρεχόντων σκέπη καὶ ἀντίληψις κραταιά· τὰς αἰτήσεις πρόσδεξαι, νυνὶ τῶν σῶν δούλων, καὶ μιαιφόνων λύτρωσαι χειρῶν ἀγαθή, ὡς ἄμαχον ἔχουσα τὸ κράτος· ὅπως ἀπαύστως, ἐν ὑμνῳδίαις σε μεγαλύνωμεν.

Προσόμοια. Ὁ τῷ πάθει σου Χριστέ.

Χαῖρε ὄχημα λαμπρόν, τοῦ Δεσπότου τῆς κτίσεως· Χαῖρε θερμὸν βροτῶν ἱλαστήριον· Χαῖρε ἀπειρόγαμε· Χαῖρε ἡ Θεὸν τοῖς ἀνθρώποις ἑνώσασα ἄχραντε.

Χαῖρε ξένου καὶ φρικτοῦ, μυστηρίου φανέρωσις· Χαῖρε δι' ἧς ἠνοίχθη Παράδεισος· Χαῖρε θεία τράπεζα· Χαῖρε τὸ φθαρτὸν παραδόξως ἁγνὴ ἀφθαρτίσασα.

Χαῖρε Κόσμου θησαυρέ· καὶ πενήτων προμήθεια· Χαῖρε τῶν δυστυχούντων τὸ στήριγμα· Χαῖρε ἀνόρθωσις, πεπτωκότων· Χαῖρε ἀσθενούντων ἀκέστωρ καὶ ἴαμα.

Τῶν πολλῶν ἁμαρτιῶν, ἐννοῶν μου τὸ πέλαγος, ἐπὶ τὴν σὴν ἄχραντε βοήθειαν, προστρέχω ὁ δύστηνος· σῶσόν με ἁγνὴ καὶ τῶν χαλεπῶν ῥῦσαι κολάσεων.

ΑΡΧΗ ΤΟΥ Δ'. ΗΧΟΥ

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ.

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ ΦΩΤΩΝΥΜΙΚΟΣ

## ΠΟΙΗΜΑ ΘΕΟΚΤΙΣΤΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ.

Οὗ ἡ ἀκροστιχίς.

Φωτὸς δοχεῖον, φώτισόν με φωτί σου. Ἀμήν.

Ωδὴ, α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθ.

ΦΩΤΙ με τῶν πρεσβειῶν σου φώτισον, Θεογεννήτρια, ἡ γενομένη Μήτηρ τοῦ φωτός, τοῦ ἀδύτου πανάχραντε· καὶ φωτισμόν με γνώσεως, παρασχεθῆναι καθικέτευσον.

Ὡς οὖσα φωτοειδὴς πανάχραντε, Θεογεννήτρια, φωτιστικαῖς πρεσβείαις σου ἁγνή, σκοτισθέντα με φώτισον, καὶ τοῦ φωτὸς βαδίζειν με, τὰς θείας τρίβους καταξίωσον.

Τὴν νύκτα τῶν λογισμῶν μου φώτισον, φωτί σου Πάναγνε, καὶ τὴν ψυχήν μου πύλη τοῦ φωτός, φωτοφόρον ἀπέργασαι· ἵνα τὸ φῶς θεάσωμαι, τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ομίχλην μου τῶν παθῶν ἀπέλασον, τὸ φῶς ἡ τέξασα, Θεογεννῆτορ Κόρη ἡ φωτὸς, προφανῶς ὑπερλάμπουσα, ἡλιακοῦ πανάχραντε, φωτοκυῆτορ πανευλόγητε.

Ωδὴ, γ'. Εὐφραίνεται ἐπὶ σοί.

Συγχώρησιν ἐξαιτῶ, φωτιστικῶν σου πρεσβειῶν ἄχραντε, ἣν συμπαθῶς δίδου μοι, φῶς τὸ ἐκ φωτὸς ἡ κυήσασα,

Διάνοιαν σκοτεινὴν, τῇ φωτοφόρῳ σου αὐγῇ φώτισον· σὺ γὰρ φρικτῶς τέτοκας, τοῦ Πατρὸς ἁγνὴ τὸ ἀπαύγασμα.

Οὐκ ἔστιν ἐπὶ τῆς γῆς, ἁμαρτωλότερος ἐμοῦ Πάναγνε· ὅθεν βοῶ φώτισον, πύλη τοῦ φωτὸς τὴν καρδίαν μου.

Χωρίον φωτοειδὲς, τῆς ὑπερφώτου ἀληθῶς φύσεως, φῶς θεϊκὸν ἄχραντε, καὶ φωτὸς ἀκτῖνα παράσχου μοι.

Ωδὴ, δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἐκ νεότητός μου Πάναγνε φωτοτόκε, ταῖς ἡδοναῖς ῥερύπωμαι τῆς δικαιοσύνης, ἥλιον τεκοῦσα Χριστὸν, φωτί σου νῦν φώτισον, τὴν ἀμαυρωθεῖσαν καρδίαν μου.

Ἰατρεῖον σὺ Πανύμνητε φωτοτόκε, φωτιστικὸν ὑπάρχουσα φώτισον τὸν νοῦν μου, λόγου φωτοφόρε σκηνὴ, καὶ ῥῦσαι τοῦ σκότους με, ἐν φωτὶ ἀΰλῳ σκηνοῦσά με.

Ὁλοτρόπως τῇ κακίᾳ κατεδουλώθην, ἀλλ' ἐπὶ σοὶ προσφεύγω νῦν ὁ ἐσκοτισμένος, φώτισόν με πύλη φωτὸς, καὶ ῥῦσαι γεέννης με, καὶ φωτὸς ἀΰλου με ἔμπλησον.

Νομοθέτην ἡ τεκοῦσα καὶ φωτοδότην, τὴν χαλεπὴν ἀπέλασον, σκοτίαν νοός μου, σοῦ τῶν πρεσβειῶν τῷ φωτὶ, καὶ σῶσόν με Δέσποινα, τὸν μεμολυσμένον ἀμόλυντε.

Ωδὴ, ε'. Σὺ Κύριέ μου φῶς.

Φῶς σὺ τὸ ἐκ φωτὸς, ὑπὲρ λόγον κυήσασα, φῶς δίδου μοι ἐπιστρέφειν, ἐκ ζοφώδους ἀγνοίας, τὸν πίστει ἀνυμνοῦντά σε.

Ὡς οὖσα Χερουβὶμ, Σεραφὶμ ὑπερτέρα τε, πανάχραντε Θεοτόκε; τὴν ψυχήν μου φωτί σου, φωτοκυῆτορ φώτισον.

Τίς δύναται νοεῖν, τοῦ φωτός σου τὸ ἄῤῥητον, ὑπέρφωτε Θεοτόκε, τῆς Τριάδος τὸν ἕνα, φρικτῶς γὰρ σὺ γεγέννηκας.

Ἰσότιμον Πατρὶ, τὸν υἱὸν καὶ τῷ Πνεύματι, πανάχραντε φωτοδότην, ὑπὲρ λόγον τεκοῦσα, φωτί με τούτου φώτισον.

Ωδὴ, ϛ'. Θύσω σοι.

Στρέψον μου, εἰς χαρμονὴν τὸ πένθος Πανύμνητε, καὶ τὴν τῶν νόσων ὁμίχλην, καὶ παθῶν ἁπάντων τὴν τρικυμίαν, εἰς γαλήνην, καὶ τελείαν ὑγείαν μετάβαλε.

Οἴκτειρον, ὡς συμπαθὴς ἐμὲ τὸν ἀκάθαρτον, καθαρωτέρα ὡς οὖσα, λαμπηδόνων ἄχραντε τοῦ ἡλίου, καὶ φωτός μου, τὴν καρδίαν ἐνθέου σου πλήρωσον.

Νεύσεσι, φωτιστικαῖς Παρθένε ὁδήγησον, τὸν σκοτισθέντα ἀθλίως, πρὸς τὸ φῶς τὸ ἀδυ-

τον τοῦ υἱοῦ σου· καὶ τὸν λύχνον, τῆς ψυχῆς μου σβεσθέντα ὑπάναψον.

Μόνην σε, τιμιωτέραν ἔγνωμεν Πάναγνε, τῶν Χερουβὶμ ὡς τεκοῦσαν, τοῦ φωτὸς τὸν πρύτανιν Θεοτόκε· ὃν δυσώπει, πρὸς τὸ φῶς με σκηνῶσαι τὸ ἄδυτον.

Κάθισμα. Ὁ ὑψωθείς.

Τῆς ἀρετῆς καὶ μετανοίας τὴν τρίβον, τὴν τεθλιμμένην καὶ στενὴν καὶ τραχεῖαν, χαρμονικῶς ὁδεύειν με ἐνίσχυσον, ἁγνὴ πλάτυνον ἐν θλίψεσι, τὴν στενήν μου καρδίαν· πλούτισον ἐν πράξεσιν, ἀγαθαῖς τὴν ψυχήν μου, καὶ ἐκ παθῶν στενώσεως αὐτὴν, εἰς πλατυσμὸν ἀπαθείας ἐξάγαγε.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ἐγὼ Παρθένε, ταῖς ἀνομίαις ὑπερβέβηκα, πάντας τοὺς πρὸ νόμου Πάναγνε ἀληθῶς, καὶ ἐν νόμῳ ἡ κυήσασα, φῶς τὸ ἀπρόσιτον, τῶν πταισμάτων μου σκότος ἀφάνισον.

Φθαρέντα κόσμον, ἀνακαινίζεις Μητροπάρθενε, Κόρη ἡ τεκοῦσα φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον· διὸ νῦν φώτισον, τῆς ψυχῆς μου τὰ ὄμματα δέομαι.

Ὡραιοτάτην, Κυριοτόκε καὶ ὁλόφωτον, νῦν μου τὴν ψυχὴν ἀπέργασαι, ἡ φρικτῶς τοῦ Πατρὸς ἀποκυήσασα, σὺ τὸ ἀπαύγασμα, καὶ φωτὸς ἀϊδίου με ἔμπλησον.

Τὴν συντριβήν μου, τὴν ψυχικὴν θεράπευσον Μαριὰμ, ὄχημα φωτὸς, καὶ δίδου μοι πρὸς τὸ φῶς, τοῦ υἱοῦ σου τὰς πορείας μου, ποιεῖσθαι πάντοτε· ἵνα βλέψω τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ, η΄. Χεῖρας ἐκπετάσας·

Ἴδω σου τὸ φῶς τῶν πρεσβειῶν, ἡ φῶς κυήσασα, βροτοῖς τὸ ἄῤῥητον, καὶ τὰς αἰσθήσεις μου ἄχραντε, τῆς ψυχῆς καταφωτίζουσαν· καὶ τῆς ἀγνοίας τὸ δεινὸν, σκότος ἐξαίρουσαν ἵνα κράζω· φωτοκυῆτορ χαῖρε Πανάμωμε.

Σκότος τῶν παθῶν μου φωτεινὴ, νεφέλη ἔμψυχε, Μαρία Πάναγνε, τῇ φωτοφόρῳ σου φώτισον, ἱκεσίᾳ μητροπάρθενε· καὶ καταλάμπρυνον τὸν νοῦν· ἵνα σωζόμενος ἀνακράζω· φωτοκυῆτορ χαῖρε πανάσπιλε.

Ὄλβιος καὶ πλήρης φωτισμοῦ, ἡ σὴ πανάχραντε, πρεσβεία πέφυκε, τοῦ Κόσμου πάντα τὰ πέρατα, φωταυγίζουσα πανύμνημε, καὶ τὰς καρδίας τῶν πιστῶν, καταλαμπρύνουσα τῶν βοώντων· Φωτογεννῆτορ χαῖρε ἀμόλυντε.

Ὕμνος σοι ἐπάξιος οὐδεὶς, προσενεχθήσεται Κόρη ὁλόφωτε· σὺ γὰρ πανάχραντε τέτοκας, φωτοδότην ὑπὲρ ἔννοιαν, καταφωτίζοντα ψυχὰς, Χριστὸν τὸν Κύριον, τῶν βοώντων· φωτοκυῆτορ χαῖρε Παντάνασσα.

Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα.

Ὠδὴ, θ΄. Λίθος ἀχειρότμητος.

Ἄχραντε φωτώνυμε Κόρη, τῇ φωτοφόρῳ σου πρεσβείᾳ, φώτισον νοός μου τὰς κόρας, καὶ τὰς αἰσθήσεις πάσας τοῦ σώματος· ἵνα τὸ φῶς θεάσωμαι, τοῦ φωτοδότου καὶ Σωτῆρός μου.

**Μ**όνος ὑπερέβην Παρθένε, τῶν γηγενῶν τὴν πᾶσαν φύσιν, ἐν ταῖς ἀσωτίαις καὶ ὤφθην, κτηνῶν ἀλόγων ἀνοητότερος· ἀλλὰ φωτί με δέομαι, τῶν πρεσβειῶν σου φωταγώγησον.

**Η**μαρτον ὁ τάλας Παρθένε, ὑπερβαλλόντως ἀλλὰ σύ με, φώτισον καὶ ῥῦσαι τοῦ σκότους, τοῦ αἰωνίου καὶ καθοδήγησον, πρὸς τὴν ζωὴν τὴν ἄῤῥευστον, καὶ τὴν οὐράνιον ἀπόλαυσιν.

**Ν**ύμφη πανάμωμητε χαῖρε· χαῖρε ἀνύμφευτε Παρθένε· χαῖρε τῶν Ἀγγέλων ἡ δόξα καὶ Ἀποστόλων χαῖρε τὸ καύχημα· χαῖρε μαρτύρων στέφανε· καὶ τῶν ὁσίων ἀγαλλίαμα.

Προσόμοια. Ὡς γενναῖον ἐν Μάρτυσιν.

**Χ**αῖρε ἄχραντε Δέσποινα, τοῦ Θεοῦ τὸ παλάτιον· καὶ Ἀγγέλων χαῖρε τὸ ἀγαλλίαμα· Χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις· καὶ Εὔας ἡ λύτρωσις· Χαῖρε κλίμαξ νοητή, τοὺς θνητοὺς ἡ ἀνάγουσα, πρὸς οὐράνιον, καὶ ἀκήρατον δόξαν χαῖρε κράτος, ὀρθοδόξων βασιλέων, καὶ ἀῤῥαγὲς φυλακτήριον.

**Χ**αῖρε Κόρη Πανάμωμε, Ἱερέων ἀγλάϊσμα· καὶ βασιλευόντων χαῖρε διάδημα· Χαῖρε τοῦ ᾅδου ἡ νέκρωσις· Χαῖρε ἱλαστήριον· Χαῖρε βάθος λογισμοῖς, ἀνθρωπίνοις ἀμέτρητον· ὕψος ἄῤῥητον· ἡ χαρὰ τῶν πενθούντων· Χαῖρε σκέπη, τῶν πιστῶς σοι προστρεχόντων, καὶ δεομένων σου ἄχραντε.

**Χ**αῖρε πάσης τῆς κτίσεως, θαυμαστὸν δημιούργημα· τῆς Θεολογίας χαῖρε ὑπόθεσις· δογματικῆς χαῖρε ἔσχατον, ἄτομον τῆς φύσεως· Χαῖρε ἡ ἀκροστιχίς, τῶν Γραφῶν καὶ προῤῥήσεων, θείων Πάναγνε, χρησμοδότις, καὶ ἔκβασις τελεία· Χαῖρε δι ἧς προσκυνοῦμεν, μίαν Τριάδος Θεότητα.

**Κ**αὶ ψυχὴν καὶ τὸ σῶμά μου, καὶ διάνοιαν Πάναγνε, σοὶ τῇ Θεομήτορι προσανέθηκα· τῇ μὲν τὰ πρόσφορα αἴτησαι· τοῦ δὲ τὰ σκιρτήματα, ἀπονέκρωσον τὴν δέ, φωτὶ θείῳ σου λάμπρυνον, ἵνα εὔθυμος, ἐνοπτρίζωμαι δόξαν τῆς Τριάδος, καὶ ἀπαύστως μεγαλύνω, σὲ τὴν ὁλόφωτον Δέσποιναν.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ,

Ὠδὴ, α΄. ἦχος δ΄. Τριστάτας κραταιούς.

**Υ**ΠΕΡΦΩΤΕ λαμπάς, τοῦ ἡλίου τῆς δόξης, τῆς ψυχῆς μου τὸν πυρσὸν, σβεννύμενον ἀεί, ῥαθυμίᾳ ὑπάναψον, θείων ἔργων τῷ ἐλαίῳ, Παναγία ἐπάρδουσα· ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

**Ρ**αντίσασα σεμνή, μετανοίας ὑσσώπῳ, τὴν ῥυπῶσάν μου ψυχὴν, καθάρισον ταχύ, καὶ

τοῖς δάκρυσι πλύνασα, λεύκανον ὑπὲρ χιόνα, νοητὴν εὐφροσύνην μοι, ἀκουτίσασα καὶ ἀγαλλίασιν.

Η πόλις τοῦ Θεοῦ· τὸ τοῦ παμβασιλέως, θεοδόχον εὐαγὲς κειμήλιον σεπτὸν, Θεοτόκε Πανάμωμε, φρούρησον τὴν κληρουχίαν, τὴν ἀεὶ εὐφημοῦσάν σε, καὶ γεραίρουσαν πίστει τὸν τόκον σου.

Μακάριός ἐστιν, ὁ λαὸς Θεοτόκε, ὁ δοξάζων σε Θεοῦ, μητέρα ἀψευδῆ, καὶ ἀεὶ μακαρίζων σε, ἄχραντε καθὼς προεῖπας, ἱερῶς προφητεύουσα, ὁπηνίκα Χριστὸν ἔνδον ἔφερες.

Ωδὴ, γ'. Οὐκ ἐν σοφίᾳ.

Σὲ ἡ σοφία, τοῦ Θεοῦ καθαρώτατον σκήνωμα, εὑραμένη ἐκ τῶν σῶν, ἁγνῶν αἱμάτων σεσάρκωται, καὶ μετὰ τὴν κύησιν ἄφθορον ἔδειξεν.

Σὲ ἐν ἡμέρα, τῆς φρικτῆς ἐξετάσεως εὕροιμι, προστασίαν ἀψευδῆ, καὶ ἐν καιρῷ τῆς ἐξόδου μου, ὀξεῖαν ἀντίληψιν Θεογεννήτρια.

Σὲ προστασίαν, Παναγία παρθένε κεκτήμεθα· μεταποίησον ἡμῶν, εἰς χαρμονὴν τὴν κατήφειαν, καὶ θλίψεως λύτρωσαι γεννώσης θάνατον.

Σὺ Παναγία, ὑπεράγιον Λόγον κυήσασα, καθαγίασον ἡμῶν, καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, τῶν μακαριζόντων σε τὴν παμμακάριστον.

Ωδὴ, δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Στακτὴ θεία καὶ κασσία, ἀπὸ τῶν ἱματίων σου, Παναγία Κόρη· χάριτες ἁγνείας ἡδύπνοοι, εὐωδιάζουσαι κόλποις τοῦ Γεννήτορος, τὸν καθήμενον, ἐπὶ τοὺς σοὺς κόλπους ἤγαγον.

Η Βασίλισσα παρθένος, ἡ Θεὸν σωματώσασα· ἡ χρυσῆ λυχνία, λάμψον μετανοίας ἀκτῖνά μοι· ἡ τοῦ ἡλίου νεφέλη φωταγώγησον, τῆς καρδίας μου, τὰ νοητὰ αἰσθητήρια.

Η ἁγία Θεοτόκος, ἣν οἰκῆσαι εὐδόκησεν, ὡς εὐώδη οἶκον, Λόγος τῷ Πατρὶ ὁμοούσιος, οἶκόν με δεῖξον Παρθένε θείου Πνεύματος, τὸν κραυγάζοντα· Δόξα ἁγνὴ τῇ κυήσει σου.

Απειρόγαμε Μαρία, τὸ γλυκύτατον ὄνομα· καὶ ὑπὲρ χρυσίον, λίθον τε πολὺ τιμιώτερον· ὁ πολυτίμητος πλοῦτος καὶ ὑπέρτιμον, χρῆμα σῶσόν με, τὸν ἐπὶ σὲ καταφεύγοντα.

Ωδὴ, ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Ρυομένη φάνηθι ἐμὲ τῶν δυσχερῶν, καὶ πταισμάτων φθοροποιῶν, καὶ παθῶν καὶ θλίψεων καὶ περιστάσεων, τὸν πιστῶς ὑμνοῦντά σε, Θεοτόκε ἀειπάρθενε.

Η τὸν θεῖον ἄνθρακα κυήσασα σαρκὶ, τῶν παθῶν μου ἡδονῶν, τοὺς φλογώδεις ἄνθρακας δρόσῳ κατάσβεσον, τοῦ ἐλέους Δέσποινα, τῆς ἀφάτου εὐσπλαγχνίας σου.

Τὴν ψυχήν μου φύλαξον ὡς Κόρην ὀφθαλμοῦ, ἐν τῇ σκέπῃ σου ἀγαθὴ τῶν πτερύγων ἄχραντε, καὶ τῶν πνευμάτων με πονηρίας λύτρωσαι, τιμωρίας καὶ κολάσεως.

Εν ὅλῃ καρδίᾳ μου Θεοτόκε ἀγαθὴ, ἐξομολογεῖσθαι τῷ λυτρωτῇ, τὴν ἐμὴν ἀγάθυνον ψυχὴν ταλαίπωρον, ἐξωθοῦσα πώρωσιν, τῆς καρδίας μου Πανάμωμε.

Ωδὴ ϛ'. Ἐβόησε προτυπῶν.

Ἐμφύτευσον, τῇ ψυχῇ μου ὡς ξύλον πολύφορον, θεῖον φόβον, καὶ καρπὸν ἐνεγκεῖν καταξίωσον, ἀρετῶν ὁ ἔσω, ἐξ ὧν τρέφεται ἄνθρωπος Δέσποινα.

Ἀνάτειλον, μετανοίας ἀκτῖνά μοι Δέσποινα· καὶ τὰ νέφη πονηρῶν λογισμῶν διασκέδασον, ἡλίου νεφέλη, τοῦ τῆς δικαιοσύνης πανάμωμε.

Κατεύνασον, τῶν παθῶν μου τὸν ἄγριον κλύδωνα, καὶ τὴν ζάλην, πονηρῶν ἐννοιῶν ἐξαφάνισον, ἡ βεβαία πάντων, προστασία καὶ σκέπη Πανύμνητε.

Ἐπλήθυναν, ὑπερ ἄμμον θαλάσσης τὰ πταίσματα, τῆς ψυχῆς μου, καὶ ὡς φόρτος βαρὺς κατατρύχει με· ἀλλὰ σὺ Παρθένε, πρὸ τοῦ τέλους οἰκτείρασα σῶσόν με.

Κάθισμα. Ταχὺ προκατάλαβε.

Ἁγνὴ ἀπειρόγαμε, χριστιανῶν ἡ ἐλπίς· πτωχῶν ἀντιλήπτρια, τῶν θλιβομένων χαρά· πενθούντων παράκλησις· ῥῦσαί με συσχεθέντα, πειρασμοῖς ἀδοκήτοις· ἴασαί με νοσοῦντα, κατὰ σάρκα καὶ πνεῦμα· πρὸς σὲ γὰρ κατέφυγον μόνη πανάχραντε.

Ωδὴ, ζ'. Ὁ διασώσας ἐν πυρί.

Ἁγιωσύνης ἱερόν· ἐλεημοσύνης χωρίον· δικαιοσύνης ἀληθοῦς, ἐνδιαίτημα Δέσποινα δέομαι, δικαιώσασα σῶσόν με, δωρεὰν τὸν δικαιοῦντα Χριστὸν τεκοῦσα.

Ἔχεις τὸ δύνασθαι ἁγνὴ, πάντως ὡς τεκοῦσα Δεσπότην· τῆς Δεσποτείας με διό, ἡδονῶν καὶ παθῶν ἐλευθέρωσον· ἵνα κράζω τῷ τόκῳ σου· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Τὴν ἀποῤῥήτως ἐν γαστρὶ, καὶ ὑπερφυῶς δεξαμένην, τὸν ἀναλλοίωτον Θεὸν, εὐσπλαγχνίᾳ βροτοῖς ὁμιλήσαντα, οἱ πιστοὶ προσκυνήσωμεν, ὡς Μητέρα τοῦ Κυρίου εὐλογημένην.

Ῥῆξον πταισμάτων τὰς σειράς, τῇ σῇ Μητρικῇ παῤῥησίᾳ, τῶν εὐσεβῶς τε καὶ πιστῶς, μελῳδούντων τῷ τόκῳ σου πάναγνε· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ωδὴ, η'. Χεῖρας ἐκπετάσας.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, Παρθένος πέφηνας, ἄνθος βλαστήσασα, τὸν παντοδύναμον Κύριον, τὸν ἡμᾶς εὐωδιάσαντα, καὶ τὴν ὀσμὴν τὴν ἑαυτοῦ πᾶσι παρέχοντα τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἀνοίγεται πάλιν διὰ σοῦ, ὁ πρὶν Παράδεισος, καὶ ἐπεισάγεται, ὁ πρὶν κατάκριτος ἄνθρωπος, καὶ θεοῦται ἀληθέστατα, Θεοχαρίτωτε ἁγνὴ, βροτῶν τὸ φύραμα ἁγνὴ τῶν βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥῆξον τὸν κλοιόν μου τὸν βαρὺν, τῶν παραπτώσεων, Θεοχαρίτωτε, καὶ τὴν καρδίαν μου σύντριψον· τὴν ψυχήν μου καταλάμπρυνον· καὶ τοῦ νοός μου τὸ σαθρὸν στῆσον καὶ ἄστατον· ἵνα μέλπω, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Νοσοῦσαν Παρθένε τὴν ἐμὴν, ψυχὴν θεράπευσον, καὶ τὸν ἐνόντα μοι, παθῶν ἀπόπλυνον βόρβορον, καὶ τῷ βήματι παράστησον, τοῦ Παντοκράτορος Θεοῦ ὅλον σωζόμενον· ἵνα μέλπω· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ, θ'. Λίθος ἀχειρότμητος.

Σὺ τὸ ἐγκαλλώπισμα πάντων, τῶν ἐπὶ σοὶ ἐγκαυχωμένων· σὺ ἡ εὐφροσύνη τοῦ κόσμου· καὶ θυμηδία ἡμῶν τῶν δούλων σου· σὺ γλυκασμὸς καὶ ἔφεσις, τῶν σὲ ὑμνούντων Μητροπάρθενε.

Ὑμνοῦμεν τὴν ἄφατον δόξαν, καὶ τὴν ἀνείκαστόν σου χάριν· σὺ γὰρ εἶ πηγὴ τῆς σοφίας· ἐξ ἧς ὁ λόγος πᾶσι προέρχεται, τοῖς σὲ τιμῶσιν ἄχραντε, καὶ μεγαλύνουσι τὸν τόκον σου.

Ὤφθης Χερουβὶμ ἀνωτέρα· καὶ οὐρανῶν ὑψηλοτέρα, ἄχραντε Παρθένε Μαρία, βουλῆς μεγάλης Ἄγγελον τέξασα, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ συναΐδιον τῷ Πνεύματι.

Δέσποινα ἁγία Παρθένε, σὺ δωρεὰν οἰκτείρησόν με· οὐ γὰρ ἔχω ἄλλην ἐλπίδα. τῆς σωτηρίας δι᾽ ἧς σωθήσομαι, εἰμὴ τὴν σὴν ἀντίληψιν, καὶ τὴν βοήθειαν καὶ σκέπην σου.

Προσόμοια. Ὁ ἐξ ὑψίστου.

Χαῖρε φωτὸς καθαρώτατον δοχεῖον· Χαῖρε στύλε πύρινε τὸν νοητὸν Ἰσραὴλ, ἔνδον εἰς θείαν κατάπαυσιν, εἰσάγων μόνη· Χαῖρε νεφέλη τὸν μέγαν ἥλιον, κόσμῳ διαυγάσασα καὶ πρὸς τὸ ἄδυτον, φῶς τοὺς ἐν σκότει καθεύδοντας, τῆς ἀγνωσίας, μεταβιβάσασα Θεονύμφευτε· Χαῖρε Παρθένε· Χαῖρε Πάνσεμνε· Χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε φαιδρὸν ἐνδιαίτημα Κυρίου· Χαῖρε θρόνε πάγχρυσε· Χαῖρε λυχνία χρυσῆ· Χαῖρε κογχύλη ἡ βάψασα, ἐκ σῶν αἱμάτων, τῷ βασιλεῖ πορφύραν θεότευκτον· χαίροις πόλις ἔμψυχε· τίμιε στέφανε· καὶ κραταιὸν περιτείχισμα, βασιλευόντων, ἐν εὐσεβείᾳ χαῖρε ἀνίκητον, στρατευομένων θάρσος Πάναγνε· Χαῖρε πύλη Κυρίου Πανύμνητε· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε ναὲ πανυπέρτιμε Κυρίου· χαῖρε θεία τράπεζα ἄρτον βαστάσασα· Χαῖρε ἀπότιστος ἄμπελε, τὸν γλυκὺν βότρυν, ἡ ἐκβλαστήσασα χαῖρε ἥδιστον, ᾆσμα καὶ ἐντρύφημα τῶν οὐρανίων νοῶν· Χαῖρε τὸ ἄνθος τῆς φύσεως, Παρθενομῆτορ, τὸ ὡραιότατον καὶ πανεύοσμον· Χαῖρε τὸ κρῖνον, τὸ κροκόλευκον, καὶ ἡδύπνοον χαῖρε Παράδεισε, τῆς τρυφῆς τῆς ἀφθάρτου· Χαῖρε κόσμε πολυέραστε.

Ἐξαγορεύω ἁγνὴ σοι Θεοτόκε, τὰ δεινά μου πταίσματα· εἰ γὰρ καὶ κρύψω αὐτὰ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἀνοιγομένων, τῶν βίβλων πάντως φανερωθήσονται· ὄμματα ἐῤῥύπωσα βλέπων τὰ ἄτοπα· χεῖρας ἀθέσμως ἐμόλυνα, ταῖς αἰσχρουργίαις· σῶμα ἠχρείωσα ὁ ταλαίπωρος, καὶ τὴν ψυχήν μου ἐτραυμάτισα, ἁμαρτίαις, ἐλέησον οἴκτειρον· καὶ μερίδος με δεῖξον, σωζομένων ταῖς πρεσβείαις σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

## ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ ΣΜΥΡΝΗΣ.

Οὗ ἡ ἀκροστιχίς.

Κανὼν τέταρτος Παρθένῳ Μητροφάνους.

Ὠδὴ, α΄. ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

ΚΥΡΙΩΣ καὶ ἀληθῶς γεγέννηκας, Θεὸν καὶ Κύριον· καὶ Θεοτόκος μόνη ἀληθῶς, καὶ κυρίως ἐκλήθης ἁγνή· διὸ πιστῶς γεραίρομεν, καὶ κατὰ χρέος σε δοξάζομεν.

Ἀστὴρ ὁ τοῦ Ἰακὼβ ἀνέτειλεν, ἐκ σοῦ πανάχραντε, ὁ ἀριθμῶν τὰ πλήθη ὡς Θεὸς, τῶν ἀστέρων διὸ ταῖς αὐτοῦ, μαρμαρυγαῖς ἀπέλασον, τῆς ἁμαρτίας μου τὴν ζόφωσιν.

Νυμφῶνα τῆς τοῦ Θεοῦ σαρκώσεως, ἁγνὴ πανάχραντον, καὶ λογικὸν γινώσκων σε σαφῶς, ἱκετεύω ῥυσθῆναί με, παθῶν σαρκὸς καὶ πνεύματος, καὶ πειρασμῶν καὶ περιστάσεων·

Ὡς κλίμαξ τῆς πρὸς ἡμᾶς ἀφίξεως, τοῦ παντοκράτορος· δι᾿ ἧς Θεὸς κατῆλθεν ἐπὶ γῆς, ἐκ γηΐνων παθῶν τῆς σαρκὸς, πρὸς οὐρανὸν ἀνύψωσον, καὶ πρὸς Θεόν με χειραγώγησον.

Ὠδὴ, γ΄. Οὐκ ἐν σοφίᾳ.

Νάουσα κρήνη, θλιβομένοις παράκλησιν πέφηνας· διὸ Δέσποινα κἀμοὶ, πρεσβευτικῶν σου ναμάτων ῥοὴν, βλῦσον καὶ κατάσβεσον παθῶν τὴν κάμινον.

Τραυματισθέντα, λογισμῶν ἐξ ἀτόπων θεράπευσον, ἡ τῆς φύσεως ἡμῶν, ἰασαμένη πληγὴν χαλεπήν· τὸν ταύτης γὰρ τέτοκας πλάστην καὶ Κύριον.

Ἐν τῷ πελάγει, τῶν πολλῶν μου πταισμάτων πανάμωμε, καὶ παθῶν καὶ πειρασμῶν, κλυδωνιζόμενον τάχει πολλῷ, λιμένι καθόρμισον σῆς ἀντιλήψεως.

Τὸν ὡς ἐν πόκῳ, ὑετὸν θεϊκὸν ἐν τῇ μήτρα σου, δεξαμένη τὴν ἐμὴν φλογιζομένην πυρὶ τῶν παθῶν, καρδίαν ἐπόμβρησον ταῖς σαῖς δεήσεσιν.

Ὠδὴ, δ΄. Ἐπαρθέντα σε.

Ἀπὸ μύρων τοῦ υἱοῦ σου τῶν ἐκβλυζόντων, ὀσμὴν ζωῆς τοῖς ἅπασι, μῦρον ἀπαθείας, βλῦσον τῇ ψυχῇ μου ἁγνὴ, καὶ πάντα τὸν βόρβορον τῶν παθῶν αὐτῆς ἐξαφάνισον.

Ῥυπωθέντα με τοῖς σπίλοις τῆς ἁμαρτίας, τῶν πρεσβειῶν σου ῥάντισον ὑσσώπῳ καὶ πλῦνον, καὶ τοῦ μολυσμοῦ τῶν παθῶν, καθάρισον Δέσποινα, καὶ δεῖξον Χριστοῦ οἰκητήριον.

Τὴν γραφεῖσάν σε δακτύλῳ τῷ θείῳ βίβλον, ἐσφραγισμένην Πάναγνε λιτάζω δακτύλοις, γράψον μοι τῶν σῶν πρεσβειῶν, πταισμάτων τὴν ἄφεσιν, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ο ἐπ' ἄκρων τῶν ὀρέων ἁγίων πάντων, οἶκος Θεοῦ γενόμενος, ὡς πρὶν ὁ Προφήτης, ἔφησε Χριστοῦ καθαρὸν, ἀνάδειξον οἶκόν με, Δέσποινα ταῖς σαῖς ἀντιλήψεσιν.

Ωδὴ, ε'. Σὺ Κύριέ μου φῶς.

Σὲ δρόσον Ἀερμὼν, ἐν Σιὼν καταβαίνουσαν, γινώσκων Θεοκυῆτορ, δυσωπῶ κατασβέσαι, τὴν τῶν παθῶν μου κάμινον.

Παράδεισος ζωῆς, Θεοτόκε ὑπάρχουσα, θανάτου τῆς ἁμαρτίας, καὶ παθῶν πολυτρόπων, ἐκλύτρωσαί με τάχιον.

Ἀλάβαστρον ἁγνὴ, νοητὸν σὺ ὑπάρχουσα, τοῦ μύρου τοῦ κενωθέντος, ἐπὶ γῆς οὐρανόθεν, κἀμὲ νῦν εὐωδίασον.

Ῥεύσαντα πρὸς φθορὰν, ἀνεκτήσω τὸν ἄνθρωπον, διὰ τοῦ θείου σου τόκου, καὶ τῆς πρὶν ἀφθαρσίας, Παρθένε κατηξίωσας.

Ωδὴ, ς'. Θύσω σοι.

Θάλαμος, δεδοξασμένος ἔνδοξε Δέσποινα, τοῦ Βασιλέως τῆς δόξης, γεγονὼς ἐδόξασας τοὺς ἀνθρώπους· διὸ δόξης, ἀκηράτου κἀμὲ καταξίωσον.

Ἔστησας, τὴν φθορὰν νεμομένην τῆς φύσεως, δι' ἀκραιφνοῦς ἀφθορίας· ἀλλὰ στῆσον ἄχραντε καὶ παθῶν μου, τοὺς χειμάῤῥους, καὶ σαρκικοῦ φρονήματος ῥύακας.

Νέκρωσον, τὰς ἐμπαθεῖς κινήσεις τοῦ σώματος, καὶ τὴν σκιρτῶσάν μου σάρκα, τῷ νοΐ ὑπόταξον ὥσπερ πῶλον, χαλινοῦσα, τοῖς ἱμᾶσιν ἁγνὴ σῶν δεήσεων.

Νομίμων, ἀπεκύησας δίχα Πανάμωμε, τὸν ἀληθῆ νομοθέτην· ὃν δυσώπει νόμῳ τῆς ἁμαρτίας, τὴν ψυχήν μου, τροπουμένην οἰκτεῖραι καὶ σῶσαί με.

Κάθισμα. Ὁ ὑψωθείς.

Η ἀπὸ γῆς πρὸς οὐρανοὺς τεταμένη, ἄϋλος κλίμαξ μυστικῶς προετύπου, τὴν λογικὴν καὶ ἔμψυχόν σε κλίμακα· σὺ γὰρ τὸ μεσότειχον, τοῦ φραγμοῦ καθελοῦσα, ἥνωσας πανύμνητε, τὰ τὸ πρὶν διεστῶτα, τὸν οὐρανὸν συνάψασα τῇ γῇ, καὶ τοὺς βροτοὺς τοῖς Ἀγγέλοις συμμίξασα.

Ωδὴ, ζ'. Ἐν τῇ καμίνῳ.

Ως πυριφόρος, καὶ θεοδόχος οὖσα βάτος ἁγνὴ, φλέξον λογισμῶν ἀκάνθας τῶν πονηρῶν, τὴν ψυχήν μου δὲ καταύγασον, καὶ τὴν διάνοιαν, καὶ τῶν παθῶν τὴν ἄβυσσον ξήρανον.

Μεγαλωσύνην, ἐκ τοῦ αἰῶνος μόνη καὶ θεϊκὴν, δόξαν σὺ προδήλως εὗρες ἐπὶ τῆς γῆς, οὐρανὸς φανεῖσα δεύτερος· σὺ οὖν κατάργησον, τοὺς μεγαλαύχους ἐχθρούς μου δαίμονας.

Η θεία κρήνη, τῆς εὐσπλαγχνίας καὶ ἀγαθότητος, βλῦσον δαψιλῶς μοι πλοῦτον σῶν οἰκτιρμῶν, καὶ τὸν ῥύπον τῶν πταισμάτων μου, ἐναποπλύνασα, τὴν τῆς σαρκὸς κατάσβεσον πύρωσιν.

Τὸν ἐκ Θεοῦ μοι, χορηγηθέντα πλοῦτον Πνευματικὸν, πρώην τῶν ἀσώτως πάντα ταῖς ἡδοναῖς, κατηνάλωσα τοῦ σώματος· ἀλλ' ὡς τὸν ἄσωτον, ταῖς σαῖς λιταῖς Παρθένε δικαίωσον.

Ωδὴ, η'. Χεῖρας ἐκπετάσας.

Ρῆξον τῶν πταισμάτων μου σειρὰς, καὶ τὰς τοῦ σώματος, ὁρμὰς ἀνάστειλον· τῆς πονηρίας δὲ σύγκοψον, ἐνθυμήσεις καὶ καθάρισον, ἐκ τῶν κρυφίων λογισμῶν, τάχει τὸν δοῦλόν σου Θεοτόκε, πάντων προστάτις πιστῶν καὶ ἀντίληψις.

Ορος του Θεοῦ τὸ ἐμφανὲς, καὶ ἀλατόμητον, καὶ πῖον ἄχραντε, δασὺ καὶ σύσκιον σκέπασον, πυκασμῷ με σῶν δεήσεων· καὶ ἐκ παγίδος θηρευτῶν, ῥῦσαι καὶ φύλαξον ἀπὸ βέλους, δαιμονιώδους αἰσχρῶν ἐνθυμήσεων.

Φόβον με τὸν θεῖον συλλαβεῖν, καὶ Πνεῦμα Δέσποινα, τῆς κατανύξεως, ἐν τοῖς ἐγκάτοις μου ποίησον, καὶ τεκεῖν βίον ἐνάρετον, καὶ φοβερὸν τοῖς πονηροῖς, δαίμοσιν ἄχραντε καὶ τῆς θείας, δεῖξον Ἀγγέλων χορείας συνόμιλον.

Ανοιξόν μοι πύλη τῆς ζωῆς, τὰς θύρας τάχιον τὰς τῆς ἐλπίδος μου, καὶ καθοδήγησον ἄχραντε, πρὸς ζωὴν τὴν ἀτελεύτητον, καὶ βασιλείας οὐρανῶν, δεῖξον τὸν δοῦλόν σου κληρονόμον, θείας τε δόξης ἁγίων συμμέτοχον.

Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ παῖδες κραυγάζοντες· εὐλογεῖτε πάντα

Ωδὴ, θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Νεῦσον ταῖς δεήσεσιν ἁγνὴ τοῦ δούλου σου, καὶ συντόμως προκατάλαβε, καὶ τῶν λυπούντων καὶ κακούντων, ἐχθρῶν τῶν ἀοράτων με λύτρωσαι, καὶ σῶσον ἐξ ἀναγκῶν καὶ τῶν θλίψεων, καὶ πολυτρόπων περιστάσεων.

Ολον με πληγαῖς ἁμαρτιῶν ὑπάρχοντα, τραυματίαν καὶ κατώδυνον, ἴασαι πάναγνε Παρθένε καὶ ῥῦσαι πονηρῶν ἐνθυμήσεων, ἡ Λόγον τὸν παντοδύναμον τέξασα, τὸν ἀγαθόν τε καὶ φιλάνθρωπον.

Ὑπὲρ τοῦ πεσόντος πρὶν Ἀδὰμ εἰς θάνατον, τῷ θανάτῳ προσωμίλησεν, ὁ τῆς ζωῆς καὶ τοῦ θανάτου, δεσπόζων σὸς υἱὸς ὑπεράγαθε· διό με τῆς τῶν παθῶν παραπτώσεως, ταῖς σαῖς πρεσβείαις ἐξανάστησον.

Σῶσον Θεοτόκε τὸν εἰς σὲ προστρέχοντα, ἐκ κινδύνων καὶ συμπτώσεως, τῆς ἁμαρτίας καὶ τῆς ζάλης, τῶν σαρκικῶν παθῶν καὶ τοῦ κλύδωνος· καὶ βίου τῶν δυσχερῶν καὶ τῶν θλίψεων, καὶ τῆς μελλούσης κατακρίσεως.

Προσόμοια. Ἔδωκας σημείωσιν.

Χαῖρε καθαρώτατον, τοῦ βασιλέως παλάτιον· Χαῖρε νύμφη ἀκήρατε· Χαῖρε βάτε ἄφλεκτε· Χαῖρε θεία σκέπη πάντων προστασία· Χαῖρε ἀμόλυντε σκηνή· Χαῖρε Κυρία πάσης τῆς κτίσεως· χρυσοῦν θυμιατήριον· Χαῖρε πανθαύμαστε Δέσποινα· Χαῖρε θεῖε παράδεισε, ζωῆς ξύλον βλαστήσασα.

Χαῖρε τιμιώτατον. καὶ χρυσαυγὲς ἐνδιαίτημα. τοῦ ὑψίστου πανύμνητε, καὶ μήτηρ ἀνύμφευτε· Χαῖρε θεῖον τεῖχος, ἀπείρανδρε Κόρη· Χαῖρε λυχνία φωτεινή· παντὸς τοῦ Κόσμου χαῖρε ἐξίλασμα· τὸ ἄνθος τὸ τῆς πίστεως· Χαῖρε τυράννων θρασύτητα, τῇ ἀμάχῳ

δυνάμει σου, εὐσθενῶς καταράσουσα.

Χαῖρε ἡ πανάμωμος, ἀμνὰς Χριστοῦ ἀρχιποίμενος· Χαῖρε κρήνη ἀέννας, ἀμβροσίας ῥέουσα, νεκταρῶδες κρᾶμα· Χαῖρε μυροθήκη, τοῦ νοητοῦ μύρου χρυσῆ, τὴν δυσωδίαν εὐωδιάζουσα, παθῶν χαῖρε ἀπείρανδρε, Ἀγγέλων τίμιον ἄγαλμα· καὶ βροτῶν ἐγκαλλώπισμα, τῶν πιστῶς δοξαζόντων σε.

Πᾶσαν τὴν ἐλπίδα μου, ὁ δυστυχὴς καὶ πανάθλιος, ἐπὶ σὲ ἀνατίθημι, πανάχραντε Δέσποινα ὁλοψύχῳ νεύσει· μή με ἀποῤῥίψῃς, ἀπὸ προσώπου σου ἁγνή, μηδὲ βδελύξῃ με τὸν ἀνάξιον· μὴ σπλάγχνα σου φιλάνθρωπα, κλείσῃς μοι Μήτηρ φιλάγαθε· ὅτι ἄλλην οὐ κέκτημαι, προστασίαν ὁ δοῦλός σου.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΝΙΚΑΙΑΣ ΚΑΙ ΓΡΑΠΤΟΥ.

Ἔχων ἀκροστιχίδα ταύτην.

Αἴνων ἀπαρχὰς εἰσάγω σοι Κυρία. Θεοφάνης.

Ὠδὴ, α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

ΑΙΣΘΗΣΕΩΝ· Δέσποινα, διπλῆν πεντάδα συνέτισον· δεκάχορδον ὄργανον δεῖξον σῇ χάριτι, τὴν ὑπέρχρονον, σοφίαν ἡ τεκοῦσα· ἁρμόνιον ὅπως σοι ᾄσω μελῴδημα.

Ἰσχύϊ Πανάμωμε, βουλῆς μεγάλης ὁ Ἄγγελος· ὁ πάντα στησάμενος, ἐκ τοῦ μὴ ὄντος τὸ πρίν, ἐπεδήμησεν, ἐκ σοῦ δι' εὐσπλαγχνίαν, καὶ σχίσας τὸν κώδικα λύσιν δεδώρηται.

Νεφέλην σε ἔμψυχον, τοῦ Πατρικοῦ ἀπαυγάσματος, γινώσκομεν Δέσποινα, ἀνατολὴν τοῦ φωτὸς, τοῦ φωτίσαντος, ἡμῶν τὴν ἀκοσμίαν, καὶ πάντας ἑλκύσαντος πρὸς τὰ οὐράνια.

Ὡράθης ἀσύγκριτος, κόσμος τῶν ἄνω δυνάμεων, καὶ πάσης τῆς κτίσεως, Θεογεννῆτορ ἁγνὴ ἡ θεώσασα, τὴν φύσιν τῶν ἀνθρώπων, καὶ ᾅδην νεκρώσασα μόνη τῷ τόκῳ σου.

Ὠδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Νενίκηνται φύσεως οἱ ὅροι, καὶ λέλυνται νόμοι φυσικοί, τῇ ὑπὲρ νοῦν λοχείᾳ σου, Παρθενομῆτορ ἄχραντε· ἐκ σοῦ γὰρ ὁ ἀνείδεος, σαρκὸς τὸ εἶναι προσείληφεν.

Ἀμίαντον κλίνην Σολομῶν σε, κατεῖδεν ἑξήκοντα σοφοῖς, πυργουμένην Δέσποινα, ἐν ᾗ ὁ Θεὸς τὸ πρόσλημμα, ἀνακλιθεὶς προσέλαβε, καὶ τοῖς βροτοῖς προσωμίλησεν.

Πορφύραν ἁγνῶν σου ἐξ αἱμάτων, ὁ λόγος φορέσας τοῦ Θεοῦ, δίχα τροπῆς καὶ φύρσεως,

καὶ τοῦ Ἀδὰμ τὴν γύμνωσιν, καλύψας περιέβαλε, τὴν θεϊκὴν ὡραιότητα.

Ἀστέκτου Θεότητος χωρίον, καὶ πόλις ἡ ἔμψυχος Θεοῦ, σὺ ὤφθης Παναμώμητε, ἐν ᾗ μεγάλα εἴργασται, τῆς ἀποῤῥήτου γνώσεως, ἃ ἐξ αἰῶνος οὐκ ἤκουσται.

Ωδὴ, δ΄. Ὁ καθήμενος.

Ῥεῖθρον ζῶν ἀθανασίας, οἷα κρήνη πηγάσασα, τὸ τῆς εὐσπλαγχνίας, νέκταρ τὸ γλυκὺ καὶ χρυσόῤῥειθρον, τοὺς φλεγομένους ἐν δίψει ἡ δροσίζουσα· ὁ Παράδεισος, ὄντως ὁ πάντερπνος Δέσποινα.

Χρυσαυγίζουσαν λυχνίαν, ἐπταφώτοις χαρίσμασι, σὲ ἐκ παντὸς γένους, ἥλιος Χριστὸς ἐξελέξατο, καὶ κατελθὼν τῶν ἀδύτων ἐνυμφεύσασο, ἀπειράνδρως τὴν σάρκα βροτῶν εἰς ἀνάπλασιν.

Συνοχέα ἀποτίκτεις, τοῦ παντὸς τὸν συνάψαντα, εἰς ταυτὸ τὰ ἄκρα, καὶ τὰ διεστῶτα ἑνώσαντα· δι' ἧς τὰ ἄνω τοῖς κάτω συγχορεύουσι, καὶ δοξάζουσι πάντα ὡς πρόξενον Δέσποινα.

Ἐργαστήριον τῶν δύω, τῆς ἑνώσεως φύσεων, σὺ ὑπῆρξας Κόρη, ὑπὲρ νοῦν καὶ λόγον καὶ ἔννοιαν, ἐξ ἧς ὁ πάντων Δεσπότης ἐξυφάνατο, οὐ τροπῇ ἀλλ' ἑνώσει φορέσας τὴν σάρκωσιν.

Ωδὴ, ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἰσχύς μου καὶ ὕμνησις, ὑπάρχεις Παναμώμητε· ἔρεισμα στεῤῥὸν τῆς ἀληθείας· τῆς εὐκληρίας ἡ ἐπανάκλησις· ἐν ᾗ ἀνατίθημι σεμνὴ, πᾶσαν τὴν ἐλπίδα μου, καὶ ζωῆς τὴν ἀπόλαυσιν.

Σεμνὴ χαριτόπλοκος, σὺ εἶ φύσιν τὴν ἄστεκτον, κρύψασα Θεότητος ἐν μήτρᾳ, ἀναλλοιώτως ἐν ὑποστάσει μιᾷ· δι' ἧς σαρκοφόρος ὁ Θεὸς, πᾶσιν ἀναδέδεικται, καὶ βροτὸς ὑπερούσιος.

Γλυκεῖα σὺ θάλασσα, ἀλλ' ὅμως ἀδιάβατος, ἄρδην ἡ βυθίσασα τριστάτας, καὶ ἀναβάτας σὺν νοητῷ Φαραῷ· καὶ σώσασα νέον Ἰσραὴλ, πόλιν εἰς οὐράνιον, καὶ λιμένα γαλήνιον.

Ὡραίως ὑπέρκεισαι, καὶ θαυμαστῶς ἐν κάλλεσι, νύμφη ᾀσματίζουσά σοι κράζει· δι' ἧς φοιτήσας, ὁ ἐραστὴς τῶν καλῶν, εὐγένισε Δέσποινα βροτῶν, φύσιν καὶ διέσωσεν, ἐκ χειρὸς τοῦ ἀλάστορος.

Ωδὴ, ϛ΄. Τὴν θείαν ταύτην.

Σοφίαν λόγον κηρύττομεν, υἱὸν τὸν τοῦ Πατρὸς προαιώνιον, ἐπισκηνώσαντα, οὐσιωδῶς ἐν τῇ μήρᾳ σου, καὶ τῇ ἀρίστῃ πλάσει ἡμᾶς θεώσαντα.

Ὁ στήσας ὄρη τῷ νεύματι, σὲ ὄρος νοητὸν καθυπέδειξε, Θεοχαρίτωτε, ταῖς ἀρεταῖς ὂν κατάσκιον· ἐξ οὗ αὐτὸς τὴν σάρκα κατελαξεύσατο.

Ἰῷ δηχθεῖσα τοῦ ὄφεως, τὸ γένος ἡ Προμήτωρ διώλεσεν, ἐκ σῆς δὲ Πάναγνε, ἀνερμηνεύτου κυήσεως, θεοῦται πᾶσα φύσις τρόπῳ βελτίονι.

Κηρύττω βλέπων τὰ θαύματα, τὰ πέρα νοῦ καὶ γνώσεως Πάναγνε· πῶς ὁ ἀχώρητος, ἐν σοὶ ἀῤῥεύστως κεχώρηται! πῶς χρηματίζει κτίσμα ὁ κτίστις Δέσποινα.

Κάθισμα. Ταχὺ προκατάλαβε.

Εχθροῖς παρατάχθητι, τοῖς πολεμοῦσιν ἡμῖν· δεινῶς γὰρ ἐπέθησαν, τῇ κληρουχίᾳ τῇ σῇ· Μαρία Παντάνασσα, ὄλεσον αὐτοχείρως, τῶν βαρβάρων τὰ θράση· γνώτωσαν τὴν ἰσχύν σου, φιλοπόλεμα ἔθνη· τῷ θείῳ σου νεύματι πάντας ἀφάνισον.

Ωδὴ, ζ. Οὐκ ἐλάτρευσαν.

Υπερίπταται, τὸ ξένον τῆς λοχείας σου, πᾶσαν διάνοιαν· σωματικῶς γὰρ γραφεὶς, ὁ φύσει ἀπρόσιτος καὶ ἀπερίγραπτος, καθυπέγραψε, βίβλῳ ζωῆς τοὺς δούλους σου, Παναγία Θεοτόκε.

Ρητορεύσεις, προφητόφθεγκτοι πεπλήρωνται, ἐν σοὶ Θεόνυμφε· τὸν γὰρ κοσμήτορα σὺ, τοῦ Κόσμου γεννήσασα, πάντας ἐκόσμησας, καὶ ἐφώτισας, εὐλογημένη Πάναγνε, τῶν βροτῶν ἡ σωτηρία.

Ισοδύναμον, Πατρί τε καὶ τῷ Πνεύματι λόγον ἐκύησας, τὸν ἐν δυσὶν ἀγαθὴ, οὐσίαις ὑπάρξαντα μίαν ὑπόστασιν· ὑπερύμνητε, εὐλογημένη Δέσποινα τῶν βροτῶν ἡ σωτηρία.

Αθεώρητον, βυθὸν κατανοοῦμέν σε, καὶ ὕψος ἄρρητον, Παρθενομῆτορ βροτῶν, τὴν φύσιν ὑψώσασα τῷ θείῳ τόκῳ σου· ὑπερύμνητε, εὐλογημένη Δέσποινα, τῶν βροτῶν ἡ σωτηρία.

Ωδὴ, η'. Παῖδας.

Θεῖος θησαυρὸς πάσης ἁγνείας· καὶ σκήνωμα παρθενίας θεοχάρακτον, ὤφθης Θεονύμφευτε· κρῖνον εὐωδέστατον, τοῦ φυτουργοῦ τῆς Κτίσεως καὶ θεῖον τέμενος· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπεριψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Εφερες τὸ πῦρ ὥσπερ ἡ βάτος, ἐν μήτρᾳ ἀφλέκτως τῆς Θεότητος, λύουσα Πανάμωμε, Εὔας τὴν ἀπότισιν, καὶ ὀφειλὴν Πανύμνητε τῷ θίῳ τόκῳ σου· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπεριψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ολον με ἀνείληφεν ἀῤῥεύστως, ἀτρέπτως καὶ ἀσυγχύτως καθ᾽ ὑπόστασιν, λόγος ὁ παντέλειος, ὅλον με ἐθέωσε, τῇ συναφείᾳ Δέσποινα ὅλως τῇ κρείττονι· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φύσεως φοιτήσας ὁ τεχνίτης, ἐξ ὄρους τῆς ἀνυμφεύτου Θεομήτορος, βρέφος ὑπομάζιον, χερσὶ καθορᾶται νῦν, ταῖς μητρικαῖς φερόμενον, καὶ πάντας ἤγειρε, Μητέρα τὴν αὐτοῦ ἀνυμνῆσαι, καὶ δοξολογῆσαι ὡς μόνην Θεοτόκον.

Ὁ Εἱρμός.

Παῖδες εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ωδὴ, θ'. Ἅπας γηγενής.

Αρμα φωτεινὸν, τοῦ λόγου ὑπάρχουσα· ἅρμα πυρίμορφον· ἅρμα πολυώνυμον, ἀΰλων θρόνων ἅρμα ἀσύγκριτον, τοῦ θεϊκοῦ στηρίγματος ἅρμα χρυσόπλοκον, τοῦ υἱοῦ σου, ἅρμα με ἀνάδειξον, ἀπαθείᾳ νοὸς Θεονύμφευτε.

Νέον οὐρανὸν, ὁ πάντων ἐπέκεινα σὲ κατεσκεύασεν, οὐρανῶν ἀνώτερον, καὶ πάσας πόλου δυνάμεις ἔλαθε, καὶ κατελθὼν ἐνῴκησεν ὅλος ἐν μήτρᾳ σου, ἀποῤῥήτως μὴ ἐκστὰς Θεόνυμφε, τῆς πατρῴας μονῆς ἢ τῆς φύσεως.

Ἥλιος φαιδρὸς, ἐφίλησε Δέσποινα σοῦ τὸ ἀμόλυντον, καὶ κατενυμφεύσατο, ἀῤῥίτῳ λόγῳ εἰς ἀναζώωσιν, τῆς τεθνηκυίας φύσεως· ὅθεν ἐκ πόθου σε, εὐφημοῦμεν πίστει καὶ γεραίρομεν, θεϊκῆς ὡς αἰτίαν μεθέξεως.

Στῆσον τῶν παθῶν, τὸν σάλον Πανάμωμε ἐκ τῆς καρδίας μου· παῦσον τὰ σκιρτήματα, τὰ τῆς σαρκός μου· τὸν νοῦν ἐδραίωσον, πρὸς θεωρίαν ἄϋλον, καὶ λογισμῶν τὰς ὁρμὰς, τὰς ἀτάκτους τρέψον πρὸς ἀπάθειαν, καὶ μελλούσης ζωῆς καταξίωσον.

Προσόμοια. Ὡς γενναῖον ἐν.

Χαῖρε θείων δυνάμεων, ἀγαλλίαμα Δέσποινα· Χαῖρε Ἀποστόλων τὸ σεμνολόγημα· Χαῖρε Μαρτύρων στεφάνωμα· ὁσίων τὸ καύχημα, Ἀσκητῶν Ἱεραρχῶν, Προφητῶν περιήχημα· ἀνωτέρα τε, ποιημάτων ἁπάντων Θεοτόκε· καὶ Ἀγγέλων καὶ ἀνθρώπων, τὸ περιβόητον ἄκουσμα.

Χαῖρε σκήνωμα ἅγιον, τοῦ Δεσπότου τῆς κτίσεως· Χαῖρε Θεοτόκε· Χαῖρε πανάσπιλε· Χαῖρε λυχνία ὁλόφωτε· Χαῖρε πόλις ἔμψυχε· Χαῖρε γέφυρα θνητοὺς, πρὸς ζωὴν ἡ μετάγουσα· Χαῖρε ἄμωμε, Παναγία Παρθένε· Χαῖρε μόνη τὰ ἐπίγεια τοῖς ἄνω, τῇ σῇ κυήσει ἑνώσασα.

Χαῖρε πύλη χρυσήλατε· Χαῖρε θρόνε πυρίμορφε· Χαῖρε ἀγλαόχρυσε θεία τράπεζα· Χαῖρε χρυσόπλοκε θάλαμε· χλαμὺς ἁλουργόχροε· Χαῖρε ἅρμα φωτεινόν· Χαῖρε σκήνωμα ἔνδοξον· Χαῖρε τέμενος, ἀστραπόμορφον χαῖρε τῆς ψυχῆς μου, ἡ εὐπρέπεια καὶ κάλλος· Παρθενομῆτορ θεόνυμφε.

Μυριάκις Πανάμωμε, ὑπεσχόμην μετάνοιαν, τῶν ἐμῶν ποιήσασθαι, παραπτώσεων· ἀλλ' οὐκ ἐᾷ με ἡ φαύλη μου, τῶν κακῶν συνήθεια· διὰ τοῦτό σοι βοῶ, καὶ προσπίπτω σὺν δάκρυσι, καὶ σοῦ δέομαι· ἐξελοῦ με τοιαύτης τυραννίδος, ὁδηγοῦσα πρὸς τὰ κρείττω, καὶ σωτηρίας ἐχόμενα.



# ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΗΛΙΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΕΚΔΙΚΟΥ.

Ἔχων ἀκροστιχίδα,

Ἡλιοῦ παράκλησις τῇ Θεοτόκῳ.

Χωρὶς τῶν ὑστέρων Τροπαρίων.

Ωδὴ, α΄. ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Η ΜΟΝΗ ἐν πειρασμοῖς καὶ θλίψεσιν, ὑπερασπίζουσα, τῶν ὑπὸ σκέπην πάναγνε τὴν σὴν, προσφευγόντων θερμότατα, δέχου ὡς ὑπεράγαθος, τὴν ἐκ καρδίας μου παράκλησιν.

Λιμένα ἐφευρηκὼς σε ἄκλυστον, ὁ ἀσυνείδητος, τὰς τῶν κινδύνων τε καὶ ἀναγκῶν, προσβολὰς ἀποκρούομαι, καὶ εὐχαρίστως ᾄδω σοι, τὴν ὑμνῳδίαν ἀειπάρθενε.

Ιλέῳ καὶ εὐμενεῖ σου ὄμματι, Θεογεννήτρια, ἐν περιστάσει καὶ ἐν συμφορᾷ, συσχεθέντα ὁρῶσά με, τάχιον ἐλευθέρωσον· σὲ γὰρ αἰτοῦμαι βοηθῆσαί μοι.

Η Εὔα τῆς καταδίκης σέσωσται, καὶ ὁ Ἀδὰμ διὰ σοῦ· μεθ' ὧν κἀγὼ, προσπίπτω σοι ἁγνή· τὰ τῆς λύπης μου δάκρυα, νῦν εἰς χαρὰν μετάβαλε, καὶ τῶν κινδύνων ἐλευθέρωσον.

Ωδὴ, γ΄. Τόξον δυνατῶν.

Οπλον ἀῤῥαγὲς καὶ τεῖχος σε, κεκτημένος τρέπω τῶν ἐναντίων τὰς φάλαγγας· καὶ ὑμνῶ σου τὰ μεγαλεῖα Θεοτόκε ἀπειρόγαμε.

Υλην σκεδαννύεις θλίψεων, καὶ κατασβεννύεις τῆς ἀπογνώσεως ἔκκαυμα· τίς γὰρ ἄλλος ὡς σὺ Παρθένε, πλὴν Κυρίου παντοδύναμος;

Πρόσχες τῇ κραυγῇ τοῦ δούλου σου, τῆς σῆς δεομένου ἐπικουρίας Μητρόθεε· ἡ ἐλπίς μου εἰσάκουσόν μου, καὶ κατάσπευσον τοῦ σῶσαί με.

Νεῦσον ἀγαθὴ σωθῆναί με· τὸν γὰρ θείῳ νεύματι τὸ πᾶν περιάγοντα, ἐσωμάτωσας Θεὸν Λόγον, ὑπὲρ λόγον καὶ διάνοιαν.

Ωδὴ, δ΄. Ἐπαρθέντα σε.

Αναιροῦσα τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὡς τὴν ψυχήν μου σπεύδοντας δεινῶς συλλαβέσθαι, φύλαξόν με Δέσποινα, ἐν σοὶ ἀνεπίβουλον· ἵνα γηθοσύνως δοξάζω σε.

Ρυομένη με ἐκ γλώσσης δολιολάλου, ἡ ἀγαθὴ προστάτις μου ἀπρόσκοπον δεῖξον, ταῖς τοῦ βίου πράξεσι· πολλὰ γὰρ καὶ δύνασαι, ὡς τοῦ κτίστου μήτηρ ὑπάρχουσα.

Ακεσώδυνον γινώσκων σε ἰατρεῖον, ὁ ἀσθενὴς τῷ πνεύματι καὶ σώματι κράζω· ἴασαί με

Δέσποινα· ἐλέησον σῶσόν με, σοὶ τὸν προσφυγόντα οἰκέτην σου.

Ὡς ἐγκώμιον Ἀγγέλων καὶ τῶν ἀνθρώπων, σὲ ἀνυμνοῦμεν ἅπαντες Παρθένε Μαρία, καὶ πιστῶς δεόμεθα· ἱκέτευε Δέσποινα, ὅπως συμφορᾶς λυτρωθείημεν.

Ωδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Κατεύθυνον ἁγνή, τὴν εὐχὴν τοῦ οἰκέτου σου, πρὸς Κύριον τὸν υἱόν σου· ἵνα εὕρω τὴν λύσιν, τῶν πολλῶν παραπτώσεων.

Λύτρωσαί με παθῶν, καὶ κινδύνων θεόνυμφε· σὲ ἔθετο ὁ Θεὸς γάρ, πρὸς αὐτὸν μεσιτείαν, τῆς ἐμῆς ταπεινώσεως.

Η σκέπη μου σὺ εἶ, ἡ χαρὰ καὶ ἡ καύχησις, ὦ Δέσποινα Θεοτόκε· παρορᾶς γὰρ οὐδόλως, τοὺς εἰς σὲ καταφεύγοντας.

Νῦν αἴτησαι ἡμῖν, τῶν πταισμάτων τὴν ἄφεσιν, καὶ λύτρωσαι τῶν κινδύνων, καὶ παθῶν ἀκαθάρτων, πρεσβείαις σου πανύμνητε.

Ωδὴ, ϛ΄. Θύσω σοι.

Σθένος μοι, αὐτὴ ὑπάρχεις ἄχραντε Δέσποινα, ἐν ταῖς εὑρούσαις με σφόδρα, ἀδοκήτοις θλίψεσι καὶ βοῶ σοι· ὡς μεγάλη, ἡ παναλκής σου σκέπη τῷ δούλῳ σου.

Ιασαι, τὰ τῆς ψυχῆς μου τραύματα ἄχραντε· ἀντιλαβοῦ μου Παρθένε, καὶ ἐκλύτρωσαί με συκοφαντίας, ἐπηρείας, συστροφῆς τε ἀδίκου τὸν δοῦλόν σου.

Σύντριψον, τοὺς κατ᾽ ἐμοῦ ἀεὶ τοῦ οἰκέτου σου, βουλευομένους ἀδίκως, καὶ μὴ καταλίπῃς με ἀπωλέσθαι· ὅτι πάντα, δυνατά σοι ὡς Θεομήτορι.

Κοίμισον, τῆς ψυχῆς μου τὸν ἄγριον κλύδωνα· ὅτι μοι πλῆθος πταισμάτων, πειρασμῶν καὶ θλίψεων τῷ σῷ δούλῳ, ἐπανέστη· ἀλλ᾽ αὐτή με διάσωσον Δέσποινα.

Κάθισμα. Ταχὺ προκατάλαβε.

Υμνοῦμέν σε Θεόνυμφε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, δοξάζοντες τὸν τόκον σου τὸν ἀκατάληπτον· δι᾽ οὗ ἐλυτρώθημεν, πλάνης τοῦ διαβόλου, καὶ παντοίων κινδύνων, Δέσποινα Θεοτόκε καὶ πιστῶς ἐκβοῶμεν· ἐλέησον τὴν Ποίμνην σου Κόρη Πανύμνητε.

Ωδὴ, ζ΄. Ὁ διασώσας.

Τοὺς ἐκ τῆς Ἄγαρ δυσμενεῖς, τάχιον ὀλλύουσα ξίφει, τῶν προσευχῶν σου Μαριάμ, τὸν λαὸν καὶ τὴν ποίμνην σου φύλαττε, τῷ υἱῷ σου κραυγάζοντα· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Η κιβωτὸς ἡ νοητή, δέξαι με πρὸς σὲ πεφευγότα· μὴ καταλάβῃ με ἐχθρός, ἀνελεῖν ἐκδιώκων με ψάλλοντα, τῷ υἱῷ σου μητρόθεε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοκυῆτορ Μαριάμ, πρόφθασον τὸν δοῦλόν σου τάχος, ἐν τρικυμίαις πειρασμῶν, κινδυνεύοντα καὶ ἀπορούμενον, βοηθείας κράζοντα· ἡ ἐλπὶς ἀπηλπισμένων ἐλέησόν με.

Τοὺς ἀνθρωπίνους πειρασμούς, ὡς ἁμαρτημάτων αἰτίους, νῦν Θεοτόκε ἀγαθή, διασκέδασον θείαις πρεσβείαις σου, καὶ τοὺς δούλους σου λύτρωσαι, ἐνοχῆς τῆς τῶν πταισμάτων καὶ πάσης βλάβης.

Ωδὴ, η'. Λυτρωτὰ τοῦ παντός.

Ἐπανέστη ἡμῖν ἔθνος ἄνομον, ἐγκαυχώμενον θραῦσαι τοὺς λάτρας σου· ὅ διελοῦσα ἄχραντε, τοὺς κραυγάζοντας σκέπε· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὅτι σύ μου ἰσχὺς καὶ βοήθεια, οὐ πτοοῦμαι ἐχθρῶν προσοχθίσματα· ἀλλ' ἀνυμνῶ σε Δέσποινα, καὶ βοῶ τῷ υἱῷ σου· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Τῇ δεήσει μου νῦν παρακλήθητι, καὶ χαρὰν ἀντὶ λύπης μοι δώρησαι· ἵνα ὑμνῶ σε Δέσποινα, καὶ βοῶ τῷ υἱῷ σου· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Οἱ πολλοί σου ἡμᾶς διασώζουσιν, οἰκτιρμοὶ Παναγία Μητρόθεε· ἁμαρτημάτων κρίσεως, καὶ ποικίλων κινδύνων, σὺ γὰρ τεκοῦσα, τὸν Θεὸν ἐλεεῖς κόσμον ἅπαντα.

Ὁ Εἱρμός.

Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν, πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ωδὴ, θ'. Εὔα μὲν τῷ

Ὅπλα μὲν ἡμῖν ἐξακονῶν βουλεύεται, ὁ ἀλάστωρ ἅραψ ἄνομα· σὺ δὲ Παρθένε Θεοτόκε, τῷ κράτει τοῦ Σταυροῦ καὶ πρεσβείαις σου, ὁπλίζεις κατ' αὐτοῦ τοὺς οἰκέτας σου· ὅθεν κηρύττομεν τὴν δόξαν σου.

Κράτος μὲν μοι σὺ τὸ κατ' ἐχθρῶν δεδώρησαι, καὶ λυτροῦσαι τῶν κινδύνων με· τί δὲ ἐγώ σοι προσενέγκω; ὄντως ἐπαπορῶ· ὅμως Δέσποινα, ὃ ἔχω εὐχαριστίαν προσφέρω σοι· πρόσδεξαι ταύτην οὖν καὶ σῶσόν με.

Ὦ Μῆτερ τοῦ πάντων ποιητοῦ ὁλόφωτε, λυπουμένων παραμύθιον· κινδυνευόντων προστασία· καὶ καταπονουμένων ἀντίληψις· ταχεῖα τῶν ἀσθενούντων ἐπίσκεψις· μέχρι ζωῆς μου τέλους φύλαττε.

Στενούμενον πταίσμασι πολλοῖς Πανύμνητε, καὶ κινδύνοις μὴ παρίδῃς με· νῦν σοι αἰνέσεως θυσίαν, προσάγω ἐκτενῶς ἀνακράζων σοι· ἁγία Θεοτόκε βοήθει μοι· σὲ γὰρ δοξάζων τὴν ᾠδὴν ἐκπληρῶ.

Προσόμοια. Ἔδωκας σημείωσιν.

Χαῖρε τὸ ἡδύπνοον, ῥόδον ἡ μόνη βλαστήσασα· Χαῖρε κάλλος πολύευκτον· Χαῖρε ἀπειρόγαμε· Χαῖρε σκεῦος θεῖον, πολυτίμου μύρου· χαῖρε δι' ἧς πρὸς οὐρανὸν, οἱ πρὶν τεθνήξαντες ἀνηνέχθημεν, εἰς χάος ὀλισθήσαντες, τῇ κακουργίᾳ τοῦ ὄφεως· τῶν πιστῶν φυλακτήριον, ἀῤῥαγὲς χαῖρε ἄμωμε.

Χαῖρε τὸ ἀκένωτον, ῥεῖθρον ζωῆς ἡ πηγάσασα· Χαῖρε ῥάβδος βλαστήσασα, ἄνθος τὸ ἀμάραντον σεμνὴ Παναγία· Χαῖρε Θεοτόκε· Χαῖρε παγκόσμιος χαρά· Χαῖρε δι' ἧς Ἐδὲμ ἀπελάβομεν· Χαῖρε ἡ μόνη σβέσασα, τῆς ἀθεΐας τὴν κάμινον· τοῦ Ἀδὰμ χαῖρε ἔγερσις, τοῦ πεσόντος Πανύμνητε.

Χαῖρε τιμαλφέστατον, τοῦ Βασιλέως παλάτιον· Χαῖρε νύμφη ἀκήρατε· Χαῖρε βάτε ἄφλεκτε· Χαῖρε θεία κλίνη· Χαῖρε προστασία, τῶν πεποιθότων ἐπὶ σοί· Χαῖρε Κυρία πάσης τῆς κτίσεως· Χρυσοῦν θυμιατήριον· Χαῖρε πανθαύμαστε Δέσποινα· Χαῖρε θεῖε Παράδεισε, ζωῆς ξύλον βλαστήσασα.

Κλαίω καὶ ὀδύρομαι, τῶν πειρασμῶν νῦν τὴν κάμινον, κατ' ἐμοῦ ἀγριαίνουσαν, ὁρῶν ὁ πανάθλιος· ἀλλὰ σοὶ Παρθένε, προσπίπτω ὁ τάλας, μή με παρίδῃς ἀγαθή· μηδ' ἀποῤῥίψῃς με τὸν ἀνάξιον· χαρᾶς δὲ τὴν καρδίαν μου, πλῆσον χαρὰν ἡ κυήσασα· μὴ βυθός με τῶν θλίψεων, καταπίῃ τὸν δείλαιον.

## ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

Ωδὴ, α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

ΤΟΝ νοῦν μου ὁδήγησον, τῇ φωταυγεῖ μεσιτείᾳ σου, πρὸς Κύριον ἄχραντε, ὃν ἐσωμάτωσας· ἵνα πίστει σου, ὑμνῶ τὰ μεγαλεῖα· βοήθεια πέλεις γὰρ πάντων καὶ λύτρωσις.

Παλάτιον ἔμψυχον, τοῦ Παντοκράτορος ἄχραντε, Θεοῦ ὡς ὑπάρχουσα, ναοὺς ἀπέργασαι, τοῦ Κυρίου σου, τοὺς πόθῳ σε ὑμνοῦντας· βοήθεια πέλεις γὰρ πάντων καὶ λύτρωσις.

Πηγὴ ὡς ὑπάρχουσα, θείων χαρίτων Πανάμωμε, κἀμοὶ νῦν ἐπόμβρησον, σταγόνα χάριτος, κατακλύζουσαν, παθῶν μου τὰς ἀβύσσους· βοήθεια πέλεις γὰρ πάντων καὶ λύτρωσις.

Θεὸν προαιώνιον, ὑπερφυῶς ὡς γεννήσασα, σαρκὶ Μητροπάρθενε· τοῦτον ἱκέτευε, παραβλέψαι μου, πταισμάτων τὰς ἀβύσσους, βοήθεια πέλεις γὰρ πάντων καὶ λύτρωσις.

Ωδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Τὸ ὄρος τὸ ἅγιον Παρθένε, σὺ εἶ καὶ κατάσκιον ἁγνή· τοῦ γὰρ Πατρὸς ἡ δύναμις, σὲ οὐρανὸν κατάστερον, τοῦ νῦν δὲ στερεώματος, ὄντως ὑπέρτερον ἔδειξεν.

Αὔλων Ἀγγέλων αἱ χορεῖαι, παρίστανται σοὶ δουλοπρεπῶς, καὶ μετὰ δέους ἄχραντε, ὑμνεῖν σε οὐκ ἰσχύουσαι· Ἀγγέλων γὰρ ἀξίωμα, τὸ σὸν ὑπέρτερον ἔδειξεν.

Ἀφλέκτως ἡ βάτος ἐν Σιναίῳ, τὸ πρὶν ὁμιλήσασα πυρὶ, τόκον τὸν σὸν ἐδήλωσε, συμβολικῶς Θεόνυμφε· ὅς τις τὸ σὸν ἀξίωμα, πάντων ὑπέρτερον ἔδειξεν.

Νεφέλη ὑπάρχεις λευκοτάτη, σταγόνας πιστοῖς ἐξ οὐρανοῦ, ὀμβροῦσα καὶ ἀνίσχουσα, δικαιοσύνης ἥλιον· ὅστις τὸ σὸν ἀξίωμα, πάντων ὑπέρτερον ἔδειξεν.

Ωδὴ, δ'. Ὁ καθήμενος.

Ἱερεῖς σε ἐν συμβόλοις, οἱ σεπτοὶ προεκήρυξαν, καὶ θεῖοι Προφῆται, ἔσεσθαι δοχεῖον Θεόνυμφε· σὲ τοῦ Θεοῦ διὰ σοῦ γὰρ ἐθεάσαντο, οἱ ἐν σκότει τὸ φῶς θεϊκῆς ἐπιγνώσεως.

Σὲ τὴν ἄσπιλον Παρθένον, ἐκ τῆς φύσεως εἴληφε, τῶν ἀνθρώπων ὥσπερ, ἀπαρχὴν ἁγίαν ὁ Κύριος, καὶ τὸ ἡμέτερον ὅλον καθηγίασε, καὶ ἀνέτειλε φῶς θεϊκῆς ἐπιγνώσεως.

Τὰς αἰτήσεις τῶν πιστῶς σε, αἰτουμένων Πανύμνητε, εὐμενῶς προσδέχου, καὶ τὸν νοῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἡμῶν φωταγώγησον, καὶ τοῦ Κυρίου τὸν νόμον πάντας δίδαξον, καὶ καταύγασον φῶς θεϊκῆς ἐπιγνώσεως.

**Η** Βοήθεια ἁπάντων, σὺ ὑπάρχεις Πανάμωμε, τῶν εἰς σὲ θαῤῥούντων, καὶ ὑμνολογούντων τὴν θείαν σου, λοχείαν πίστει καὶ πόθῳ, δι᾽ ἧς ἔλαμψε, τὸ οὐράνιον φῶς θεϊκῆς ἐπιγνώσεως.

Ὠδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

**Ὡ**ς κλίμαξ οὐράνιος, ἐφάνης τῷ προπάτορι, πάλαι Ἰακὼβ δι᾽ ἧς οἱ νόες, πρὸς θεωρίαν Θεοῦ ἀνέρχονται, καὶ πάλιν κατέρχονται πρὸς γῆν, πόθῳ προσκυνοῦντές σου, τὴν ἀπόῤῥητον γέννησιν.

**Η** ῥάβδος ἐδήλωσεν, ἀνθήσασάν σε Πάναγνε, ἄνθος τὸ εὐῶδες καὶ ὡραῖον· σὺ γὰρ ἀῤῥήτως Θεὸν ἐγέννησας· ἐξ οὗ ἀφθαρτίζονται πιστοὶ, πόθῳ προσκυνοῦντές σου τὴν ἀπόῤῥητον γέννησιν.

**Ε**ὤρακε πάλαι σε, ὡς θεῖον τόμον ἄχραντε, ἔνθεος Προφήτης ἐν ᾧ λόγος, ἐγράφη ἔνδον Πατρὸς εἰς κόσμου χαρὰν, καὶ ἔσωσε πάντας ὡς Θεὸς, πίστει προσκυνοῦντάς σου, τὴν ἀπόῤῥητον γέννησιν.

**Ι**σχύει οὐδέποτε, ἡ βρότειος ὑμνῆσαί σε, γλῶσσα ἐπαξίως Θεοτόκε· διό μοι δίδου τῇ προαιρέσει σεμνὴ, δύναμιν ἰσόῤῥοπον ὡς ἂν, πόθῳ ἀνυμνήσω σου, τὴν ἀπόῤῥητον γέννησιν.

Ὠδὴ, ϛ'. Τὴν θείαν ταύτην.

**Ν**οός μου πᾶσαν σκοτόμαιναν, ἀπέλασον καὶ δώρησαι ἄχραντε, τῇ παναθλίᾳ μου, ψυχῇ ἀκτῖνα σῆς χάριτος· σὺ γὰρ ἐλπὶς ἁπάντων καὶ ἡ βοήθεια.

**Ε**πλήγην ἄχραντε Δέσποινα, ῥομφαίᾳ τῇ δεινῇ τοῦ ἀλάστορος, καὶ καταπέπτωκα, πτῶμα δεινόν· ἀλλὰ ζώωσον· σὺ γὰρ ἐλπὶς ἁπάντων καὶ ἡ βοήθεια.

**Ξ**ενίζει πᾶσαν διάνοιαν, θαυμάσια τὰ σὰ Θεονύμφευτε, ὥσπερ ἐξέχεας, πλουσίως πᾶσι τοῖς δούλοις σου· σὺ γὰρ ἐλπὶς ἁπάντων καὶ ἡ βοήθεια.

**Λ**αόν σου ἄχραντε Δέσποινα, ἀνόρθωσον πεσόντα εἰς βάραθρον, καταδουλώσεως, ἐχθρῶν ἀπίστων, ἀλλ᾽ οἴκτειρον· σὺ γὰρ ἐλπὶς ἁπάντων καὶ ἡ βοήθεια.

Κάθισμα. Ὁ ὑψωθείς.

**Χ**ριστιανῶν ἡ ἀψευδὴς σωτηρία· ἁμαρτωλῶν ἡ ἀῤῥαγὴς προστασία, ἡ κραταιὰ βοήθεια ἡμῶν καὶ προσφυγή· σῶσόν με προσφεύγοντα, σοὶ Πανάμωμε Κόρη· σκέπασόν με πτέρυξι, τῆς ἁγίας σου σκέπης· καὶ τῆς ψυχῆς μου πρόστηθι ἐκεῖ καὶ ἐκδημούσῃ τῶν τῇδε παράστηθι.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

**Ρ**ήμασί σου, τοῖς ἐνθέοις νῦν ἑπόμενοι, σὲ μακαρίζομεν· χαῖρε βοῶντες ἁγνή· τὰ σὰ μεγαλεῖα γὰρ ξένα καὶ ἄπειρα· διὸ Δέσποινα, τὸν νοῦν ἡμῶν καταύγασον, τοῦ ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

**Ὡ**ς ὑπάρχουσα, ναὸς τοῦ θείου Πνεύματος, φωτοειδέστατος, τὰς δωρεὰς χορηγεῖς, τοῖς πίστει προστρέχουσιν εἰς σὲ Πανάμωμε· τὴν διάνοιαν, διὸ κἀμοῦ καταύγασον, τοῦ ὑμνεῖν

σε εἰς αἰῶνας.

Τὸν προστρέχοντα, εἰς οἰκτιρμοὺς ἀπείρους σου, μὴ ὑπερίδῃς με· ἀλλ᾽ ὡς Θεὸν ἐν σαρκί, ἐλέους τὴν ἄβυσσον, τέξασα οἴκτειρον, καὶ ἀνόρθωσον, καταπεσόντα πάθεσι, τοῦ ὑμνεῖν σε εἰς αἰῶνας.

Τὰ κινήματα, νοός μου ὡς ὑπάρχουσα, ἐλπὶς Πανάμωμε, καὶ σωτηρία πιστῶν, κατεύθυνον ἅπαντα πρὸς σὲ δι᾽ ἔλεος, ἀγαθότητος, τῆς σῆς ὅπως γεραίρω σε, καὶ δοξάζω εἰς αἰῶνας.

Ὠδὴ, η᾽. Παῖδας εὐαγεῖς.

Θεία ὡς ὑπάρχουσα λυχνία, πυρφόρος τῶν χαρισμάτων ἐξαπόστειλον, πᾶσι τὰς λαμπρότητας, πίστει τοῖς κραυγάζουσι, τὴν τοῦ Ἀγγέλου Πάναγνε φωνὴν χαρμόσυνον· τὸ χαῖρέ σοι, δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

Αἴγλης τῆς σεπτῆς καὶ τρισηλίου, λαμπρότατον σκήνωμα ὑπάρχουσα, θείαν καὶ σωτήριον, πᾶσιν ἀνατέταλκας, τὴν φωταυγίαν ἄχραντε τοῖς πίστει κράζουσι, τὸ χαῖρέ σοι· δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

Σάλπιγξ μυστικῶς προδιετύπου, ἡ πάλαι προφητικὴ σε Μητροπάρθενε, πύλην ἀδιόδευτον· ὄρος καὶ παλάτιον· ἡ τοὺς βοῶντας χαῖρέ σοι ναοὺς δεικνύουσα, τοῦ Πνεύματος δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

Ῥῆξον τοὺς χειμάῤῥους τῶν παθῶν μου, καρδίαν τὴν ταπεινήν μου κατακλύζοντας· θεῖον πρὸς λιμένα με, ὅρμισον Πανάμωμε· ἵνα ὑμνῶ σε πάντοτε τὴν ὑπερύμνητον· καὶ χαῖρέ σοι κραυγάζω ἐν πίστει· δι᾽ ἧς κατηυγάσθη τὸ γένος τῶν ἀνθρώπων.

Ὁ Εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ Καμίνῳ,

Ὠδὴ, θ᾽. Ἅπας γηγενής.

Νᾶμα ζωηρόν, πλουσίως μοι δώρησαι τὸ τοῦ ἐλέους σου· σοὶ γὰρ νῦν προσέρχομαι, κεκακωμένος ἐξ ἀμελείας μου· καὶ ἱκετεύω ὄρεξον τὴν ἀγαλλίασιν· ἵνα κράζω, χαίροις ἡ βοήθεια, τῶν βροτῶν καὶ ἀεὶ μεγαλύνω σε.

Ὅλος πληγωθείς, κεῖμαι ὁ πανάθλιος πτῶμα ἐξαίσιον, ἐπηρείαις ἄχραντε, ἐχθροῦ δολίου· ἀλλ᾽ ἡ κυήσασα, ζωὴν τὴν ἐνυπόστατον, τάχος με ἔγειρον· ἵνα κράζω, χαίροις ἡ βοήθεια, τῶν βροτῶν καὶ ἀεὶ μεγαλύνω σε.

Ἦλθεν ἐφ᾽ ἡμᾶς, τὸ φῶς τὸ τῆς γνώσεως διὰ τοῦ τόκου σου, καὶ πάντας ἐνέπλησε, σοφίας θείας καὶ κατοπτεύομεν, τὰ νοητὰ μυστήρια τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ, ἀριδήλως ὅθεν κἀγὼ Δέσποινα, μετὰ πάντων ὑμνῶν μεγαλύνω σε.

Λάμψον μοι χαρᾶς, τὸ φέγγος δι᾽ ἄφατον τῆς εὐσπλαγχνίας σου, ἔλεος καὶ δίωξον, τὰ νέφη πάντα τῆς κατηφείας μου· καὶ ἀληθῆ ἀπόδος μοι τὴν ἀγαλλίασιν, ἵνα πίστει, τὴν θείαν λοχείαν σου, ἀνυμνῶ καὶ ἀεὶ μεγαλύνω σε.

Προσόμοια. Ὡς γενναῖον ἐν.

Χαῖρε θρόνε πυρίμορφε, τοῦ Θεοῦ Παντοκράτορος· Χαῖρε θεία στάμνε τὸ μάννα φέρουσα·

Χαῖρε πηγὴ ἀνεξάντλητε, τὰ νάματα βρύουσα, τοῖς πιστῶς ὑπὸ τὴν σὴν, καταφεύγουσι σύναρσιν, καὶ παρέχουσα, ἰαμάτων τὴν χάριν τοῖς νοσοῦσι· καὶ κινδύνων πολυπλόκων, λύσιν βραβεύουσαν ἄχραντε.

Χαῖρε γῆς τὸ θεμέλιον, ἐν κοιλίᾳ σου ἄμωμε, ἀστενοχωρήτως Κόρη βαστάσασα· χαῖρε ἡ εὔκαρπος ἄμπελος, βότρυν ἡ βλαστήσασα, τὸν ἐκβλύζοντα πιστοῖς, πᾶσι γλεῦκος σωτήριον, καὶ πηγάζοντα, γλυκασμὸν ἀφθαρσίας τοῖς ἐν πλάνης, τῷ βυθῷ κεκαρωμένοις, τῇ συμβουλίᾳ τοῦ ὄφεως.

Χαῖρε ὄρος κατάσκιον, ἀρεταῖς Θεονύμφευτε· χαῖρε φλογοφόρε λαβὶς ἡ φέρουσα, ἄνθρακα θεῖον τὸν αἴροντα, παντὸς κόσμου πταίσματα· Χαῖρε πρόξενε βροτῶν, σωτηρίας, προπύργιον χαῖρε ἄσειστον, τῆς Χριστοῦ Ἐκκλησίας χαῖρε θρόνε, ἡλιόμορφε Κυρίου· Χαῖρε πιστῶν τὸ κραταίωμα.

Ζοφεροῖς ἐξελκόμενος, λογισμοῖς Παναμώμητε, καὶ δελεαζόμενος ἀπεμάκρυνα, τοῦ σοῦ υἱοῦ Θεονύμφευτε, ὡς πρώην ὁ ἄσωτος, γυμνωθεὶς τῶν ἀρετῶν, ὧν περ εἶχον ἐκ φύσεως· διὸ δέομαι, ἐπιστρέψασα θείᾳ μετανοίᾳ, καταξίωσον τὸν πλοῦτον, ἀπολαβεῖν ὃν ἀπώλεσα.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΘΕΟΔΩΡΟΥ ΒΑΣΙΛΕΩΣ ΤΟΥ ΛΑΣΚΑΡΕΩΣ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

ΧΑΡΑΝ ἡ κυήσασα, χαῖρε Παρθένε Θεόνυμφε· ἀρᾶς ἀλλοτρίωσις, χαῖρε πανάμωμε· χαῖρε Δέσποινα, τοῦ Κόσμου προστασία· χαῖρε καταφύγιον τῶν προστρεχόντων σοι.

Χαρᾶς οὖσα πρόξενος, χαῖρε Θεόνυμφε Δέσποινα· ἀρὰν ἡ μειώσασα χαῖρε ἀπείρανδρε· χαῖρε πάναγνε, ψυχῆς ἐμῆς ἡ σκέπη· χαῖρε Μητροπάρθενε· χαῖρε Πανύμνητε.

Χαῖρε θεία τράπεζα· χαῖρε λυχνία ὁλόφωτε· χαῖρε θρόνε πύρινε· χαῖρε ναὲ τοῦ Θεοῦ· χαῖρε ὄχημα τοῦ πάντων βασιλέως· χαῖρε πόλις ἔμψυχε τοῦ παντοκράτορος.

Χαῖρε ὄρος ἅγιον· χαῖρε οὐράνιος γέφυρα· χαῖρε κλίνη ἔμψυχε· χαῖρε νεφέλη χρυσῆ· χαῖρε ἄχραντε, πιστῶν ἡ σωτηρία· χαῖρε πανακήρατε χαῖρε πανύμνητε.

Ὠδὴ γ΄. Τόξον δυνατῶν.

Χαῖρε παρθενίας καύχημα· χαῖρε τικτουσῶν, χαρμονὴ ἡ ἀπέραντος· χαῖρε μόνη τῆς πρώτης Εὔας, ἡ σωτήριος ἀνάκλησις.

Χαῖρε κόσμου ἱλαστήριον· χαῖρε τῶν ἁγίων Ἀγγέλων, θαῦμα παράδοξον· χαῖρε Μήτηρ εὐλογημένη, τοῦ Δεσπότου πάσης κτίσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Χαῖρε κρῖνον τὸ ὑδύπνοον· χαῖρε μυροθήκη, καὶ πηγὴ ἁγιάσματος· χαῖρε Κόρη φωτὸς νεφέλη· καὶ λυχνία ἡ ἑπτάφωτος.

Χαῖρε ῥόδον τὸ ἀμάραντον· χαῖρε παρθενίας, τὸ θεῖον ὄντως κειμήλιον· χαῖρε γένους τῶν ὀρθοδόξων, τὸ σωτήριον ἐξίλασμα.

Ωδὴ, δ'. Τὴν ἀνεξιχνίαστον.

Χαῖρε ἡ σωτήριος πάντων ἐλπίς· χαῖρε ἡ κατάκαρπος ἄμπελος· χαῖρε ἡ πύλη τοῦ Θεοῦ ἡ μυστική· χαῖρε ἡλίου ὄχημα· χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε τὸ κατάσκιον ὄρος Θεοῦ· χαῖρε τὸ πανάγιον τέμενος· χαῖρε ἡ κλίμαξ, ἣν προεῖδεν Ἰακώβ· χαῖρε παρθένε πάναγνε· χαῖρε Θεοτόκε πανύμνητε.

Χαίροις εὐωδέστατον μῦρον Θεοῦ· χαίροις δυσθεώρητον ὅραμα, ὅπερ προεῖδεν ὁ προφήτης Ἀββακούμ· χαῖρε πιστῶν διάσωσμα· χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε δωδεκάτειχε πόλις Θεοῦ· χαῖρε θείας δόξης παλάτιον· χαῖρε καθέδρα, τοῦ τῶν ὅλων ποιητοῦ· χαῖρε τοῦ Λόγου τράπεζα· χαῖρε Θεοτόκε πανύμνητε.

Ωδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Χαῖρε ἡ βλαστήσασα, τὸν φυτουργὸν τῆς κτίσεως· χαῖρε ἡ τεκοῦσα τὸν τροφέα, παντὸς τοῦ κόσμου· χαῖρε ἡ ῥίζα Δαβίδ, ἡ τὸν συνοχέα τοῦ παντὸς, ὑπὲρ πᾶσαν ἔννοιαν, διὰ ἔλεος φύσασα.

Χαῖρε τεῖχος ἄῤῥηκτον, καὶ σκέπη τῶν τιμώντων σε· χαῖρε γηγενῶν ἡ προστασία, καὶ παῤῥησία· χαῖρε βροτῶν ἡ ἐλπίς· πάντων ἀγαλλίαμα τερπνὸν, τῶν μακαριζόντων σε, παμμακάριστε Δέσποινα.

Χαίροις ἀκατάληπτον· καὶ τοῖς Ἀγγέλοις ὅραμα· χαίροις ἀνερμήνευτον καὶ ξένον, ἄῤῥητον θαῦμα· χαῖρε θυγάτηρ Δαβίδ, μήτηρ τε τοῦ πάντων ποιητοῦ· καὶ ἁπάσης Δέσποινα καὶ Κυρία τῆς κτίσεως.

Χαῖρε ἅρμα πύρινον, τοῦ πάντων βασιλεύοντος· χαῖρε πορφυρὶς ἡ νοουμένη, τοῦ Θεοῦ λόγου· χαῖρε λαβὶς μυστική· καὶ θυμιατήριον χρυσοῦν, πύλη ἀδιόδευτε, παμμακάριστε Δέσποινα.

Ωδὴ, ϛ'. Τὴν θείαν ταύτην.

Χαῖρε ἀνήροτος ἄρουρα· χαῖρε ἡ ἀγεώργητος ἄμπελος· χαῖρε παράδεισε· χαῖρε πηγὴ ἡ ἀκένωτος· χαῖρε τοῦ μάνα στάμνε· χαῖρε θεόνυμφε.

Χαῖρε λιμὴν ἀκλυδώνιστε· χαῖρε πολεμουμένων προπύργιον· χαῖρε ὀχύρωμα· χαῖρε πιπτόντων ἀνόρθωσις· χαῖρε ὑψίστου μήτηρ· χαῖρε πανάμωμε.

Χαίροις ἐλαία κατάκαρπε· χαίροις περιστερὰ κοσμοπόθητε· χαῖρε μητρόθεε· χαῖρε Μαρία πανάσπιλε· χαῖρε ἁγία Κόρη· χαῖρε πανύμνητε.

Χαῖρε λαβὶς θείου ἄνθρακος· χαῖρε θυμιατήριον πάγχρυσον· χαῖρε ὀσφράδιον· χαῖρε δοχεῖον τοῦ Πνεύματος· χαῖρε παστὰς τοῦ λόγου· χαῖρε φιλάγαθε.

Κάθισμα. Ἐπεφάνης σήμερον.

Χαῖρε θρόνε πύρινε τοῦ βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη πανύμνητε.

Ὠδή, ζ΄. Οὐκ ἐλάτρευσαν.

Χαῖρε πύλη ἀδιόδευτε ἣν ὥδευσε, μόνος ὁ ὕψιστος· ἐσφραγισμένη πηγή· χαῖρε θεῖον τέμενος, νόμου τῆς χάριτος, χαῖρε γέφυρα, πιστοὺς πάντας μετάγουσα, πρὸς τὴν ἄνω κληρουχίαν.

Χαῖρε ὄρος ἀλατόμητον ἀλάξευτον, ὃ προεώρακεν, ὁ Δανιὴλ μυστικῶς· χαῖρε βάτε ἄφλεκτε, ἣν ἐθεάσατο, ὁ βραδύγλωσσος, Μωσῆς χαῖρε τὸ καύχημα, Προφητῶν καὶ Ἀπιστόλων.

Χαῖρε ῥάβδος Ἀαρὼν ἡ ὑπὲρ ἔννοιαν, ἀναβλαστήσασα, τὸν φυτουργὸν τῆς ζωῆς· χαῖρε νόμου πλήρωμα, καὶ προφητῶν ἡ σφραγίς· χαῖρε Δέσποινα· χαῖρε Παρθένε πάνσεμνε, Παναγία Θεοτόκε.

Χαῖρε Μήτηρ ἀπειρόγαμε τοῦ Κτίστου σου, Θεοχαρίτωτε· χαῖρε πιστῶν ἡ ἐλπίς· χαῖρε ἡ πηγάσασα ὕδωρ ἀλλόμενον· χαῖρε καύχημα, καὶ θεῖον ἀγαλλίαμα, τῶν πιστῶς σε γεραιρόντων.

Ὠδή, η΄. Παῖδας εὐαγεῖς.

Χαίροις οὐρανῶν ὑψηλοτέρα· πασῶν τε τιμιωτέρα θείων τάξεων· χαῖρε βάθος ἄπειρον· ὕψος ἀκατάληπτον· χαῖρε τὸ ἱλαστήριον τῆς ἄνω κλήσεως, τῆς τῶν βροτῶν φθαρείσης οὐσίας· χαῖρε Θεοτόκε, ἐλπὶς ἀπηλπισμένων.

Χαῖρε τοῦ Θεοῦ τὸ θεῖον ὄρος, καὶ πῖον τετυρωμένον ἀλατόμητον· χαῖρε χωνευτήριον, τῆς φθαρείσης φύσεως· χαῖρε παστὰς ἑνώσεως, τῶν δύω φύσεων· ἐν σοὶ γὰρ τοῦ Θεοῦ αἱ πορεῖαι, ἀληθεῖς ὁρῶνται Παρθένε εἰς αἰῶνας.

Χαῖρε ἡ σκηνὴ τοῦ Μαρτυρίου· καὶ πλάκες τῆς διαθήκης θεολάξευτοι· χαῖρε τὸ κεφάλαιον, νόμου καὶ τῆς χάριτος· χαῖρε κρηπὶς τῶν Προφητῶν ἁγία Δέσποινα· Μαρτύρων Ἀποστόλων τὸ κλέος· χαῖρε τῶν Ὁσίων Παρθένε θυμηδία.

Χαῖρε θησαυρὲ θείων χαρίτων· καὶ πάντων τῶν ἀγαθῶν αἰτία Πάναγνε· χαίροις ἐγκαλλώπισμα, πάντων τῶν ὑμνούντων σε· χαῖρε λιμὴν ἀχείμαστε καὶ ὁρμητήριον, πλεόντων τῷ τοῦ βίου πελάγει· χαῖρε θλιβομένων παράκλησις Παρθένε.

Ὁ Εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδή, θ΄. Ἅπας γηγενής.

Χαίροις παρ' ἡμῶν, Μαρία θεόνυμφε, κόσμου ἀντίληψις· χαῖρε ἄστρον ἄδυτον· φωτὸς δοχεῖον, Τριάδος τέμενος· χαῖρε τοῦ λόγου σκήνωμα, καὶ πάντων στήριγμα, τῶν βοώντων, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ Ἀειπάρθενε.

Χαῖρε ἡ χρυσῆ, λυχνία καὶ τράπεζα, πιστοὺς ἐκτρέφουσα, χαῖρε ἀγεώργητε, γῆ ζωηφόρον στάχυν βλαστήσασα· χαῖρε πηγὴ βλυστάνουσα ὕδωρ φυτίζων, τοῖς βοῶσι· χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ Ἀειπάρθενε.

Χαῖρε ἡ παστὰς, ἐν ᾗ ἐνυμφεύσατο Θεὸς τὴν φύσιν ἡμῶν· χαῖρε ἡ κατάκαρπος, ἐλαία πάντας καθιλαρύνουσα· χαῖρε λουτὴρ ἀκένωτε θείας καθάρσεως, τῶν βοώντων· Χαίροις Παμμακάριστε· Θεοτόκε ἁγνὴ Ἀειπάρθενε.

Χαίροις νοητὴ, κογχύλη ἡ βάψασα, τὴν ἀλουργίδα Θεοῦ· χαῖρε τὸ πολύτιμον, καὶ θεῖον μύρον εὐωδιάζον πιστούς· χαῖρε τεῖχος ἀπόρθητον καὶ καταφύγιον, τῶν βοώντων· χαίροις Παμμακάριστε, Θεοτόκε ἁγνὴ Ἀειπάρθενε.

Προσόμοια. Ἔδωκας σημείωσιν.

Χαῖρε κραταιότατον, παντὸς τοῦ κόσμου διάσωσμα· ἱσταμένων βεβαίωσις· πεπτωκότων ἔγερσις· χαῖρε Θεοτόκε, πλοῦτε πτωχευόντων· καὶ πενομένων θησαυρέ· τροφὴ πεινώντων· Χαῖρε πανάσπιλε· θλιβομένων παράκλησις· καὶ ἀσθενούντων ἐπίσκεψις· Χαῖρε μόνη βοήθεια, τῶν πιστῶς δεομένων σου.

Χαῖρε φαεινότατε, ὄρθρε πιστοῖς ἀνατείλασα, τὸν ἀνέσπερον ἥλιον· Χαῖρε βάθος ἄμετρον· ἀπόῤῥητον ὕψος, φρικτοῦ μυστηρίου· Χαῖρε Ἀγγέλων χαρμονή· Χαῖρε φλογμὸν ἀπάτης ἡ σβέσασα· τοῦ ᾅδου χαῖρε νέκρωσις· Χαῖρε νεφέλη ὁλόφωτε· τοῦ Ἀδὰμ ἡ ἀνόρθωσις· Χαῖρε πάντιμε Δέσποινα.

Χαῖρε ἐγκαλλώπισμα, παρθενευόντων καὶ καύχημα, οἰκουμένης Θεόνυμφε· Χαῖρε τοῦ ἀδάμαντος, λίθε ὃν προεῖδεν, Ἀμὼς ὁ προφήτης, ὃν οὐ παρέρχεται Θεὸς, ταῖς σαῖς δεήσεσιν ἐπικλώμενος· Χαῖρε κόσμου ἐξίλασμα· Χαῖρε ναὲ τῆς Θεότητος· Χαῖρε γλυκὺ ἐντρύφημα, τῆς πιστῶν γλώσσης ἄχραντε.

Ἥλιον κυήσασα, δικαιοσύνης Πανάμωμε, τὸ ζοφῶδες διάλυσον, παθῶν τῶν θλιβόντων με, καὶ τὸν ἀπατῶντα, τὴν ψυχήν μου ὄφιν, καὶ καταθέλγοντα ἀεὶ, φιληδονίαις καὶ ματαιότησι, πόῤῥωθεν ἀποδίωξον, τῆς ταλαιπώρου καρδίας μου, ἐν γαλήνῃ φυλάττουσα, ἀπαθείας τὸν δοῦλόν σου.

ΑΡΧΗ ΤΟΥ πλ. α'. ΗΧΟΥ.

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΓΝΑΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Οὗ ἡ ἀκροστιχίς.

Πέμπτη δέησις τῇ Παναγίᾳ Κόρῃ· Ἰγνατίου.

Ὠδὴ α'. ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην.

ΠΝΕΥΜΑΤΟΣ τοῦ ἁγίου ἑλκῦσαι χάριν αἰτῶ, ἐν ἀνοίξει Παρθένε τοῦ ταπεινοῦ μου στόματος, καὶ παρασχεθῆναί μοι, λόγου δῶρον ἵνα σε, τὴν τοῦ λόγου ἀνυμνήσω γεννήτριαν.

Εδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, ὄρος πῖον καὶ θεία νεφέλη δρόσον στάζουσα, τὴν μνήμην σου Δέσποινα, θυμηδίας, καὶ εὐφροσύνης ἀεὶ πληροῦσάν με.

Μέθη τῶν ἡδονῶν με ἀεὶ σκοτούμενον, καὶ παράφρονα ὄντα, σωφρόνισον ποτίσασα, οἶνον κατανύξεως, Θεοτόκε πέπειρον, ἀφθαρσίας βότρυν γὰρ ἤνθησας.

Παύσασα τὰς ὀδύνας θεοχαρίτωτε, τὰς τοῦ ᾅδου τεκοῦσα, ὠδίνων Κόρη ἄνευθεν, τὸν ἀπερινόητον, ὃν δυσώπει πάσης με, πανωδύνου κακίας ῥύσασθαι.

Ωδὴ, γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Τεκοῦσα τὸν ποιητὴν Παρθένε καὶ Κύριον, πάντων ὑπερτέρα κτισμάτων γέγονας, καὶ τῶν Χερουβὶμ καὶ Σεραφὶμ, ἁγνὴ τιμιωτέρα· διὸ ἀεί σε μακαρίζομεν, πᾶσαι γενεαὶ ὡς προέφησας.

Η σκέπη χριστιανῶν, ἐλπὶς καὶ ἀντίληψις, τὸν εἰς σὲ θαῤῥοῦντα καὶ καταφεύγοντα, ῥῦσαί με πταισμάτων καὶ παθῶν, καὶ θλίψεων Παρθένε, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων με· ὅπως εὐχαρίστως δοξάζω σε.

Δακρύων μοι ὀχετοὺς, παράσχου Θεόνυμφε, καὶ ἐξομολόγησιν τῶν πταισμάτων μου, καὶ πλημμελημάτων ἱλασμόν· ἵνα σε μεγαλύνω, περισωζόμενος τῇ σκέπῃ σου, καὶ διαπαντὸς φυλαττόμενος.

Εμόλυνα τῆς ψυχῆς, ἁγνὴ τὴν εὐγένειαν, καὶ τὸ τῆς εἰκόνος θεῖον ἀξίωμα· οἴμοι τί γενήσωμαι λοιπόν; πρόφθασον Θεοτόκε, πρὸ τέλους δίδου σωτηρίας μοι, τρόπους καὶ ἀξίαν μετάνοιαν.

Ωδὴ, δ'. Τὴν θείαν ἐννοήσας σου.

Η μήτρα σου παλάτιον ἅγιον, τοῦ βασιλέως καὶ Θεοῦ, ἀνερμηνεύτως γεγένηται· ἐν ᾧ οἰκήσας Παρθένε, ναοὺς αὐτοῦ ἡμᾶς ἀπειργάσατο.

Συνέχει καὶ χειμάζει με κλύδων παθῶν, τρικυμίαι λογισμῶν, καὶ ἡδονῶν αἱ ἀντίπνοιαι, καταποντίζουσι Κόρη· ἀλλ' ἔκτεινον σὴν χεῖρα καὶ σῶσόν με.

Ισχύς μου σὺ καὶ ὕμνησις Δέσποινα· ἐγένου γάρ μοι προφανῶς εἰς σωτηρίαν γεννήσασα, τὴν σωτηρίαν τοῦ Κόσμου, Χριστὸν τὸν λυτρωτὴν καὶ σωτῆρά μου.

Σαρκός μου καὶ ψυχῆς τὰ νοσήματα, ἴασαι δέομαι ἁγνὴ, τὸν ἰατρὸν ἡ κυήσασα, ψυχῶν ὁμοῦ καὶ σωμάτων, καὶ σῶσόν με ταῖς θείαις πρεσβείαις σου.

Ωδὴ, ε'. Ὁ ἀναβαλλόμενος,

Τετραυματισμένον με καὶ κατακείμενον, βυθῷ πταισμάτων καὶ ἀπογνώσει, πάσῃ συνεχόμενον, Σῶτερ οἰκτειρόν με, τῆς σῆς μητρὸς δεήσεσιν.

Η τὸν προαιώνιον ἐν χρόνῳ τέξασα, ἐν περιγραπτῇ σαρκὶ, τὸν ὄντα φύσει ἀπερίγραπτον· τοῦτον ἐκδυσώπει, ὑπὲρ ἐμοῦ τοῦ δούλου σου.

Πύλη ἡ οὐράνιος πύλας μοι ἄνοιξον, τῆς μετανοίας Θεογεννῆτορ, πύλας ἡ ἀνοίξασα, τὰς τοῦ Παραδείσου, καὶ ᾅδου πυλῶν ῥῦσαί με.

Αδουσι τὸν τόκον σου Ἀγγέλλων τάγματα, Θεογεννῆτορ δι' οὗ ἡ πλάνη, τῶν εἰδώλων πέ-

παυται, καὶ τῆς ἀληθείας τὸ φέγγος ὑπερέλαμψεν.

Ωδὴ, ς'. Μαινομένην·

Νεκρωθέντας πάθεσιν, ἁμαρτίας Δέσποινα ἡμᾶς, ἀνιστῶσα ζώωσον πρεσβείαις σου, ἡ τῆς φθορᾶς τὸν καθαιρέτην κυήσασα.

Αἴτησαι τὴν ἄφεσιν, τῶν πταισμάτων Δέσποινα ἁγνὴ, καὶ παθῶν τὴν λύτρωσιν τοῖς δούλοις σου, τοῖς ἐκ ψυχῆς ἀνευφημοῦσί σε πάντοτε.

Γυμνῶν προΐστατο, ἐν ὀδύναις πάντοτε ἁγνὴ, καὶ τὰ δυσχερῆ ἐξευμαρίζουσα, σοὺς λατρευτὰς ἀπήμονας διατήρησον.

Ιλασμὸν τοῖς πταίουσι, καὶ νοσοῦσιν ἴαμα σεμνὴ, χαρὰν θλιβομένοις τε παρέσχετο, σὲ ὁ Χριστὸς καὶ τοῖς ὑμνοῦσί σε καύχημα.

Κάθισμα. Τὸν συνάναρχον.

Τὴν ἀνείκαστον χάριν τῆς εὐσπλαγχνίας σου· καὶ τὸ ἔνθεον κράτος τῆς δυναστείας σου, Παρθενομῆτορ Μαριὰμ ἐπιστάμενος, ἀναβοῶν σοι ἐκτενῶς, ἐκ πάσης θλίψεως ἐμὲ, ἐξάρπασον τὸν σὸν δοῦλον, καὶ ἔμπλησον θυμηδίας· ὅπως ἀνυμνῶ σε Πανύμνητε.

Ωδὴ, ζ'. Ὁ ὑπερυψούμενος.

Καύχημα παγκόσμιον, καὶ τὸ ἱλαστήριον, πταισμάτων μοι ἄφεσιν, παρασχεῖν ἱκέτευσον, τὸν εὔσπλαγχνον υἱόν σου καὶ ζωὴν τὴν αἰωνίαν.

Οχετοὺς δακρύων μοι, δώρησαι Πανύμνητε, ὡς ἂν τὴν αἰώνιον, φρικτὴν σβέσω κόλασιν· καὶ ψάλω τῷ υἱῷ σου· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ρήμασι χειλέων μου, καὶ δακρύων νάμασιν, ἁγνὴ ἐπινεύσασα, τὰς θλίψεις μετάβαλε, ψυχῆς μου πρὸς τὴν ὄντως εὐφροσύνην τοῦ υἱοῦ σου.

Η τὸν ἀγαθόδωρον, Θεὸν ἡμῖν τέξασα· αὐτὸν ἐξιλέωσαι, μητρῴαις ἐντεύξεσιν, ἁγνὴ κατοικτειρῆσαι, τοὺς ἐν σοὶ ἐγκαυχωμένους.

Ωδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Ιδε ἀγαθὴ τῆς ταπεινῆς ψυχῆς μου, τὴν κάκωσιν Πάναγνε καὶ τὴν κατήφειαν, καὶ τῆς ὀδύνης ἀπάλλαξον ἐν τάχει· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Γῆ εἶ καὶ εἰς γῆν ὡς γηγενὴς πορεύσῃ, οὐκ ἔτι ἀκούσομαι· πρὸς οὐρανὸν γὰρ ἐκ γῆς, σύ με ἀνήγαγες ὦ ἄχραντε τεκοῦσα, τὸν ἐκ γῆς τοῦ γένους πλάσαντα τοὺς γενάρχας.

Νύξ με τῶν παθῶν καὶ λυπηρῶν κατέσχε, καὶ τοῦ νοῦ συνέχεε τὸ φαιδρὸν ἄχραντε· ἀλλ' ἡ τεκοῦσα τὸν ἥλιον τῆς δόξης, φαίδρυνον χαρᾶς με καὶ ἀπαθείας φέγγει.

Αγιον εὑρὼν ὁ ὑπεράγιός σε, Πανάμωμε σκήνωμα ἐν σοὶ ἐσκήνωσε, σάρκα ἀσπόρως ἀναλαβὼν βροτείαν, καὶ μετὰ τὸν τόκον Παρθένον σε τηρήσας.

Ὁ Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε.

Ωδή, θ΄. Ησαΐα χόρευε.

Τὸν Θεὸν ὃν ἔτεκες, ἀποῤῥήτως Δέσποινα ἁγνή, ἱκέτευε ἐκτενῶς, ῥύσασθαι ἡμᾶς, κινδύνων καὶ θλίψεων, καὶ μελλούσης δίκης φοβερᾶς, καὶ τῆς λαμπρότητος, ἀξιῶσαι τῶν ἁγίων αὐτοῦ.

Ἰαμάτων ἄβυσσον, καὶ χαρίτων πέλαγος ἁγνή, ἐπέγνωμέν σε ἡμεῖς οἱ ἁμαρτωλοί· διό σου δεόμεθα τῶν δυσχερῶν πάντων ἐξελοῦ, τοὺς μεγαλύνοντας, καὶ τιμῶντάς σε Πανύμνητε.

Ὀλοφυρομένην μου, τὴν καρδίαν πλήθει ὀδυνῶν, παράκλησις ἐμὴ καὶ καταφυγή, ταχὺ παρακάλεσον, ἵνα κἀγὼ εὔφραναν βοῶ, αἱ παρακλήσεις σου, τὴν ψυχήν μου πολυύμνητε.

Ὑπνηλὸς καὶ ῥάθυμος, ἀνειμένος Δέσποινα τελῶν, ἐν ἔργοις τοῖς σκοτεινοῖς πᾶσαν τὴν ζωὴν, ἀνήλωσα, φθάσας δὲ βίου δυσμὰς τὴν ἀνατολὴν, σὲ τὴν ὁλόφωτον, ἱκετεύω καταυγάσαι με.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τὸν ἀμνὸν τοῦ Θεοῦ, ἀπεριγράπτως ἐν κοιλίᾳ βαστάσασα, ἀνθρώπους τῆς πρὶν δουλείας, λύσαντα μόνη ἁγνή· ἡ χαρὰν τῷ κόσμῳ ἀνατείλασα· παστὰς φωτοφόρε, τῆς ἀποῤῥήτου νυμφεύσεως· Χαῖρε τὰ πάντα, μυστικῶς ἀμαρύσσουσα, καὶ φωτίζουσα, ὡς τὸ φῶς ἀπαστράψασα, Πάναγνε τὸ ἀπρόσιτον, ἀνύμφευτε Δέσποινα, χαῖρε Ἁγία Ἁγίων· Χαῖρε παγκόσμιον καύχημα· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαῖρε ἡ πανσθενὴς τῶν βροτῶν, ἐλπὶς καὶ σκέπη, καὶ ἀπόρθητον ἔρεισμα· καὶ τεῖχος καὶ σωτηρία, καὶ ἀῤῥαγὴς προσφυγή· ἡ Θεὸν ἀνθρώποις καταλλάξασα, ἁγνὴ τῇ ἀσπόρῳ, καὶ παραδόξῳ κυήσει σου· Χαῖρε ἡ ῥάβδος, Ἀαρὼν ἡ βλαστήσασα, ἄνθος τίμιον, τὸν τροφέα τῆς κτίσεως· Χαῖρε κράτος ἀνίκητον, ἀνάκτων Θεόνυμφε· Χαῖρε Μαρτύρων τὸ σθένος· Χαῖρε φωτὸς οἰκητήριον· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαῖρε τοῦ ἀχωρήτου Θεοῦ, χώρα καὶ γῆ, ἣν Ἰωὴλ προεώρακεν· ἁγία ἐν ᾗ ἐπέβη, ὁ τοῦ παντὸς συνοχεύς· χαῖρε θεῖον τεῖχος· Χαῖρε ἄμωμε· ἐλπὶς ἀκαταίσχυντε, καὶ βεβαία ἀντίληψις, τῶν δοξαζόντων καὶ ὑμνούντων Πανύμνητε, καὶ ζητούντων σε, ὁλοψύχως Θεόνυμφε· Χαῖρε φυτουργὸν τέξασα, ἁγνείας Πανάχραντε· Χαῖρε Θεόγραφε τόμε· Χαῖρε πηγὴ ἁγιάσματος· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Πλήρωσον εὐφροσύνης ἁγνή, τοὺς εὐφημοῦντάς σε καὶ πόθῳ δοξάζοντας· καὶ σπεῦσον ἐλευθερῶσαι, τῶν συνεχόντων δεινῶν, συμφορῶν καὶ θρήνων καὶ κακώσεων· ἐχθρῶν ἀλαζόνων, καὶ μιαιφόνων Πανάμωμε, ἀπαγωγῆς τε, φυλακῆς καὶ στρεβλώσεως, συνοχῆς πικρᾶς, καὶ δεινῆς κατακρίσεως· Δέσποινα κατοικτείρησον, ἡμᾶς κινδυνεύοντας· καὶ μὴ ἐάσῃς εἰς τέλος· ἀλλὰ συνήθως ἐλέησον· ἐχθροὺς δὲ Παρθένε, τοὺς ἡμᾶς ἐκπολεμοῦντας, συντόμως ὄλεσον.

# ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ.

Ωδή, α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

ΨΑΛΛΕΙΝ ἀδιαλείπτως, σοὶ χρεωστοῦμεν ἁγνή, καὶ τὴν σὴν προστασίαν, ἐπικαλεῖσθαι πάντοτε· ἣν πέμψαι σπλαγχνίσθητι, σοῖς οἰκέταις ὅπως, ἀπαλλαγῶμεν τοῦ πολεμήτορος.

Ὕδωρ τῇ κεφαλῇ μου, τίς δώσει Πάναγνε; εἰ μὴ σὺ τῶν βλεφάρων, ἀποκενώσῃς δάκρυα, καὶ δῴης μοι κλαύσασθαι, τὴν ψυχήν μου ἥνπερ, ἐξειργασάμην νεκρὰν τοῖς πταίσμασιν.

Λόγῳ τῶν ζώων πάντων, μόνος ἐγὼ τιμηθείς, τῇ προνοίᾳ τοῦ Κτίστου, ἀλόγως καθυπέκυψα, Πανύμνητε πάθεσι, ψυχοφθόροις ὅθεν, ἐξωμοιώθην ἀλόγοις κτήνεσιν.

Κλίμαξ οὐρανομήκης, τῶν ἀρετῶν ἡ ὁδός, ἀναφέρουσα λόγῳ, ψυχὰς πρὸς τὰ οὐράνια· ἧς βαίνειν με ποίησον, τὰς βαθμίδας πράξει, καὶ θεωρίᾳ Θεοχαρίτωτε.

Ωδὴ γ΄. Ὁ πήξας ἐπ' οὐδενός.

Σοφίας ἐνυποστάτου Μήτηρ γεγένησαι, τοῦ Θεοῦ καὶ Λόγου Μαρία ἄχραντε· ὅν περ ἐκδυσώπησον ἁγνή, ῥανίδα θείου φόβου, ἐναποστάξαι τῇ καρδίᾳ μου, ὅπως ἐμπλησθῶ θείας γνώσεως.

Ψεκάδες τοῦ ὑετοῦ, τὴν γῆν ἐκπιαίνουσι, καὶ καρπὸν βλαστάνειν ἁγνὴ παρέχουσιν· ὄμβροι δὲ δακρύων τὴν ψυχήν, ἀρδεύουσιν ἐγὼ δέ, σκληρὰν καρδίαν καὶ ἀνάλγητον, ἔχων οὐδαμῶς κατανύσσομαι.

Ἀΰλως τοῖς νοεροῖς ὁ νοῦς συγγινόμενος· ὡς λιβάδας ἕλκει δακρύων χεύματα· ἐμοῦ Θεομῆτορ δὲ ὁ νοῦς, τῇ γῇ προσηλωμένος, πολυσχιδεῖς ἐννοίας κέκτηται· καὶ ὡς τὸ εἰκὸς ἀπαμβλύνεται.

Τὸ μῦρον τῆς ἀρετῆς, ἐν εἴδεσι τέσσαρσι, Θεομῆτορ ἄριστα συσκευάζεται, φρονήσει ἀνδρίᾳ ψυχικῇ, δικαιοσύνῃ θείᾳ, καὶ σωφροσύνης καθαρότητι· τούτων δὲ ἐγὼ ἀπεστέρημαι.

Ωδή, δ΄. Τὴν θείαν ἐννοήσας σου.

Ῥαδίως πρὸς τὰ πάθη καθέλκομαι, σῆς βοηθείας γυμνωθείς, Παρθενομῆτορ Θεόνυμφε· διὸ σπλαγχνίσθητι ῥῦσαι, τοῦ βόθρου τῆς κακῆς συνηθείας με.

Ξηρᾶναι τῆς σαρκὸς τὰ κινήματα, τῷ λογισμῷ με πρακτικῶς, Θεοκυῆτορ ἀξίωσον, καὶ τοῦ νοὸς τῇ κινήσει, τοῖς ἄνω διατρίβειν εὐόδωσον.

Υἱοὶ Θεοῦ μεθέξει γεγόναμεν, ὅσοι ἐλάβομεν Χρηστόν· ἐγὼ δὲ πάλιν ἀντέστραμμαι, διὰ κακίαν Παρθένε, υἱὸς τῆς ἁμαρτίας γενόμενος.

Ὁδὸν τῆς σωτηρίας οὐχ εὕρηκα, τῇ ἀγνοσίᾳ τῆς ψυχῆς· ὁδὸν ζωῆς ἡ κυήσασα, Θεοκυῆτορ

Μαρία, ὁδός μοι σωτηρίας γενήθητι.

Ωδὴ, ε΄. Ὁ ἀναβαλλόμενος.

Μόνην σε ἐπίσταμαι Θεογεννήτρια, ἁμαρτανόντων τὴν προστασίαν, καὶ πρὸς σὲ κατέφυγον· μή με ἀποῤῥίψῃς, τὸν ὑπὲρ πάντας πταίσαντα.

Ἵνα τὸ ἀνείκαστον τῆς εὐσπλαγχνίας σου, ἐν ἐμοὶ δείξῃς Παρθενομῆτορ, ἔγειρόν με κείμενον, καὶ τῆς ἀπαθείας, τὰς τρίβους καθυπόδειξον.

Τῶν παθῶν τὰ κύματα συνταρασσόμενα, ὑπὸ δαιμόνων σφοδρῶν πνευμάτων, ἁγνὴ συγκαλύπτουσι, τῆς ἐμῆς ἀθλίας, ψυχῆς τὸ ἐφολκάδιον.

Ἱλαρῶς μοι φάνηθι Θεογεννήτρια, ἐν τῇ ἐξόδῳ ἡνίκα μέλλῃ, ἡ ψυχὴ χωρίζεσθαι, τοῦ ἀθλίου σκήνους, καὶ σῶσόν με τὸν δοῦλόν σου.

Ωδὴ, ς΄. Μαινομένην κλύδωνι.

Πειρασμῶν νιφάδες μοι, ἐπελθοῦσαι Κόρη χαλεπαὶ, τῆς ψυχῆς κατέπτωσαν τὸ οἴκημα· διὸ θρηνῶν τῇ σκέπῃ τῇ σῇ προσέρχομαι.

Λογισμῶν ματαίων με, ψυχοφθόρων λύτρωσαι ἁγνή· λογισμοὺς λαβεῖν δὲ τοὺς τῆς κρίσεως, καὶ τῆς ἐκεῖ ἀξίωσον καταστάσεως.

Θεϊκῆς ἐξέπεσον, εὐφροσύνης Μῆτερ τοῦ Θεοῦ, καὶ θρηνεῖν ἀπάρχομαι ὁ ἄθλιος, εἴπως ἐκεῖ τῆς θρηνῳδίας ῥυσθήσωμαι.

Ἰαμάτων κρήνην σε, κεκτημένοι Δέσποινα ἁγνὴ, οἱ νοσοῦντες δίψει παραπτώσεων, προστρέχομεν, καὶ σωτηρίαν λαμβάνομεν.

Κάθισμα. Τὸν συνάναρχον.

Πολυτρόπως Παρθένε Χριστὸν παρώργισα, διανοίᾳ καὶ λόγῳ ἔργοις καὶ πράξεσι, καὶ πτοοῦμαι τὸ ἐκεῖ φρικτὸν κριτήριον· ἀλλὰ προφθάσασα ταχὺ, ἐκλύτρωσαί με τῶν δεινῶν, τῇ Μητρικῇ σου πρεσβείᾳ, καὶ πρὸς Θεὸν παῤῥησίᾳ, τὸν σὸν οἰκέτην Θεογεννήτρια.

Ωδὴ, ζ΄. Ὁ ὑπερυψούμενος.

Τίς ἄλλος ἐξήμαρτεν, ὡς ἐγὼ Πανύμνητε; τὸν νοῦν κατηχρείωσα· τὴν σάρκα ἐμόλυνα· καὶ πάσας τὰς αἰσθήσεις, ἀπημαύρωσα ὁ τάλας.

Ἐμὲ τὸν πανάσωτον· ἐμὲ τὸν πανάθλιον, οἰκτείρησον Δέσποινα, καὶ δός μοι συγχώρησιν, τῶν πρώην ἐγκλημάτων, ἵνα πόθῳ σε δοξάζω.

Ὀνείρων φαντάσμασιν, ἐχθρὸς Θεονύμφευτε, πλανᾶν με ἐπείγεται, πρὸς πτῶσιν οἰήσεως· αὐτοῦ τῆς πανουργίας, Θεοτόκε λύτρωσαί με.

Ῥάβδῳ συμπαθείας σου· βακτηρίᾳ σκέπης σου, κἀμὲ παρακάλεσον, ἁγνὴ καὶ ἐλαίῳ σου, τῆς θείας εὐσπλαγχνίας, λίπανον τὴν κεφαλήν μου.

Ωδὴ, η΄. Σοὶ τῷ παντουργῷ.

Χάριν εἰληφὼς υἱοθεσίας θείας, τῷ θείῳ βαπτίσματι ταύτην ἀπώλεσα, πράξας ἀθέσμους, ἐν βίῳ ἁμαρτίας· ὅθεν δυσωπῶ σε, Παρθένε οἴκτειρόν με.

Ρίζης ἀναιδοῦς τῆς φιλαυτίας κλάδοι, Παρθένε πεφύκασι κόρος καὶ ἄνεσις· ὅθεν ἐκφύει, ἐσμὸς παθῶν ποικίλων· σὲ οὖν δυσωποῦμεν, τὴν ῥίζαν ξηρανθῆναι.

Αἴρω τὴν φωνὴν μετὰ κλαυθμοῦ σοι κράζων· οἶνον κατανύξεως, ἁγνή με πότισον, ἄρτου δακρύων, ἐνταῦθα ἔμπλησόν με· ἵνα μὴ ἐκεῖσε πεινάσω καὶ διψήσω.

Μόνος ἀποστὰς τῆς θείας θεωρίας, κτηνώδης γεγέννημαι καὶ τεθηρίωμαι· μόνη τὸν Κτίστην, ἀφράστως τετοκυῖα, λύτρωσαί με Κόρη τῆς ἐν φλογὶ γεέννης.

ὁ Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον.

Ὠδή, θ'. Ἡσαΐα χόρευε.

Νοερὰν τὴν αἴσθησιν, τῇ ψυχῇ μου δώρησαι ἁγνή, νεκρῶσαι τὰς ἀπρεπεῖς πρῴην ἡδονάς, ἃς τίκτειν εἰώθασιν, αἱ αἰσθήσεις αἱ σωματικαί· ὅπως γενήσωμαι οἰκητήριον τοῦ Πνεύματος.

Οὐδαμῶς ἐνέλιπον, Θεομῆτορ πράττων τὰ αἰσχρά, ἐκ βρέφους ἀναδειχθεὶς οἶκος τῶν παθῶν· κἂν νῦν ἐν τῷ γήρᾳ μου, μεταγνῶναι δός μοι λογισμόν, ἴσως ἐκφύγοιμι, τὰς κολάσεις τὰς μενούσας με.

Κρημνῷ παραπτώσεων, ὀλισθήσας πέπτωκα δεινῶς, ἐξ ὕψους τῶν ἀρετῶν Δέσποινα ἁγνή· σὺ οὖν ἡ ἀντίληψις τῶν ἀσθενῶν καὶ ἁμαρτωλῶν, χεῖρά μοι πάρασχε, βοηθείας τῷ οἰκέτῃ σου.

Φοβεῖ με κριτήριον, Θεομῆτορ τὸ Δεσποτικόν· καὶ δέδοικα ὡς πολλῶν ἔμπλεως κακῶν· πλὴν εἰς σὲ κατέφυγον, καταφυγὴ τῶν ἁμαρτωλῶν· καὶ μὴ ἀπώσῃ με· ἀλλὰ σῶσον τῷ ἐλέει σου.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ φιλανθὴς ἀνθηδών, ἡ τὸν λειμῶνα τῆς ζωῆς περιθέουσα, καὶ στέφος ἐκλεξαμένη τῆς Παρθενίας λαμπρόν· τὸ φαιδρὸν τοῦ Κτίστου καταγώγιον· σκηνὴ ἡ χωρήσασα, τὸν ἀχώρητον Κύριον· Χαῖρε Παρθένε, δι' ἧς ᾅδης νενέκρωται, καὶ ὁ θάνατος κατηργήθη καὶ σέσωσται, πτώματος ὁ Πρωτόπλαστος, δεινοῦ ἐξαισίου τε· Χαῖρε σεμνὴ Παναγία· Χαῖρε προπύργιον ἄσειστον· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαίροις ὡραιοτάτη τρυγών, κεχρυσωμένη σωφροσύνῃ τὰς πτέρυγας· τὸ ἄνθος τῆς ἀφθαρσίας· ἡ νοητὴ πορφυρίς· Χαῖρε θεία κλίμαξ· Χαῖρε γέφυρα, ζωὴν πρὸς οὐράνιον, τοὺς θνητοὺς ἡ μετάγουσα· Χαῖρε ἀνάκτων, πιστοτάτων κραταίωμα, καὶ ὀχύρωμα, καὶ διάδημα τίμιον· Χαίροις ἡ Παρθενίαν τε, λοχείᾳ συζεύξασα· τῶν ἀσθενούντων τὸ ἄκος· ἐλλειπομένων τὸ πλήρωμα· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις μετὰ Θεὸν ἡ Θεός· τὰ δευτερεῖα τῆς Τριάδος ἡ ἔχουσα· ἀμέσως ἡ δεχομένη, τῶν ἐκ Θεοῦ δωρεῶν, τὸ πλήρωμα ὅλον καὶ εἰς ἅπαντας, Ἀγγέλους ἀνθρώπους τε, τοῦτο διαπορθμεύουσα· τοῦ ἐμπυρίνου, οὐρανοῦ τὸ τεράστιον· τηλεσκόπιον, βουλῶν θείων θαυμάσιον· τέλος τὸ σκοπιμώτατον, καὶ ὕστατον Πάναγνε, Δημιουργίας ἁπάσης, δι' ἣν ὁ Κόσμος ἐγένετο· καὶ σοῦ τῇ γεννήσει, ἡ αἰώνιος τοῦ Κτίστου βουλὴ πεπλήρωται.

Μόνη τῶν θλιβομένων χαρά, πρόφθασον ῥῦσαι, καὶ ἐμὲ τὸν οἰκέτην σου, ἐκ πάντων τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

συνεχόντων, πολυειδῶν πειρασμῶν, φλογοφόρων νόσων καὶ κακώσεων· ἐχθρῶν ἐκζητούντων, καταπιεῖν με τὸν δείλαιον· λύπης ἁπάσης, καὶ δαιμόνων σκαιότητος· ἀθυμίας τε, καὶ δεινῆς κατακρίσεως· μὴ δὴ οὖν παραδώσῃς με, μέχρι τέλους ταῖς θλίψεσι· μή με βυθὸς τῆς κακίας, κατακαλύψῃ τὸν ἄθλιον· εἰς σὲ γάρ μου πάσας, τὰς ἐλπίδας ἀνεθέμην Θεοχαρίτωτε.

## ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΚΟΥ ΤΟΥ ΕΦΕΣΟΥ ΚΑΙ ΕΥΓΕΝΙΚΟΥ

Ὠδὴ, α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

ΓΟΝΥ ΣΟΙ κάμπτω Δέσποινα ὁ ταλαίπωρος, καὶ τὴν σὴν αἰτοῦμαι θείαν ἀντίληψιν· λῦσον τὴν ὀδύνην τῆς ψυχῆς, σκέδασον μου τὰ νέφη, τῆς ἀθυμίας ταῖς πρεσβείαις σου, ἡ τῶν θλιβομένων παράκλησις.

Ρύπων τῶν ἐκ παθῶν μου τὸ διαυγὲς τῆς ψυχῆς, Θεοτόκε Παρθένε τηροῦσα ἀνεπίμικτον, καθαρῶς με ποίησον, φωτὶ θείῳ ἄχραντε, ἀτενίζειν τὸν σὲ δοξάζοντα.

Σὺ τὰς ἐπαναστάσεις τὰς καθ' ἡμῶν τῶν ἐχθρῶν, κραταιᾷ σου δυνάμει, τροπωσαμένη Δέσποινα, βαθεῖαν τῇ ποίμνῃ σου, τὴν εἰρήνην δώρησαι, ὡς τῆς θείας εἰρήνης πρόξενος.

Ο πλάσας κατὰ μόνας Θεὸς καρδίας βροτῶν, τὰς ὀδύνας γινώσκων, καὶ πάθη τῶν ψυχῶν ἡμῶν, κατάλληλον δέδωκεν, ἰατρεῖον ἄχραντε, σὲ ἐν νόσοις ἡμῖν καὶ θλίψεσιν.

Ὠδὴ, γ΄. Ὁ πήξας ἐπ' οὐδενός.

Ο πόκος τοῦ ὑετοῦ, τοῦ θείου πανάχραντε, τὴν ἐξηραμμένην ψυχήν μου πάθεσι, καὶ τῇ ἐκπυρώσει τῶν κακῶν, ἄρδευσον Θεοτόκε, τῇ ἐπισκέψει σου ὡς βλύσασα, τῆς ζωῆς τὸ ὕδωρ Χριστὸν τὸν Κύριον.

Ὡράθη μετὰ σαρκὸς, ὁ πρὶν ἀθεώρητος, διὰ σοῦ Παρθένε Λόγος καὶ Κύριος· ἵνα πρὸς ἀόρατον ἡμᾶς, καὶ θείαν μεταστήσῃ, δόξαν καὶ λῆξιν τὴν αἰώνιον, τοὺς ὡς Θεοτόκον ὑμνοῦντάς σε.

Ιλύος φθοροποιῶν, παθῶν ἡμᾶς λύτρωσαι, ταῖς πρὸς τὸν υἱόν σου ἁγνὴ δεήσεσι· δίδου βηματίζειν καθαρῶς, τῆς μετανοίας τρίβους, τὰς εἰσαγούσας Θεονύμφευτε, πρὸς τὴν αἰωνίαν κατάπαυσιν.

Σαρκοῦται ἐκ τῶν σεπτῶν, Παρθένε αἱμάτων σου, ὁ δι' εὐσπλαγχνίαν βροτὸς γενόμενος· τοῦτον ἐκδυσώπει ὡς υἱὸν, τῆς ἄνω βασιλείας, καταξιῶσαί με πανάμωμε, τὸν εἰλικρινῶς σε δοξάζοντα.

Ωδή, δ'. Τὴν θείαν ἐννοήσας σοῦ.

Ὡς κόρην ὀφθαλμοῦ με τῇ σκέπῃ σου, φύλαξον δέομαι ἁγνή, καὶ τῇ σκιᾷ τῶν πτερύγων σου, περίθαλψόν με καὶ ῥῦσαι, δαιμόνων πονηρίας καὶ σῶσόν με.

Πόμα με κατανύξεως πότισον, Θεογεννῆτορ Μαριάμ, καὶ δάκρυά με ἀξίωσον, ἀπὸ καρδίας προσφέρειν, σβεστήρια φλογὸς τῆς μενούσης με.

Ὁ φόβος τυραννεῖ με τῆς κρίσεως, καὶ ἡ ἀπόφασις Θεοῦ· πρόφθασον σύ μοι παράστηθι, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, καὶ λύτρωσαι Μαρία Θεόνυμφε.

Ὡς πάντων ποιημάτων κυήσασα, Δημιουργὸν Μῆτερ Θεοῦ, ἰσχύεις πάντα καὶ δύνασαι· διὸ κολάσεως ῥῦσαι, καὶ πάσης ἐπηρείας τοὺς δούλους σου.

Ωδή, ε'. Ὁ ἀναβαλλόμενος.

Ῥυπωθεῖσαν πάθεσι ψυχήν μου Πάναγνε, καὶ τὴν καρδίαν τῇ ῥυπτικῇ σου, εὐσπλαγχνίᾳ κάθαρον, καὶ ναὸν τοῦ θείου Πνεύματος ἀποτέλεσον.

Γέγονεν ὁ τόκος σου Θεοχαρίτωτε, τοῖς καταδίκοις δικαιοσύνη· τοῖς νοσοῦσιν ἴαμα· καὶ τοῖς θλιβομένοις, χαρὰ καὶ ἀγαλλίασις.

Τὸν αὐτοκατάκριτον καὶ ἀδιόρθωτον, Χριστέ μου σῶσον ταῖς τῆς Μητρός σου ἱκεσίαις ἵνα σου, τὴν πολλὴν δοξάζω, καὶ ἄμετρον συμπάθειαν.

Νέφη διασκέδασον ἁγνὴ τῶν θλίψεων, ἐκ τῆς ψυχῆς μου καὶ τῆς χαρᾶς με, ταῖς ἀκτῖσι φαίδρυνον, ἡ τὸ φῶς τεκοῦσα τὸ θεῖον καὶ ἀνέσπερον.

Ωδή, ς'. Μαινομένην κλύδωνι.

Ἐκ χοὸς ὁ πλάσας με, κατ' εἰκόνα Δέσποτα τὴν σήν, καὶ υἱοθεσίας σου φιλάνθρωπε, ἀξιώσας, συντήρησόν με ὡς εὔσπλαγχνος.

Τοῖς ἀμέτροις πταίσμασι, καταλλήλως βέβλημαι ἁγνή, τῶν κακούντων θλίψεσι· διὸ παράσχου μοι, τὸν ἱλασμόν, καὶ λυπηρῶν ἀπολύτρωσιν.

Ταῖς πρεσβείαις πλήρωσον, τοὺς σοὺς δούλους δόξης θεϊκῆς, καὶ φωτὸς ἀῤῥήτου καταξίωσον, σοὺς ὑμνητὰς Θεοχαρίτωτε Δέσποινα.

Καταδίκης ῥῦσαί με, αἰωνίου Δέσποινα ἁγνή, καὶ χαρᾶς τῆς θείας καταξίωσον, καὶ τῆς τρυφῆς τοῦ Παραδείσου πρεσβείαις σου.

Κάθισμα. Τὸν συνάναρχον.

Χαῖρε κλίμαξ Κυρίου ἡ Θεοστήρικτος· χαῖρε γέφυρα θεία Θεοπάροδευτος· χαῖρε προσφύγιον πιστῶν καὶ ἱλαστήριον, ἡ προσάγουσα ἡμᾶς, πρὸς τὸν υἱόν σου καὶ Θεόν, τοὺς πάντοτε τῇ σῇ σκέπῃ, προστρέχοντας Θεοτόκε, ὡς εἰς λιμένα γαληνότατον.

Ωδή, ζ'. Ὁ ὑπερυψούμενος.

Νεῦσον παρακλήσεσι, νῦν τῶν προστρεχόντων σοι, καὶ ταύτας προσάγαγε Θεῷ Πανοικτίρμονι, καὶ πλήρου τὰς αἰτήσεις, πολυύμνητε Μαρία.

Ὕπνον ἀποτίναξον, τὸν τῆς ῥαθυμίας μου· καὶ φώτισον δέομαι, σεμνὴ τὰς αἰσθήσεις μου,

ἐγρήγορσιν διδοῦσα, καὶ μετάνοιαν ἀξίαν.

Ἵλεων γενέσθαι μοι, σὺ τὸν εὐδιάλλακτον, Παρθένε δυσώπησον· καὶ σῶσαί με ψάλλοντα, ψυχῇ συντετριμμένῃ· ὁ Θεὸς εὐλογητὸς εἶ.

Χρόνῳ σου τὸ ἔλεος, οὐ συμπεριγράφεται· ἀεὶ γὰρ Πανάχραντε, οἰκτείρεις τοὺς δούλους σου, καὶ νέμεις τοῖς αἰτοῦσι, τὴν ἀνέκλειπτόν σου χάριν.

Ὠδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Δόξῃ θεϊκῇ ἡ λαμπρυνθεῖσα μόνη, ὡς Μήτηρ ὑπάρχουσα τοῦ σὲ δοξάσαντος, δόξης τῆς ἄνω τυχεῖν με θείας Κόρη, αἴτησαι τὸν μόνον ἀεὶ δεδοξασμένον.

Ὅλη ἐκλεκτὴ λελαμπρυσμένη πέλεις· ὅλη μόνη πάναγνος, σεμνὴ καὶ ἄσπιλος· ὅθεν βοῶ σοι φιλάγαθε Παρθένε, κάθαρόν με ῥύπου, παντὸς ταῖς σαῖς πρεσβείαις.

Αἰδοῦ ἱλασμὸν Θεογεννῆτορ Κόρη, καὶ βίου διόρθωσιν τοῖς σοὶ προστρέχουσιν· ὅπως ἀπαύστως, ὑμνῶμέν σε Παρθένε, καὶ ὑπερυψῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ φαεινὰς καὶ τηλαυγεῖς ἀκτῖνας, τοῦ ἡλίου Δέσποινα ἡ προστασία σου, πᾶσιν ἀπλοῦσα, ἀκτῖνας τῶν θαυμάτων, λύει τὴν ὁμίχλην παθῶν καὶ νοσημάτων.

Ὁ Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε.

Ὠδὴ, θ'. Ἡσαΐα χόρευε

Δονουμένους θλίψεσι, καὶ τῷ πλήθει τῶν ἀνιαρῶν, ἑδραίωσον ἡμᾶς, θείᾳ σου ῥοπῇ, Μαρία Θεόνυμφε, ἐν τῇ στεῤῥᾷ τῆς ὑπομονῆς, καὶ τῆς ἐλπίδος σου, πέτρᾳ ἵνα σε δοξάζωμεν.

Ὑπερήρθη ἄχραντε, τὸ φορτίον τὸ τῶν λυπηρῶν, δυνάμεως τῆς ἐμῆς, καὶ πρὸς ἀχανές, τὸ τῆς ἀπογνώσεως καθέλκει με βάραθρον ἀφ' οὗ, ῥῦσαί με Δέσποινα τοῦ ἀπαύστως μεγαλύνειν σε.

Φωτοφόρον ὄχημα, ἀνεδείχθης τοῦ Ἐμμανουὴλ, φωτίζουσα τοὺς πιστούς, Δέσποινα ἁγνή· διό με καταύγασον, ῥαθυμίας σκότει τὴν ψυχὴν, νῦν καλυπτόμενον, καὶ τοῖς πταίσμασιν ὀλλύμενον.

Σὺ προστάτις πέφυκας, τῆς ψυχῆς μου πάνσεμνε ἁγνή· ἐν σοὶ γὰρ τῶν δυσμενῶν, θραύω τὴν ἰσχὺν, καὶ σοῦ ἀπηώρησα, τὰς αἰσθήσεις πάσας καὶ τὸν νοῦν· σῶσόν με σῶσόν με· ἵνα πόθῳ μεγαλύνω σε.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαίροις περιστερὰ λογικὴ, κατακλυσμοῦ τοῦ νοητοῦ παῦλαν φέρουσα, καὶ ῥύπον τῆς ἁμαρτίας, πλύνασα μόνη ἁγνή· τὸ θερμὸν τοῦ κόσμου ἱλαστήριον· ἐλπὶς ἀκαταίσχυντε, καὶ βεβαία ἀντίληψις, τῶν σὲ τιμώντων, καὶ ὑμνούντων ἐκ πίστεως, καὶ τὴν θείαν σου, ἐκζητούντων βοήθειαν· Χαῖρε ἄνω δυνάμεων, παμπόθητον ἄκουσμα· Χαῖρε δαιμόνων ἡ πτῶσις· Χαῖρε βροτῶν ἡ ἀνόρθωσις· Χριστοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαίροις ἡ φεραυγὴς χελιδὼν, ἡ ἐκ χειμῶνος, νοητοῦ ἔαρ φέρουσα, καὶ ζάλην τῆς ἁμαρτίας, παύσασα μόνη σεμνή· Χαῖρε θεία σκέπη· Χαῖρε τράπεζα, ἐν σοὶ τὸν οὐράνιον, τῆς ζωῆς ἄρτον ἔχουσα, οὗ οἱ τρυφῶντες, οὐ δεδοίκασι θάνατον, οὐδὲ θνήσκουσιν· ἀλλὰ ζῶσιν ὡς ἔφησεν, ἄχραντε Παντευλόγητε, ὁ Πλάστης τῆς φύσεως· οὗ καὶ ἡμᾶς τοὺς σοὺς δούλους, ἐμφορηθῆναι ἀξίωσον, τυχεῖν τε Παρθένε, τῆς ἀλήκτου καὶ ἀφθάρτου Μακαριότητος.

Χαίροις Παρθενομῆτορ ἁγνὴ, ἡ ἁπλουστάτη καὶ ἀμίαντος Δάμαλις, τὸν μόσχον ἡ τετοκυῖα, τὸν μυστικὸν τοῦ Θεοῦ· Ἀμνὰς καθαρά τε καὶ πανάσπιλος· Δορκὰς ἐν τοῖς ὄρεσιν, ἀρωμάτων ἡ βόσκουσα, καὶ νεμομένη ἐν τοῖς κρίνοις ἀείποτε· θείαις χάρισι, καὶ τρυφαῖς ταῖς τοῦ Πνεύματος. Ἔλαφος ἡ ταχύδρομος, τοὺς ὄφεις ἡ κτείνουσα, τοὺς νοητοὺς καὶ σῶν δούλων, πόρρωθεν τούτους ἐλαύνουσα· Χριστοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Παῦσον τὴν κατ' ἐμοῦ τῶν δεινῶν, κυμαινομένην, θεοδόξαστε θάλασσαν· ἁπάντων κραταιοτάτη, καταφυγὴ τῶν πιστῶν· καὶ πρὸς θεῖον ὅρμον καθοδήγησον, ἁγνὴ τὸν ταλαίπωρον, καὶ πανάθλιον δοῦλόν σου, ἤδη πρὸς χάος, ἀπωλείας ἐγγίσαντα, καὶ πρὸς τέταυρον, ἀπογνώσεως φθάσαντα· Δέσποινα μὴ παρίδῃς με, κακῶς κινδυνεύοντα, καὶ ὀλοψύχως ζητοῦντα, τὴν σὴν ταχεῖαν βοήθειαν· εἰς σὲ γάρ μου πᾶσαν, προσδοκίαν ἀνεθέμην Θεομακάριστε.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΦΑΝΟΥΣ ΝΙΚΑΙΑΣ ΤΟΥ ΓΡΑΠΤΟΥ,

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ, α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

ΥΠΕΡΕΥΛΟΓΗΜΕΝΗ Μαρία Πάναγνε, τοὺς ἐν πίστει καὶ πόθῳ, οἷα Θεοῦ Μητέρα σε, ὑμνοῦντας διάσωσον, ἐκ παθῶν καὶ θλίψεων, καὶ πταισμάτων ταῖς ἱκεσίαις σου.

Πίστις ἡγείσθω μόνη καὶ μὴ ἀπόδειξις, τῶν ὑπὲρ νοῦν θαυμάτων σου Θεονύμφευτε· τὸν γὰρ ἀκατάληπτον, ὑπὲρ φύσιν τέτοκας, ἐνδυσάμενον τὸ ἀνθρώπινον.

Ὅλος ἐπιθυμία, καὶ ἄχραντος γλυκασμὸς, ὁ υἱὸς καὶ Θεός σου, τῶν ἀγαθῶν τὸ πλήρωμα, ὑπάρχει. Παναμώμε· ὃν δυσώπει ῥύσασθαι, πάσης θλίψεως τοὺς τιμῶντάς σε.

Θαῦμα ἐν σοὶ τελεῖται, Παρθένε ὄντως φρικτὸν, ὅτι ἐν τῇ γαστρί σου τὸν μηδαμοῦ χωρούμενον, ἐγκύμονα ἔσχηκας, καὶ ἀφράστως τέτοκας, Ἀειπάρθενος διαμείνασα.

Ὠδὴ, γ΄. Ὁ πήξας ἐπ' οὐδενός.

Ὁ πάλαι ἐξ οὐδενὸς ποιήσας τὰ σύμπαντα, ἐκ τῆς σῆς ἁγίας γαστρὸς προέρχεται, ἄν-

θρωπος γενόμενος ἁγνὴ ὑπὸ φιλανθρωπίας, διαφερόντως ὁ φιλάνθρωπος· ἵνα τοὺς ἀνθρώπους λυτρώσηται.

Ἰδοὺ σὺ ὑπὲρ πάσας ἁγνὴ κεχαρίτωσαι· ὑπερέβης πάσας τῇ ἁγιότητι· πάντων ὑπερῆρας καὶ πασῶν, ὤφθης ὑψηλοτέρα, τῶν νοερῶν σαφῶς δυνάμεων· Μήτηρ τοῦ Θεοῦ χρηματίσασα.

Παρθένε τὸ καθαρὸν τοῦ Λόγου Παλάτιον, τὴν ψυχήν μου δεῖξον οἶκον τοῦ Πνεύματος· ὕδατος πηγὴ ζωαρχικοῦ, πότισόν με τῇ καύσει, τῆς ἁμαρτίας ἐκτηκόμενον· ὅπως κατὰ χρέος δοξάζω σε.

Ἐκτός σου μετὰ Θεὸν προστάτιν οὐ κέκτημαι, ἐκ τῶν ἀναγκῶν με ἀεὶ ἐξαίρουσαν· Δέσποινα πανύμνητε σεμνή, Μαρία Θεοτόκε· μή με παρίδῃς ἀπολλύμενον, καὶ ταῖς ἁμαρτίαις σκοτούμενον.

Ὠδὴ, δ'. Τὴν θείαν ἐννοήσας σου.

Ὑφάνασα ἱστὸν ἐξ αἱμάτων σου, παρθενικῶν τῷ οὐρανὸν, νεφέλαις Κόρη ἐνδύοντι, κατάστολὴν ἀφθαρσίας, ἀπάτῃ γυμνωθέντα με ἔνδυσον.

Ἡ μήτρα σου παλάτιον ἅγιον, τοῦ Βασιλέως καὶ Θεοῦ, ἀνερμηνεύτως γεγένηται, ἐν ᾧ οἰκήσας Παρθένε, ναοὺς ἡμᾶς αὐτοῦ ἀπειργάσατο.

Ἀφράστως συλλαβοῦσα Πανάμωμε, τὸν ποιητήν σου καὶ Θεὸν, δυσώπει σῶσαι κινδύνων ἅπαντας· καὶ ψυχικὴν σωτηρίαν, βραβεῦσαι τοῖς ὑμνοῦσί σε Δέσποινα.

Οἰκτείρησον οἰκτίρμων ὑπάρχουσα, τὴν παναθλίαν μου ψυχὴν, Θεογεννῆτορ πανάμωμε, τὴν ἐκ παθῶν καὶ πταισμάτων, δεινῶς ἀμαυρωθεῖσαν καὶ στένουσαν.

Ὠδὴ, ε'. Ὁ ἀναβαλλόμενος.

Συμφορῶν τῷ κλύδωνι νῦν με ποντούμενον, πρὸς τὸν λιμένα τῆς σῆς γαλήνης, Παναγία ἴθυνον, ἡ τὸν κυβερνήτην, τῆς ἀπαθείας τέξασα.

Νοῦς οὐδὲ οὐράνιος ὄντως δυνήσεται, σὲ Θεομῆτορ ὑμνεῖν ἀξίως· τὸν γὰρ Κτίστην τέτοκας, τὸν ταῖς οὐρανίαις, ὑμνούμενον δυνάμεσιν.

Νέον ἀπεκύησας ὡς βρέφος ἄχραντε, τὸν πρὸ αἰώνων Πατρὸς ἀχρόνου, ἀχρόνως ἐκλάμψαντα· ὃν ὑπὲρ τοῦ κόσμου, δυσώπει Θεονύμφευτε.

Φώτισον τὰ ὄμματα τῆς διανοίας μου, χρυσῆ λυχνία φωτὸς τοῦ θείου, καὶ παθῶν διάλυσον, τὸ ζοφῶδες Κόρη, καὶ ὅλον με ἐκλάμπρυνον.

Ὠδὴ, ς'. Μαινομένην.

Παναγία Δέσποινα, Θεομῆτορ ῥῦσαί με φθορᾶς, καὶ παθῶν τὸν τάραχον κατεύνασον, ἡ τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα.

Ὑπὲρ νοῦν τὸν ἄχρονον, ὑπὲρ λόγον τὸν Δημιουργὸν, Παναγία τέτοκας λυτρούμενον, πάσης φθορᾶς τοὺς Θεοτόκον ὑμνοῦντάς σε.

Ὁ Πατρὶ συνάναρχος, υἱὸς Κόρη κόλπους Πατρικοὺς, μὴ λιπὼν ηὐλίσθη ἐν ταῖς κόλποις σου, καὶ Ἀβραὰμ τοὺς κόλπους ἡμῖν ἠνέωξεν.

Απειράνδρως τέτοκας, Θεοτόκε τὸν Ἐμμανουὴλ, τὴν ἡμῶν ταπείνωσιν οἰκτείραντα· ὅθεν ἀεὶ χρεωστικῶς σε δοξάζομεν.

Κάθισμα. Τὸν συνάναρχον.

Η τὸ ἄνθος τὸ θεῖον ῥίζα βλαστήσασα· κιβωτὲ καὶ λυχνία καὶ στάμνε πάγχρυσε· ἁγία τράπεζα ζωῆς τὸν ἄρτον φέρουσα· ὡς υἱόν σου καὶ Θεὸν, ἐκδυσώπησον αὐτὸν, σὺν τοῖς Ἀγγέλοις καὶ πᾶσι, τοῖς ἀπ' αἰῶνος ἁγίοις, τοῦ ἐλεῆσαι τοὺς ἀνυμνοῦντάς σε.

Ωδὴ, ζ'. Ο ὑπερυψούμενος.

Ο ὑπερυψούμενος σὺν Πατρὶ καὶ Πνεύματι, υἱὸς ἐκλεξάμενος, σὲ λίαν ἠγάπησεν, ἁγνὴ πρὸς κατοικίαν, ἑαυτοῦ εὐλογημένη.

Πύλην ἀδιόδευτον, ὁ Προφήτης βλέπει σε, Μαρία Πανάχραντε, ἣν μόνος διώδευσεν· ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Στόματι καὶ γνώμῃ σε, Θεοτόκον Πάναγνε, κηρύττω γηθόμενος· Θεὸν γὰρ γεγέννηκας· ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Νύμφη Θεοῦ πέφυκας· Ἀποστόλων καύχημα· Μαρτύρων στεφάνωμα· Ὁσίων ἀγλάϊσμα· χαρὰ δὲ τῶν βοώντων· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ωδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Σοὶ τῇ τοῦ παντὸς τὸν Ποιητὴν τεκούσῃ, ὁποῖον Πανύμνητε τὸν ὕμνον ᾄσωμεν; σὲ γὰρ ὑμνοῦσιν Ἀγγέλων στρατηγίαι· καὶ δοξολογοῦσι βροτῶν χοροστασίαι.

Κλίμαξ νοητὴ δι' ἧς Θεὸς κατέβη· μετάγουσα γέφυρα γηΐνους ἄνωθι· θαῦμα Ἀγγέλων· Δαιμόνων τραῦμα μέγα, ἴαμα πιστῶν τε, ὑπάρχεις Θεοτόκε.

Πῶς Παρθενικῆς μὴ ἐκπεσοῦσα δόξης, μητρῴαν ἐπλούτισας τιμὴν ἀνύμφευτε; οἶδεν ὁ ταῦτα σοφῶς τερατουργήσας· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ηνοιξα κἀγὼ τετολμηκὼς ἐκ πόθου, πρὸς ὕμνον Πανύμνητε, τὸν σὸν τὸ στόμα μου· ὅθεν πλησθῆναι, σοφίας δυσωπῶ σε, καὶ ἑλκῦσαι Πνεῦμα, συνέσεως Μαρία.

Ο Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ'. Ησαΐα χόρευε.

Θεομῆτορ Πάναγνε, προστασία τῶν Χριστιανῶν· περίσωζε σὸν λαὸν πάσης ἀπειλῆς, καὶ πάσης ἁλώσεως βαρβαρικῆς, ὀργῆς καὶ θυμοῦ· πάσης κακώσεως, καὶ ἐκ πάσης κατακρίσεως.

Εὐλαβῶς σοι ᾄδομεν, ἐγκωμίων ᾄσματα ἁγνὴ, λυτρούμενοι ἀεὶ νόσων χαλεπῶν, ταῖς θείαις πρεσβείαις σου· διὸ καὶ νῦν, κράζομεν πιστῶς· ἴασαι Δέσποινα τὰς ψυχὰς ἡμῶν καὶ σώματα.

Παναγία Δέσποινα, ἐκδυσώπει τὴν προσκυνητὴν, τριάδα ἧς ἀπαθῶς τὸν ἕνα σαρκὶ, ἡμῖν ἀπεγέννησας, εἰρηνεῦσαι τοὺς ἐπὶ τῆς γῆς· λύσιν πταισμάτων τε, τοῖς ὑμνοῦσί σε δωρήσασθαι.

Σῶν προσφύγων Πάναγνε, μὴ ἀπώσῃ νῦν τὸν στεναγμόν· ἀλλ' ἔπιδε ἡμῶν ἐν τοῖς θλιβεροῖς· τὸ πένθος μετάβαλε εἰς χαρμονὴν καὶ τὸ κατηφὲς, εἰς ἀγαλλίασιν, τῶν ἐν ὕμνοις γεραιρόντων σε.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ νοητὴ κιβωτὸς· δι' ἧς βροτοὶ κατακλυσμοῦ ἐλυτρώθημεν, καὶ ζάλης τῆς ἁμαρτίας, Θεογεννῆτορ ἁγνή, τὸ λαμπρὸν τοῦ Κόσμου ἐγκαλλώπισμα· σεμνὴ καὶ τῆς πίστεως, τὸ στεῤῥότατον ἔγερμα· Χαῖρε λυχνία, φωταυγὴς καὶ ὑπέρλαμπρος, ἡ τὸ ἄστεκτον, ἐν κοιλίᾳ σου ἄμωμε, φῶς τὸ πανυπερούσιον, ἀσπόρως βαστάσασα· Χαῖρε κατάρας ἡ λύσις· καὶ εὐλογίας ἀντίδοσις· Χριστοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τὸ κόσμῳ τὸ μέγα ἔλεος.

Χαίροις ἡ μαργαρίτην Χριστὸν, ἐξ ἀστραπῆς τῆς θειοτάτης κυήσασα· τοὺς σκότει τῆς ἀγνωσίας, καὶ τοὺς ἐν βάθει δεινῶν, συσχεθέντας μόνη ὁδηγήσασα, πρὸς φῶς τὸ τῆς γνώσεως, ὑπερύμνητε Δέσποινα· Χαῖρε νεφέλη, φωταυγὴς καὶ ὑπέρλαμπρε· Χαῖρε καύχημα Ἀποστόλων καὶ κήρυγμα· θέαμα περιβόητον· ἐξαίσιον ἄκουσμα· Χαῖρε δοχεῖον τοῦ Κτίστου, καὶ καθαρὸν ἐνδιαίτημα, Θεοῦ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Χαίροις ἀνατολὴ νοητὴ, ἡ ἐκ λαγόνων τὸν Χριστὸν ἀνατείλασα, πληροῦντα τὴν οἰκουμένην, φωτὸς ἀῤῥήτου ἁγνή, τὸ τῶν ἀσωμάτων ἀγαλλίαμα· ἀμνὸν Θεοῦ αἴροντα, ἁμαρτίας ἡ τέξασα, παντὸς τοῦ κόσμου, τὸν τροφέα καὶ πρύτανιν, ἡ θηλάσασα, καὶ ἀγκάλαις κρατήσασα· μόνη ἡ ἀδιάφθορος, ἁγνὴ καὶ ἀμόλυντος· Χαῖρε ἁγία ἁγίων, τὸν ὑπεράγιον Κύριον, ἀεὶ δυσωποῦσα, μὴ ἐλλίπης Θεοτόκε ὑπὲρ τῶν δούλων σου.

Στρέψον τὸν κοπετὸν εἰς χαράν· εἰς εὐθυμίαν δὲ τὸ πένθος μετάβαλε· τὸν θρῆνον εἰς εὐφροσύνην, καὶ ἀγαλλίασιν νῦν, Θεοτόκε μόνη παντευλόγητε· καὶ γὰρ ἐπληθύνθησαν, οἱ μισοῦντες τὸν δοῦλόν σου, καὶ ἐκζητοῦσι, τὴν ψυχὴν ἀπολέσαι μου, ἀναιδεῖς ὄντες, αἱμοβόροι καὶ δόλιοι, μάτην κατεπαιρόμενοι, δεινῶς ὠρυόμενοι· κύνες καθάπερ λυσσῶντες· ὧν τῆς κακίας με λύτρωσαι, ζωὴν δωρουμένη, εὐφροσύνην σωτηρίαν, καὶ μέγα ἔλεος.

# ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ ΣΜΥΡΝΗΣ

Οὗ ἡ ἀκροστιχίς.

Πέμπτος Κανών σοι Μητροφάνους Παρθένε.

Ὠδὴ, α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

ΠΑΣΑΙ ΣΕ τῶν ἀνθρώπων γεραίρουσι γενεαὶ, καθὼς πάλαι Παρθένε, προφητικῶς προείρηκας· κἀμὲ τοίνυν πρόσδεξαι, μελῳδόν σου Δέσποινα, καὶ καταύγασον καὶ συνέτισον·

Ἔθραυσας τοῦ θανάτου τὸ κέντρον τὴν κοσμικὴν, ἁμαρτίαν Παρθένε τὴν ἀληθῆ γεννήσασα, ζωὴν δι' ἧς ἄμβλυνον, τῶν παθῶν μου Δέσποινα, τὰ ὀξύτονα βέλη τάχιον.

Μόνη πεποικιλμένη Παρθενικοῖς κροσσωτοῖς, ἐξ αἰῶνος φανεῖσα τὸ τῆς ψυχῆς ἱμάτιον, Ἀδὰμ σὺ διέρρηξας· διὸ νῦν μὲ ἔνδυσον, σωφροσύνης στολὴν πρεσβείαις σου.

Πλοῦτον καὶ θείαν δόξαν, ἐκτήσαντο μὲν πολλαὶ, θυγατέρες προδήλως· ἀλλ' ἀσυγκρίτως Δέσποινα, σὺ πάσας ὑπέρκεισαι· διὸ νῦν με πλούτισον, οὐρανίαις καὶ θείαις χάρισιν.

Ὠδὴ, γ΄. Ὁ πήξας ἐπ' οὐδενός.

Τὸ βάθος καὶ τὸ ὕψος ἐν σοὶ διεγνώσθησαν, τῆς τοῦ Θεοῦ σοφίας Μαρία Πάναγνε, τῆς ἀκαταλήπτως ἐκ τῆς σῆς, μήτρας γεγεννημένης· δι' ἧς τὰ βάθη τῆς καρδίας μου, ῥῦσαι σοφισμάτων τοῦ ὄφεως.

Ὁ πρώην πτερωτὰ καὶ νηκτὰ ἐκ τοῦ ὕδατος, οὐσιώσας λόγῳ μὴ προϋπάρχοντα· σὺ ἐκ τῶν αἱμάτων τῆς ἁγνῆς, αὖθις Χριστὲ Παρθένου, τὸ τῆς Θεότητος σαρκίον σου, ἔνδυμα φρικτῶς κατεσκεύασας.

Σὺ μόνη χωνευτήριον ὤφθης τῆς φύσεως, ἐν ᾧ πῦρ τὸ θεῖον ἀφλέκτως ἄχραντε, ταύτην ἀνεχώνευσε σαφῶς· σὺ οὖν ἁμαρτημάτων, καὶ τῶν παθῶν μου ῥύπον χώνευσον, καὶ ταῖς σαῖς πρεσβείαις με λάμπρυνον.

Κρατῆρα τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τοῦ ποτιζομένου σαφῶς εἰς ἄφεσιν, τῶν ἁμαρτημάτων τοῖς πιστοῖς, σὲ Πάναγνε γινώσκων, καθικετεύω συγχωρήσεως, νέκταρ τὴν καρδίαν μου πότισον.

Ὠδὴ, δ΄. Τὴν θείαν ἐννοήσας.

Ἀνήροτος σὺ πέφηνας ἄρουρα, τὸν μὴ σπαρέντα Θεϊκὸν, ἀναβλαστήσασα ἄσταχυν· διὸ πεινῶντά με θρέψον, ταῖς θείαις δωρεαῖς σου καὶ χάρισιν.

Νοσοῦντά με πρὸς θάνατον Δέσποινα, τὸν τῆς ψυχῆς καὶ τῶν παθῶν, τῷ πυρετῷ συνε-

χόμενον, τῶν πρεσβειῶν σου τὸ ὕδωρ, ποτίσασα συντόμως ἀνάστησον.

Ὡς οὖσα τοῦ Θεοῦ πόλις ἔμψυχος, ἣν ποταμοῦ τοῦ νοητοῦ, εὐφραίνουσι τὰ ὁρμήματα, τῶν πρεσβειῶν σου τῷ πύργῳ, ψυχῆς μου τὴν οἰκίαν ὀχύρωσον.

Νεφέλην σε γινώσκων τὴν ῥάνασαν, δικαιοσύνην ἀληθῆ, λιτάζω Πάναγνε Δέσποινα, τῶν ἀδικούντων με πάντων, λυτρώσασθαι τὸν δοῦλον σου τάχιον.

Ὠδὴ, ε'. Ὁ ἀναβαλλόμενος.

Σάλον καὶ τὸν κλύδωνα, Μαρία Δέσποινα, τῆς ἁμαρτίας καὶ τῶν παθῶν μου, παντελῶς κατεύνασον, ἡ τῆς ἀπαθείας κυήσασα τὸν αἴτιον.

Ὁ ἱστὸς ὃν ἄνωθεν, Χριστὸς ἐξύφανε, τῆς εὐπρεπείας στολὴν τῆς θείας, ἀρετῶν ἐνδύματι, τὴν γεγυμνωμένην, ἁγνὴ ψυχήν μου στόλισον.

Ἱλασμόν μοι δώρησαι, ταῖς σαῖς δεήσεσιν, ἁμαρτημάτων ἁγνὴ Παρθένε, ἡ τὸ ἱλαστήριον, τὸ θεῖον τεκοῦσα, Χριστὸν ἡμῖν τὸ Κύριον.

Μώλωπας καὶ τραύματα καὶ σηπεδόνας μου, τῆς ἁμαρτίας τῇ χειρουργίᾳ, πρεσβειῶν ἀφάνισον, καὶ ῥῶσιν Παρθένε, τῷ δούλῳ σου πρυτάνευσον.

Ὠδὴ, ς'. Μαινομένην.

Ἡ τὸ φῶς κυήσασα, τῶν φωστήρων τὸ ποιητικὸν, τὴν ψυχήν μου φώτισον καὶ λύτρωσαι, τῆς τῶν παθῶν, ὁλόφωτε νῦν ζοφώσεως.

Τὸν Μεῤῥᾶς γλυκάναντα, Θεοτόκε ὕδατα τὸ πρὶν, σὸν υἱὸν δυσώπησον τοῦ ῥύσασθαι, τῆς τῶν παθῶν, δεινῆς πικρίας με τάχιον.

Ῥευματίζει χείμαῤῥος, τὴν ψυχήν μου Πάναγνε παθῶν· ἀλλὰ τοῦτον ξήρανον πρεσβείαις σου, καὶ λογισμοὺς, τοὺς πονηροὺς ἐξαφάνισον.

Ὁ Χριστὸς ῥυόμενος, τοὺς ἀνθρώπους ἧκεν ἐκ Σιὼν, ἐκ γαστρός σου Δέσποινα Πανάμωμε· διὸ κἀμὲ, κινδύνων ῥῦσαι καὶ θλίψεων.

Κάθισμα. Τὸν συνάναρχον.

Ἐν πελάγει τοῦ βίου κλυδωνιζόμενος, καὶ μερίμναις γηΐναις περιαντλούμενος, καὶ συμπνιγόμενος τὸν νοῦν τὴν σὴν βοήθειαν, ἐπικαλοῦμαι ἐκ ψυχῆς· ἐπιταχύνουσα λοιπὸν, κυβέρνησον καὶ πρὸς ὅρμον, εἰσάγαγε μετανοίας· ἵνα ὑμνῶ σε Παρθένε ἄχραντε.

Ὠδὴ, ζ'. Ὁ ὑπερυψούμενος.

Φρίττουσι καὶ φεύγουσι, τὴν σὴν κλῆσιν Δέσποινα, δαιμόνων αἱ φάλαγγες· ἐξ ὧν λυτρουμένη με, διάσωζε καὶ φρούρει, κατ' ἀμφοῖν ἐκ πάσης βλάβης.

Ἄῤῥητος ἡ δόξα σου· τὸν γὰρ δόξης Κύριον, Παρθένε γεγέννηκας διό με ἀξίωσον, τῆς οὐρανίου δόξης, τὸν πιστῶς σε ἀνυμνοῦντα.

Νεῦσον ταῖς δεήσεσι, τοῦ σοῦ δούλου Δέσποινα, καὶ ῥῦσαι με τάχιον, κινδύνων καὶ θλίψεων, καὶ πάσης ἐπηρείας, δυσμενῶν τῶν ἀοράτων.

Ὅλον με τοῖς πάθεσι, τῆς αἰσχύνης ἄχραντε, χρανθέντα καὶ χρήζοντα, καθάρσεως ἐκ-

πλυνον, καὶ λάμπρυνον Παρθένε, πρεσβειῶν σου ταῖς ῥανίσιν.

Ωδὴ, η'. Σοὶ τῷ παντουργῷ.

Ὕδωρ ἀτεκνοῦν τὸ τῶν παθῶν ψυχῆς μου, τὴν μήτραν ἐστείρωσε καὶ κατεξήρανε· ῥανόν μοι κούφη, νεφέλη θεῖον ὄμβρον· ὅπως ἐκβλαστήσω καρποὺς τῆς μετανοίας.

Σάλον λογισμῶν τῶν ἐμπαθῶν καὶ ζάλην, κατεύνασον Πάναγνε ταῖς σαῖς δεήσεσιν, ἴθυνον δέ με, πρὸς ὅρμον ἀπαθείας· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Πύλη νοητὴ καὶ κεκλεισμένη θεία, ἣν μόνος διώδευσε θεὸς ὁ εὔσπλαγχνος, κλεῖσον καὶ φράξον τὰς θύρας τῶν παθῶν μου, καὶ τὰς τῆς ἐλπίδος διάνοιξόν μοι θύρας.

Ἆρον ἀπ' ἐμοῦ τὸν τῶν πταισμάτων φόρτον, ἡ μόνη τὸν αἴροντα κόσμου τοῦ σύμπαντος, Μῆτερ Παρθένε, τὴν ὅλην ἁμαρτίαν· τέξασα ἀφράστως, ἀμνὸν Θεοῦ καὶ Λόγον.

Ὁ Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ'. Ἠσαΐα Χόρευε.

Ῥυπωθεὶς ὡς ἄνθρωπος, τὴν ψυχήν μου πταίσμασι πολλοῖς, καὶ πάθεσι σαρκὸς, καταμολυνθεὶς, λιτάζω συντόνως σε καὶ δυσωπῶ, κάθαρον ἁγνὴ, σαῖς με δεήσεσιν, ἀπὸ πάσης νῦν φαυλότητος.

Θελητὴν γεγέννηκας, τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν, φιλάνθρωπον Θεὸν, μόνον ἀγαθὸν, μακρόθυμον εὔσπλαγχνον, ὃν εὐμενῆ δεῖξόν μοι ἁγνὴ, ταῖ σαῖς δεήσεσι, καὶ πταισμάτων λύσιν βράβευσον.

Ἐμαυτὸν ὀδύρομαι, ἐννοῶν μου τῶν ἁμαρτιῶν, τὰ πλήθη καὶ τῶν παθῶν, τὰς ἐπαγωγάς· ψυχῆς μου τὴν πώρωσιν· καὶ τοῦ νοός μου τὰς ἐκτροπάς· ἀπεγνωσμένον με, ἁγνὴ σῶσον τῷ ἐλέει σου.

Εὐλογῶ δοξάζω σε, μεγαλύνω Πάναγνε θερμῶς, εὐλόγησόν με οὖν, τὸν σὸν ὑμνῳδὸν, καὶ πάντων ἐκλύτρωσαι, τῶν δυσμενῶν καὶ τῶν λυπηρῶν, καὶ περιφύλαττε, σαῖς παλάμαις ἀπροσμάχητον.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν γηγενῶν ἡ ἐλπὶς· γῆ ἐκλεκτὴ καὶ καθαρὰ καὶ ἀμόλυντος· πηγή τε ἐσφραγισμένη, τοῦ Παρακλήτου σεμνὴ, σὺ ὑπάρχεις μόνη ἀειπάρθενε, ἐξ ἧς οἱ ὑμνοῦντές σε, σωτηρίαν εὑρίσκομεν· γένους βροτείου, ἡ τελεία ἀνάκλησις· χώρα εὔκαρπε, ἡ τὸν στάχυν βλαστήσασα· γέφυρα ἡ μετάγουσα, ζωὴν πρὸς τὴν ἔνθεον· ἡ κυβερνῆτις ἡ θεία· χειμαζομένων ἡ ἄγκυρα· λιμὴν σωτηρίας, τῶν ἐκ πόθου σε ζητούντων ὁ εὐδιώτατος.

Χαίροις ἡ διαυγὴς καὶ λαμπρὰ, πηγὴ ἐξ ἧς τὸ καθαρὸν καὶ ἀθόλωτον, προῆλθεν ὕδωρ ποτίζον, τοὺς κρατουμένους φλογμῷ, ἁμαρτίας Κόρη καὶ κακώσεως· αὐγὴ ἡ τὸν ἥλιον, ἐν τῷ κόσμῳ εἰσάξασα· Χαῖρε τὴν πλάνην, τῆς ἀπάτης ἡ σβέσασα, καὶ πρὸς ἔνθεον, πίστιν πάντας ἑλκύσασα· Χαῖρε τὸ πολυπόθητον, τοῖς πέρασιν ὄνομα· χαῖρε πιστῶν σωτηρία. Χαῖρε βροτῶν ἡ ἀνόρθωσις· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Χαῖρέ σοι προσφωνοῦμεν ἁγνή, τοῦ Ἀρχαγγέλου αἱ φυλαὶ τῆς γῆς ἅπασαι, καὶ πόθῳ σε εὐφημοῦμεν, προσᾴδοντές σοι θερμῶς· Χαῖρε θεία στάμνε μάννα φέρουσα· πηγὴ τὸ ἀείζωον, καὶ γλυκύτατον βρύουσα, νᾶμα Παρθένε, ἐξ οὗ πάντες οἱ πίνοντες, ἐκκαθαίρομεν τὴν ῥυπώδη κακόνοιαν· Χαῖρε στήριγμα ἄσειστον, τοῦ κόσμου Πανύμνητε· τῆς εὐσεβείας τὸ κράτος· καὶ Ἐκκλησίας ἑδραίωμα· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στῆσον τοὺς ποταμοὺς τῶν παθῶν· τῆς ἁμαρτίας μου τὸ πέλαγος ξήρανον, τῷ ῥείθρῳ τῆς σῆς πρεσβείας, καὶ πρὸς λιμένα Θεοῦ, σεπτῶν θελημάτων ἐγκαθόρμησον. ἐχθροὺς καθ' ἑκάστην, τοὺς τὴν ψυχήν μου ἐκθλίβοντας, καὶ ταῖς ἀτόποις, ἡδοναῖς ἐκταράττοντας, καταπόντισον ἀπωλείας εἰς βάραθρα· πλήρωσον τὴν καρδίαν μου, χαρᾶς καὶ ἡδύτητος· λῦσον τὸ νέφος βοῶ σοι, τῆς ἀθυμίας μου Πάναγνε· Χριστὸν δυσωποῦσα, τὴν συγχώρησιν δοθῆναι τῶν ἐπταισμένων μοι.

## ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΙΩΑΝΟΥ ΕΥΧΑΙΤΩΝ

Ὠδή, α΄. ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

ΡΗΜΑΤΑ ἐγκωμίων καὶ δέησιν προσευχῆς, ἐκ πτωχῆς διανοίας καὶ ἀναξίου στόματος, τολμήσας προσφέρω σοι· σὺ δὲ Κόρη πρόσδεξαι, ὥσπερ δύω λεπτὰ Θεόδεκτα.

Ἄλλον Παράδεισόν σε γινώσκομεν νοητόν, ἀσυγκρίτως νικῶντα, τὸν ἐν Ἐδὲμ Παράδεισον, Μαρία Πανάμωμε· σὺ γὰρ Θεονύμφευτε, τὴν ἀφθαρσίαν βροτοῖς ἐβλάστησας.

Ξύλον ζωῆς τρυγῆσαι ἐν Παραδείσῳ Ἀδάμ, ἐκωλύθη τοῦ δένδρου, μετειληφὼς τῆς γνώσεως· θανάτου δὲ σέσωσται, Θεοτόκε Πάναγνε, ἀθανασίαν ἐκ σοῦ δρεψάμενος.

Τέτοκας σαρκοφόρον τὸν πρὶν ἀσώματον· τὸν τροφέα μαζοῖς σου, Πανάμωμε ἐξέθρεψας· αὐτὸν οὖν ἱκέτευε, διαθρέψαι ἄρτῳ με, ἐναρέτων καὶ θείων πράξεων.

Ὠδή, γ΄. ὁ πήξας ἐπ' οὐδενός.

Ἐνθέως τὸν Γαβριὴλ ταξίαρχον ἔχοντες, εὐσεβῶς τὸ χαῖρε δεῦτε προσάξωμεν, τῇ ἀπειρογάμῳ τοῦ Θεοῦ, πάντες Μητρὶ συμφώνως· δι' ἧς κινδύνων τε καὶ θλίψεων, καὶ ἀσθενημάτων λυτρούμεθα.

Τὸ χαῖρε χαρμονικῶς σοι κράζομεν ἅπαντες, οἱ σωθέντες Κόρη τῷ θείῳ τόκῳ σου· χαῖρε γῆ ἀνήροτε χρυσοῦν, στάχυν ἐκθρεψαμένη, τὸν διατρέφοντα τὰ πέρατα, πάλαι ἀπιστίᾳ λιμώξαντα.

Ἀγγέλων ἁγιωτέρα ὤφθης κυήσασα, τὸν αὐτοὺς Παρθένε δημιουργήσαντα· ὅθεν ἱκετεύω

σε ἁγνή, ἁγίασον τὸν νοῦν μου, καὶ τὴν καρδίαν φωταγώγησον, νέφη τῶν παθῶν ἐκδιώκουσα.

Τὰ τόξα τὰ τὴν ἐμὴν καρδίαν τιτρώσκοντα, τῶν δεινῶν δαιμόνων Δέσποινα σύντριψον, καὶ ῥομφαίαν πῆξον τὴν αὐτῶν, εἰς τὴν αὐτῶν καρδίαν, ποιοῦσα κρίσιν καὶ ἐκδίκησιν, ἐν τοῖς ἀδικοῦσιν ἀδίκως με.

Ὠδὴ, δ'. Τὴν θείαν ἐννοήσας.

Διάχρυσον ἐσθῆτα θεότητος, σοὶ περιθεὶς ὁ σὸς υἱὸς, ἐκ δεξιῶν αὐτοῦ ἔστησε, πεποικιλμένην σε Κόρη, καὶ περιβεβλημένην ὡς Ἄνασσαν.

Τοῦ ᾄσματος φωνὰς σοι προσᾴδοντες, πόθῳ βοῶμέν σοι ἁγνή· μαστοί σου ὄντως ἐκαλλιώθησαν· οὓς περ ἐθήλασε μόνος, ὁ ἄσπορος υἱός σου καὶ Κύριος.

Η Εὔα πεπεισμένη τῷ δράκοντι, τέτοκε λύπην γυναιξί· σὺ δὲ Παρθένε πιστεύσασα, ταῖς ἐκ Θεοῦ ἀγγελίαις, παντὶ χαρὰν τῷ κόσμῳ ἐξήνθησας.

Ιδού σε γενεαὶ πᾶσαι Δέσποινα, τὴν μακαρίαν ἀληθῶς, ἐν γυναιξὶ μακαρίζομεν, καθὼς προεῖπας τεκοῦσα τὸν μόνον βασιλέα καὶ Κύριον.

Ὠδὴ, ε'. Ὁ ἀναβαλλόμενος.

Ὅλη ἡ πλησίον μου καλὴ καὶ ἄμωμος, ἀπὸ Λιβάνου Παρθένε νύμφη, τῷ ἁγίῳ Πνεύματι, σὺ προεγνωρίσθης, εἰς Θεοῦ λόγου σάρκωσιν.

Σοῦ τὰ χείλη πέφυκε σπαρτίον κόκκινον· καὶ τί ὡραία ἡ λαλιά σου! δι' ὧν κατεφίλησας, Θεὸν Παναγία, ὡς βρέφος ἐπωλένιον.

Ἥλιος νενίκηται τῇ σῇ λαμπρότητι· σὺ γὰρ Μαρία τὸν τοῖς φωστῆρσιν, οὐρανὸν κοσμήσαντα, χερσὶ περιέσχες, καὶ ἐκ μαζῶν ἐθήλασας.

Νύμφη Θεοῦ πάντιμε· ἡλίου ὄχημα· φωτὸς δοχεῖον· εὐῶδες ἄνθος· φυτὸν εὐθαλέστατον· κλέος τῶν παρθένων· Μαρία πολυύμνητε.

Ὠδὴ, ς'. Μαινομένην.

Ὁ καρπός σου ἄφθαρτος· καὶ ἡ μήτρα ἄφθορος ἁγνή· ὑπὲρ νοῦν ἑκάτερα δεικνύμενα· ὅθεν πιστοὶ εἰκότως χαῖρέ σοι ψάλλομεν.

Νάρδος ἀποστάζουσα, καὶ κηρίον μέλιτος ἁγνή, καὶ πηγὴν ζωήρρυτος πανύμνητε, ἡ σὴ γαστὴρ Θεὸν τεκοῦσα ἀνέφανε.

Νοεραὶ δυνάμεις σε, καὶ ἀνθρώπων πᾶσαι γενεαὶ, ὡς Θεὸν γεννήσασαν δοξάζουσι, διαπαντὸς εὐλογημένη πανάμωμε.

Η λαμπὰς ἡ ἄσβεστος, ἡ τεκοῦσα φῶς τὸ νοητὸν, τὴν ἐσκοτισμένην μου διάνοιαν, τῷ φωτισμῷ καταύγασον τῆς σῆς χάριτος.

Κάθισμα. Τὸν συνάναρχον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, ἣν προεκήρυξαν πάντες ἄνδρες οἱ δίκαιοι· καὶ ὁ Προφήτης Δανιὴλ ὄρος ἀλάξευτον· καὶ Δαβὶδ ὁ μελῳδὸς, σὺν Μωϋσῇ καὶ τοῖς λοιποῖς, βάτον λυχνίαν καὶ στάμνον· ῥάβδον τε κλίμακα θρόνον, καὶ θείαν κλίνην Θεογεννήτρια.

Ὠδὴ ζ΄. Ὁ ὑπερυψούμενος.

Τὴν πρὸς τὸν προπάτορα, Ἀβραὰμ ὑπόσχεσιν, Θεὸς ἐξετέλεσεν, υἱός σου γενόμενος, καὶ σπέρμα τούτου Ἔθνη, εὐλογῶν εὐλογημένη.

Θυγατέρας πάνσεμνε, ἁπάσας ὑπέρκεισαι· πολλαὶ γὰρ ἐποίησαν, δυνάμεων χάριτας, ὁ σὸς δὲ τόκος τούτων, ὑπερφέρεται τῇ δόξῃ.

Στάζουσι Πανύμνητε, σμύρναν ἀφθαρτίζουσαν, τὰ πάνσεπτα χείλη σου, Θεὸν ἀσπασάμενα, ὃν ἔτεκες ὡς βρέφος, καὶ λατρεύεις ὡς Δεσπότῃ.

Ὤφθης τὸ ἀνθρώπινον, φύραμα θεώσασα, τῇ θείᾳ γεννήσει σου, Μαρία πανάμωμε· διό σε κατὰ χρέος, οἱ πιστοὶ δοξολογοῦμεν.

Ὠδὴ η΄. Σοὶ τῷ παντουργῷ.

Δεῦτε τὴν ἁγνὴν καὶ Θεοτόκον Κόρην, ὑμνήσωμεν λέγοντες ἔνθεα ᾄσματα· χαῖρε τοῦ κόσμου, ἐλπὶς καὶ προστασία, τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Πέπλον τῷ Χριστῷ παρθενικῶν αἱμάτων, Μαρία ἐξύφανας, ἐρίου ἄνευ ἀνδρός· ὃν περιφορέσας, Θεὸς βροτὸς ἐδείχθη· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Γῆ εἶ καὶ εἰς γῆν ὡς γηγενὴς πορεύσῃ, οὐκέτι ἀκούσομαι· πρὸς οὐρανὸν γὰρ ἐκ γῆς, σύ με Παρθένε, ἀνήγαγες τεκοῦσα, τὸν ἐκ γῆς τοῦ γένους πλάσαντα τοὺς γενάρχας.

Ἅγιος καρπὸς Ἰωακεὶμ ἐκ ῥίζης, καὶ Ἄννης ἐβλάστησας ἐκ μήτρας Μήτηρ Θεοῦ· ὅθεν ὁ κόσμος πλουτεῖ πηγὴν ἐλέους, καὶ οἱ ἀσθενοῦντες καρποῦνται τὴν ὑγείαν.

Ὁ Εἱρμός.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἡσαΐα χόρευε.

Θυγατέρες σπεύσατε, τῆς ἁγίας Ἱερουσαλήμ, θεάσασθαι μορφήν, νύμφης εὐκλεοῦς, Μαρίαν τὴν ἄχραντον, καὶ εὐσεβῶς ᾄσατε αὐτῇ· χαῖρε Πανύμνητε, Θεοτόκε ἡ χαρὰ ἡμῶν.

Ἐκλεκτὴ εὐπρόσδεκτος ἀνεδείχθης ὅλη τῷ Θεῷ· ὡς κρίνον ἀνθηρὸν μέσον ἀκανθῶν· ἀφ' ὧν σε ὀσφράδιον Παρθενικόν, εὗρεν ἑαυτῷ, καὶ σὲ ἀνέδειξε, προστασίαν τῶν τιμώντων σε.

Νάρδος ἀποστάζουσα, ἀρωμάτων ἄφθορε σεμνή· καλὴ ἐν γυναιξίν, ὤφθης ἀληθῶς· ὡραία ἡ ὄψις σου καὶ ἡ φωνὴ πλήρης ἀγαθῶν· λύτρον γὰρ ἔτεκες, τῶν πταισμάτων τοῖς ὑμνοῦσί σε.

Ἡ ψυχή μου Δέσποινα, ἐκολλήθη ὅλη ψαλμικῶς, ὀπίσω σου τοιγαροῦν σοῦ ἡ δεξιά, ἐμοῦ ἀντιλάβοιτο ἐκδυσωπῶ, σώζουσά με νῦν, καὶ περιέπουσα, καὶ φρουροῦσα καὶ σκεπάζουσα.

Προσόμοια, Χαίροις ἀσκητικῶν.

Χαίροις Παρθενομῆτορ ἁγνή, ὑψηλοτάτη καὶ εὐώδης Κυπάρισσος, εἰς ὕψος τῆς θεωρίας, εὐθυποροῦσα Θεοῦ· Κέδρος ἐν λιβάνῳ ἐξανθήσασα, στερρὰ καὶ ἀκίνητος, λογισμοῖς ὅλως Πάναγνε· θεία ἐλαία, εὐθαλὴς καὶ κατάκαρπος, ἱλαρύνουσα, ταῖς τοῦ Πνεύματος χάρισιν· ἄμπελος ἡ κυπρίζουσα, τὸν βότρυν τὸν πέπειρον, ἀναβλαστήσασα Κόσμῳ, τὸν τὰς καρ-

δίας εὐφραίνοντα, ἡμῶν τῶν ἐκ πόθου, ὡς κυρίως Θεοτόκον μεγαλυνόντων σε.

**Χ**αίροις Παρθενομῆτορ σεμνή, περιστερὰ ἠργυρωμένη καὶ ἄχολος, ἡ Πνεύματος τοῦ ἁγίου, χάρισιν ὅλαις ἁγνή, περιχρυσουμένη τὰ μετάφρενα· τρυγὼν ἡ φιλήσυχος, καὶ Παρθένος καὶ φίλαγνος· ἡ γλυκυτάτη, χελιδὼν τὸ τῆς χάριτος, ἔαρ ἥδιστον, ἐκ χειμῶνος ἡ φέρουσα· ὄρνις ἡ κελαδήσασα, καὶ Κόσμῳ πιστώσασα, θείαν ἐνσάρκωσιν Λόγου, ὡς ἀηδὼν λιγυρόφθογγος· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Χ**αίροις Παρθενομῆτορ ἁγνή· πηγὴ τὸ ὕδωρ, τῆς ζωῆς ἀναβλύσασα· ἡ δρόσος ἡ οὐρανία, ἐξ Ἀερμὼν νοητοῦ, τῆς Σιὼν εἰς ὄρη καταβαίνουσα· βροχὴ ἡ ἑκούσιος, ἣν Θεὸς εἰς γῆν ἅπασαν, κληρονομίας τῆς αὐτοῦ σε ἀφώρισεν, εἰς αἰώνιον, δροσισμὸν καὶ ἀνάψυξιν· θάλασσα ἀδιάβατος, γλυκεῖα καὶ πότιμος, τοὺς ἀναβάτας τριστάτας, τοῦ Φαραὼ ἡ ποντίσασα· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Χ**εῖρας ἐπανατείνω πρός σε· ἀνοίγω χείλη, ῥυπαρά τε πρὸς δέησιν, καὶ κάμπτω καρδίας γόνυ, καὶ νοητῶς τῶν ποδῶν, σοῦ τῶν παναχράντων νῦν ἐφάπτομαι, ἁγνὴ καὶ προσπίπτω σοι· τὰς ὀδύνας μου ἴασαι, τὰ χρόνιά μου, τὰ πολλὰ καὶ ἀνίατα, ἀγαθότητί σου, θεράπευσον τραύματα· ῥῦσαι ἐξ ὁρωμένων με, ἐχθρῶν ἀοράτων τε· κούφισον Κόρη τὸ βάρος, τῆς ῥαθυμίας μου ὅπως σε, ὑμνῶ καὶ δοξάζω· δι' ἧς εὕρατο ὁ κόσμος τὸ μέγα ἔλεος.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Ὠδὴ, α'. ἦχος πλ. α'. Τῷ Σωτῆρι Θεῷ.

**ΦΩΤΟΔΟΧΕ** λαμπάς, τὴν ταπεινήν μου ψυχὴν, ἐσκοτισμένην πλημμελήμασιν, ὡς ἀγαθὴ τῷ φωτί σου νῦν καταλάμπρυνον· ᾠδὴν χαριστήριον ὅπως βοήσω σοι.

**Χ**αῖρε θρόνε Θεοῦ, δεδοξασμένη ἁγνή· χαῖρε παλάτιον εὐρύχωρον, χαῖρε σκέπη τῶν πίστει ἐκζητούντων σε, τὸ ἄνθος τῆς πίστεως· χαῖρε πανθαύμαστε.

**Χ**αῖρε στάμνε χρυσῆ, τὸ θεῖον Μάννα φρικτῶς, ἐν σῇ κοιλίᾳ ἡ χωρήσασα, τὸν φωτοδότην Παρθένε καὶ λυτρωτὴν Ἰησοῦν, τὸν πάντα ἑδράσαντα θείῳ βουλήματι.

**Χ**αῖρε Μήτηρ Θεοῦ· χαῖρε Παρθένε ἁγνή· χαῖρε τὸ ἄνθος τὸ τῆς πίστεως· χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε, ἡ φῶς ἀνατείλασα πᾶσι τοῖς πέρασι.

Ὠδὴ. γ'. Δυνάμει τοῦ Σταυροῦ σου.

**Χ**αῖρε βασιλευόντων στεῤῥὸν, καὶ θεῖον ὄντως τροπαιοῦχημα· χαῖρε ἀκήρατε Δέσποινα, Παναγία Μητροπάρθενε.

**Χ**αῖρε στρατευομένων στεῤῥὸν, καὶ θεῖον θάρσος καὶ κραταίωμα· χαῖρε τὸ κλέος τῶν πά-

θω, καὶ πίστει ἀδιστάκτῳ ὑμνούντων σε.

Ἡ πάντιμος Ἀγγέλων χαρά, εὐλογημένη χαῖρε Πάναγνε· χαῖρε τῆς πίστεως ἔγερσις· καὶ τῆς πλάνης ἡ καθαίρεσις.

Ἡ πάμφωτος ὑψίστου σκηνή, Παρθένε χαῖρε ὑπερένδοξε· ἀνάκτων τὸ καύχημα· καὶ Μαρτύρων τὸ ἐνίσχυμα.

Ὠδὴ, δ΄. Εἰσακήκοα τὴν

Χαῖρε πάγχρυσον παλάτιον, τοῦ βασιλέως καὶ Θεοῦ· χαῖρε Πάναγνε σφραγὶς τῶν Προφητῶν· χαῖρε τίμιον, πάντων Ἱερέων ἀγλάϊσμα.

Χαῖρε σκεῦος καθαρώτατον, τοῦ τῶν ἁπάντων Ποιητοῦ· χαῖρε τεῖχος ἀσφαλὲς τῶν εὐσεβῶν· χαῖρε ἄσειστον, πάντων τῶν βροτῶν περιτείχισμα.

Χαῖρε κλίμαξ ἡ ἀνάγουσα, τοὺς ἀπὸ γῆς πρὸς οὐρανόν· χαῖρε πάντων θλιβομένων ἡ χαρά· χαῖρε κράτιστον, τῶν ἁμαρτανόντων προσφύγιον.

Χαῖρε βάτε ἀκατάφλεκτε, ἥνπερ τεθέαται Μωσῆς· χαῖρε ῥάβδος ἡ βλαστήσασα ἡμῖν, ἄνθος τίμιον, Κόρη τὸν τὴν γῆν ὡραΐσαντα.

Ὠδὴ, ε΄. Ὀρθρίζοντες βοῶμεν.

Χαῖρε χαρᾶς δοχεῖον Πανάχραντε, ἀνωλέθρου χαῖρε ἡ φωτίσασα, τῷ τοκετῷ σου τὰ σύμπαντα.

Τὸ ὄρος τὸ κατάσκιον Πάναγνε, χαῖρε μόνη, ὅπερ ἐν Πνεύματι, Προφήτης πάλαι τεθέαται.

Ἀγγέλων ἀγαλλίαμα πάντιμον, χαῖρε μόνη Παναγία Δέσποινα, καὶ τῶν βροτῶν ἐγκαλλώπισμα.

Ὁσίων στολισμὸς ὡραιότατος καὶ Μαρτύρων κράτος καὶ ἑδραίωμα· χαῖρε πανθαύμαστε Δέσποινα.

Ὠδὴ, ς΄. Ἐκύκλωσέ με.

Χαῖρε Ἀδὰμ ἡ ἔγερσις· καὶ Εὔας τοῦ θρήνου ἀναίρεσις, Μαρία Πανάμωμε, παγκόσμιον καύχημα· τὸ κῦδος χαῖρε, τῶν ἀληθῶς τιμώντων σε.

Χαῖρε πιστῶν τὸ στήριγμα, καὶ θείων Ἀποστόλων τὸ κήρυγμα, Μαρία Πανύμνητε, ἁγνείας κειμήλιον· ἡ πάντων χαῖρε καταφυγὴ τῶν δούλων σου.

Χαῖρε παρθένων καύχημα, Παρθένε φαιδρὸν καὶ πανθαύμαστον· Μητέρων ἀγλάϊσμα, ὡραῖον καὶ πάντιμον· πιπτόντων χαῖρε ἑτοιμοτάτη ἔγερσις.

Χαῖρε ἡ θεία εἴσοδος, τῶν πίστει εἰδότων Πανάσπιλε, Θεοῦ σε λοχεύτριαν· πενήτων προμήθεια· καὶ δυστυχούντων ἐλπὶς ἡ ἀκαταίσχυντος.

Κάθισμα. Τὸν συνάναρχον.

Χαῖρε πάγχρυσε στάμνε ἔνδον κατέχουσα, τὸ οὐράνιον Μάννα ἁγία τράπεζα· χαῖρε ἡ φέρουσα ζωῆς ἄρτον Πανάμωμε· χαῖρε λυχνία φωτεινή· χαῖρε παλάτιον σεπτόν· Χαῖρε ὁ

πύρινος θρόνος, Χριστοῦ τοῦ παμβασιλέως· χαῖρε ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

Ὠδή, ζ'. Ὁ ἐν καμίνῳ πυρός.

Χαῖρε νεφέλη φωτός· Χαῖρε τοῖς μέλπουσι προστάτις· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χαῖρε χρυσῆ κιβωτέ· χαῖρε τὸ κράτος τῶν βοώντων· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χαῖρε χαρὰ τῶν πιστῶς, ἀναβοώντων Θεοτόκε· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χαῖρε βροτῶν ἡ ἐλπίς, καὶ σωτηρία τῶν βοώντων· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδή, η'. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων

Ἱερωτάταις φωναῖς σε, οἱ πιστοὶ καταγεραίρομεν, σὺν τῷ Ἀγγέλῳ Παρθένε, εὐχαρίστως ἀνακράζοντες· χαῖρε θεία σκέπη, τῶν σὲ ὑμνολογούντων εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ὑπὲρ νοῦν σου τὸ θαῦμα, τῆς λοχείας Θεονύμφευτε; Θεὸν γὰρ τίκτεις ἀσπόρως, τὸν κατέχοντα τὰ πάντα χειρί· διὰ τοῦτο πάντες βοῶμέν σοι τὸ χαῖρε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπὸ πασῶν συμφορῶν με, ἐξελοῦ καὶ περιστάσεων· καὶ ἀπὸ πάσης ἀνάγκης, καὶ ἐχθρῶν τῶν πολεμούντων με· ἵνα σε δοξάζω τὴν κεχαριτωμένην εἰς πάντας τοὺς αἰῶνας.

Νέον ὡς βρέφος τεκοῦσα, ἐπ' ἐσχάτων τὸν πρὸ πάντων Θεόν. καταγηράσαντα ἤδη, τοῖς πόλλοῖς με ἀτοπήμασι, νεοποίησόν με, τὸν σὸν ὑπερυψοῦντα, τόκον εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα υἱὸν καὶ Θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ Παρθένου, ἱερεῖς ὑμνεῖτε· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδή, θ'. Σὲ τὴν ὑπὲρ νοῦν.

Ναὸς καθαρός, καὶ θρόνος ἔμψυχος Θεοῦ, σὺ ὑπάρχεις πανάσπιλε· διὸ εὐχαρίστως σοι, χαριστήριον αἶνον, ἀναπέμπομεν.

Ηὔγασας ἡμῖν, ἁγνὴ τὸ ἀνέσπερον φῶς, τοῖς ἐν σκότει καθεύδουσι, τῆς πλάνης ἀνύμφευτε· χαῖρε ὅθεν σοι πάντες ἀναμέλπομεν.

Σύ μου κοπετοὺς καὶ πόνους καὶ δάκρυα, ἐναπόσβεσον Δέσποινα· χαρᾶς δέ μου πλήρωσον, τὴν ἀθλίαν καρδίαν Θεονύμφευτε.

Θρῆνον καὶ ὀργήν, λιμόν τε καὶ θάνατον, καὶ φθορὰν ἐξαπόστειλον, Μαρία Παντάνασσα, τοῖς βεβήλοις ἐχθροῖς μου καὶ ἀλάστορσιν.

Προσόμοια. Χαίροις ἀσκητικῶν.

Χαῖρε Παρθενομῆτορ ἁγνὴ· δικαιοτέρα, ἡ τοῦ Ἄβελ ὑπάρχουσα· τοῦ Σὴθ τε, εὐσεβεστέρα· εὐέλπις μᾶλλον Ἐνώς· τοῦ Ἐνὼχ δὲ πλέον ἡ εὐάρεστος· τὸ γένος ἡ σώσασα, ὑπὲρ Νῶε τὸν δίκαιον· ἡ πιστοτέρα, Ἀβραὰμ καὶ ὑπήκοος, μᾶλλον πέλουσα, Ἰσαὰκ καὶ εἰς

ὅρασιν, πλέον Θεοῦ ἡ φθάσασα, Ἰσραὴλ καὶ νικήσασα, τὸν Ἰωσὴφ σαρκὸς κάλλει, ἡ πραοτέρα Μωσέως τε· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χαίροις ἀνδρειοτέρα Σαμψών· γενναιοτέρα Ἰησοῦ στρατηγήσαντος· Δαβίδ τε, βασιλεῖς μᾶλλον· καὶ τοῦ σοφοῦ Σολομῶν, σοφωτέρα ὄντως χρηματίζουσα· προφήτας ἡ ἅπαντας, Θεοπτίᾳ νικήσασα· Καὶ Ἀποστόλους, ἐν τῷ θείῳ κηρύγματι· Καὶ τοὺς Μάρτυρας, ἐν τῇ βάσει τῆς πίστεως· πάντων Ὁσίων τάγματα, ἐν πόνοις ἀσκήσεως, ὑπερτεροῦσα ἡ πάντων, Ἱεραρχῶν μᾶλλον ἔνθεος· Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις τῶν παλαιῶν γυναικῶν, δικαιοτέρα ἀσυγκρίτως ὑπάρξασα· τῆς Σάῤῥας ἡ πιστοτέρα· ὡραιοτέρα Ῥαχήλ, τῆς Ῥεβέκας μᾶλλον ἡ φιλότεκνος· τῆς Λείας τὸ γόνιμον, ἡ νικήσασα Πάναγνε· ᾠδικωτέρα, Μαριὰμ χρηματίσασα· πλέον φρόνιμος, Ἀβιγαίας ἡ πέλουσα· Ἰουδὴθ ὑπεράρασα, ἀνδρίᾳ Δεβόῤῥαν τε, μᾶλλον φιλόθεος Ἄννης, ἡ τῆς Ὀλδᾶς θειοτέρα τε· Χριστοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Πόνους τῆς ταπεινῆς μου ψυχῆς· καὶ ἀνιάτους ἀλγηδόνας τοῦ σώματος, Παρθένε εὐλογημένη, πρὸς χαρμονὴν ἀληθῆ, καὶ τελείαν ῥῶσιν μεταποίησον· φωνὴν ἐκ χειλέων μου, δεξαμένη Πανάμωμε, καὶ εὐμενῶς μου, ἐπιθεῖσα τοῖς τραύμασι, θεῖα φάρμακα, ταῖς ἀγρύπνοις πρεσβείαις σου· αὔγασον εὐρωστίας μοι, τὸ φέγγος θεόνυμφε· σὺ γὰρ ἐλπίς μου καὶ σκέπη, καὶ κραταιὸν καταφύγιον· καὶ σοῦ τῆς ταχείας, ἐπισκέψεως Μαρία, ἄχραντε δέομαι.

ΑΡΧΗ ΤΟΥ πλ Β΄. ΗΧΟΥ.

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ·

Οὗ ἡ ἀκροστιχίς.

Τὸν ἐκ ψυχῆς στόνον μοι ἁγνὴ προσδέχου.

Ὠδὴ α΄. ἦχος πλ β΄. Κύματι θαλάσσης.

ΤΗΣ ἐμῆς καρδίας, τὴν πολλὴν ὀδύνην οἶδας Πανύμνητε, Μῆτερ τοῦ ζῶντος Θεοῦ· διό σου θείῳ ἐλέει, εὐφροσύνην με ἀμφίασον· ἵνα μεγαλύνω σε, τὴν ὄντως ὑπερένδοξον.

Ὅλην τὴν ἐλπίδα, καὶ τὴν προσδοκίαν τῆς σωτηρίας μου, πρὸς σὲ ἀνέθηκα, Θεοκυῆτορ· διό με, εὐσπλαγχνίᾳ σου οἰκτείρησον, ἵνα μεγαλύνω σε, τὴν ὄντως ὑπερένδοξον.

Νοητὴ νεφέλη, τοῦ ἀδύτου φάους νεῦσον πρὸς δέησιν, ἁγνὴ τοῦ δούλου σου, καὶ τὴν πολλὴν ἀθυμίαν· ἣ συνέχει με διάλυσον· ἵνα μεγαλύνω σε, τὴν ὄντως ὑπερένδοξον.

Εν πολλῇ ὀδύνῃ, ἡ ζωή μου Κόρη δεινῶς ἐξέλιπεν, ὡς ὁ Δαβὶδ ἐκβοᾷ· διό με εὐλογημένη, ἐπισκέψει σου διόρθωσον· ἵνα μεγαλύνω σε, τὴν ὄντως ὑπερένδοξον.

Ωδὴ, γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων.

Καύσων ὁ τῶν πταισμάτων, κατέκαυσε τὴν ἀθλίαν ψυχήν μου· καὶ πειρασμοὶ ἐνδίκως, τὸ σῶμα κατεδαπάνησαν· διὸ ἁγνὴ πρεσβείᾳ σου, ταῦτα ἐξάλειψον, καὶ δὸς βίου μοι διόρθωσιν.

Ψάλλειν σοι Θεοτόκε, ἀξίωσον ἐν ἡσύχῳ καρδίᾳ, τὸν σόν με δοῦλον Κόρη, ὅτι τὸ πλεῖον διέφθαρται, ζωῆς μου ἐν κακώσεσι· διό μοι πρόστηθι, καὶ δὸς βίου μοι διόρθωσιν.

Ὕψιστον ἡ τεκοῦσα, ἀνέλκυσον ἐκ λάκκου με πταισμάτων, καὶ στῆσον ἐπὶ πέτραν, τοῦ ἐλέους τοὺς πόδας μου, καὶ πρὸς σὴν δόξαν ἴθυνον τὰ διαβήματα, καὶ δὸς βίου μοι διόρθωσιν.

Χεῖρας πρὸς σὲ ἐκτείνω, σὺν δάκρυσι τὸ γόνυ κλίνας Κόρη, καὶ σὴν ἐπικαλοῦμαι, θερμῶς ταχεῖαν ἀντίληψιν· κακώσεως ἀπάλλαξον, Θεοχαρίτωτε, καὶ δὸς βίου μοι διόρθωσιν.

Ωδὴ, δ΄. Τὴν ἐν Σταυρῷ σου.

Η φλογοφόρος λαβὶς Πάναγνε· ἡ ἐλπὶς τῶν πιστῶν καὶ καταπονουμένων, προστάτις καὶ ὑπέρμαχος, πάρεσο καὶ νῦν, ἐξελοῦσα κινδύνου με τοῦ συνέχοντος.

Σάλῳ δεινῶν ἀμπλακημάτων μου, βυθιζόμενος νῦν τὴν σὴν ἐπικαλοῦμαι, βοήθειαν Πανάμωμε, φάνηθι ἐλθὲ, ἐξελοῦσα κινδύνου με τοῦ συνέχοντος.

Σὺ τῇ ῥομφαίᾳ τῆς πρεσβείας σου, Θεοτόκε ἁγνὴ τῶν δυσμενῶν τὰς κάρας, τῶν κατ᾽ ἐμοῦ συγκόψασα πρόστηθί μοι νῦν, ἐξελοῦσα κινδύνου με τοῦ συνέχοντος.

Ωδὴ, ε΄. Θεοφανείας σου Χριστὲ,

Ο Βασιλέων Βασιλεὺς, καὶ Κύριος τῶν Κυρίων Παρθένε, ἐκ σοῦ σαρκωθεὶς δι᾽ ἀγαθότητα, σοὶ τὰ δευτερεῖα δεδώρηται· ὅθεν σώζεις ἐν ἐξουσίᾳ, τοὺς προστρέχοντας τῇ θείᾳ σου σκέπῃ, κἀμὲ νῦν τῷ σῷ ἐλέει διαφύλαξον.

Νέφος ἀστάτων λογισμῶν, ἐπιπεσὸν τῇ ἀθλίᾳ ψυχῇ μου, ἐκταράττει καὶ δεινῶς συνέχει με, καὶ σκοτοῖ καὶ θλίβει Πανύμνητε· ἀλλ᾽ ἡ Χριστὸν ἥλιον κυήσασα, διάλυσον τοῦτο· καὶ οἴκτῳ τῷ σῷ με Κόρη διαφύλαξον.

Ο γλυκασμὸς ψυχῆς ἐμῆς, καὶ δεινῶν ἀπολύτρωσις Κόρη, ἀοράτως νῦν ἐπιφοιτήσασα, λύτρωσαί με πάσης κακώσεως· ἣν τὸ πλῆθός μοι τῶν πταισμάτων προεξένησε· καὶ παντοίας βλάβης, ἀνώτερον εἰς ἀεί με διαφύλαξον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ ζωηφόρῳ σου καὶ σεπτῇ προστασίᾳ, ἐξανάστησον καὶ καταλάμπρυνον, καὶ συνετὸς δίδαξον ψάλλειν σοι, ἡ τεκοῦσα Χριστὸν, τὴν ἐνυπόστατον σοφίαν Παρθένε, καὶ θείῳ με σῷ ἐλέει διαφύλαξον.

Ωδὴ, ς΄. Συνεσχέθη.

Μὴ παρίδῃς, εἰς σὲ πεφευγότα, τὸν σόν με δοῦλον ἀγαθὴ, ἐν πειρασμοῖς πεσόντα, διὰ πλῆθος τῶν ἀνομιῶν μου· εἰ γὰρ καὶ πάντας ἀνθρώπους, τοῖς πταίσμασιν ὑπερβέβηκα, ἀλλ᾽ οὐκ ἀπέστην ἐκ σοῦ, γεννήτρια τῆς ὄντως ζωῆς· ὅθεν σῇ δυνάμει περιφρούρησον.

Οἰκτιρμῷ σου, ἀνύμφευτε Κόρη, ἴδε τὴν κρίσιν τὴν ἐμήν· καὶ κρῖνον ἀναμέσον, τῶν ἀδίκως μοι ἐπεμβαινόντων· καὶ βοηθείας χεῖρα θᾶττον ἔκτεινον, καὶ παντοίου με ῥῦσαι κινδύνου, ἐπιβουλῆς δόλου, φθόνου καὶ συμφορᾶς, καὶ θείᾳ σου σκέπῃ περιφρούρησον.

Ἰδοὺ βόθρῳ, ζάλης ἀφορήτου, πέπτωκα Δέσποινα ἁγνή, πλήθει δεινῶν ὁ τάλας, χειμαζόμενος ὅθεν ἐκ βάθους, ἀναβοῶ σοι τῆς καρδίας πρόφθασον, καὶ ἀνώτερον δεῖξον Παρθένε, κακώσεως καὶ βλάβης τῆς ἐξ ἐχθρῶν, καὶ θείᾳ σου σκέπῃ περιφρούρησον.

Ἀνανεῦσαι, δίδου τὴν ψυχήν μου, καὶ τελευτῆς ἐπὶ Θεοῦ, ἀγάπησιν καὶ δέος, μεσιτείαις σου εὐλογημένη, καὶ χαμαιζήλων νοημάτων ἔκσπασον, ψυχοφθόρων τε ἔργων καὶ λόγων Θεογεννήτρια, πεφευγότα πρὸς σὲ καὶ θείᾳ σου σκέπῃ περιφρούρησον.

Κάθισμα. Ἐλπὶς τοῦ Κόσμου.

Ἐξασθενεῖ μου νῦν ὁ νοῦς, ἐμπεσὼν εἰς τὰ βάθη τῶν ἐναντίων λογισμῶν, καὶ οὐκ ἔστι μοι ἄνεσις· ἐπάκουσόν μου ἐν καιρῷ τῶν πειρασμῶν, καὶ δώρησαί μοι ἀναψυχὴν ὡς ἀγαθή· μὴ γένωμαι κατάβρωμα τοῦ πονηροῦ Κόρη εὐλογημένη.

Ὠδὴ ζ'. Ἄφραστον θαῦμα.

Ἀπηλπισμένων, χαῖρε ἐλπὶς καὶ ἀντίληψις· δεξαμένη γὰρ τὸν στεναγμὸν, ψυχῆς τῆς ἐμῆς τῶν δεινῶν με σέσωκας, εἰς τὸ ὑμνεῖν καὶ βοᾶν σοι ἀσιγήτως· χαῖρε Κόρη Ἀγγέλων ὑπερτέρα·

Γέφυρα χαῖρε, ἡ τοὺς πιστοὺς μεταφέρουσα, ἐκ θανάτου πρὸς θείαν ζωήν· χαῖρε ἡ λαμπὰς πάντας καταυγάζουσα, εἰς τὸ ὑμνεῖν καὶ βοᾶν σοι ἀνενδότως· χαῖρε Κόρη Ἀγγέλων ὑπερτέρα.

Νεφέλη χαῖρε, ζωῆς τὸ πόμα ὀμβρήσασα· χαῖρε δίσκε φωτὸς νοητοῦ, Χριστοῦ τοῦ Θεοῦ τοῦ ἐκ σοῦ ἐκλάμψαντος, εἰς σωτηρίαν τῶν πόθῳ σοι βοώντων· χαῖρε Κόρη Ἀγγέλων ὑπερτέρα,

Ἡ ῥάβδος χαῖρε, ἡ ἀποῤῥήτως ἀνθήσασα, ἐν τῷ κόσμῳ Χριστὸν τὸν Θεὸν, ζωῆς τὸν καρπὸν, εὐφροσύνης πρόξενον· εἰς σωτηρίαν τῶν πίστει σοι βοώντων· χαῖρε Κόρη Ἀγγέλων ὑπερτέρα.

Ὠδὴ η'. Ἔκστηθι φρίττων οὐρανέ.

Πύρινε στύλε ὁδηγὲ, Χριστιανῶν φυλῆς ἐκ τοῦ σκότους πρὸς τὸ φῶς· ἡ κλίμαξ χαῖρε ἡ οὐράνιος· χαῖρε λυχνία χρυσῆ, προστάτις ὀρφανῶν χαῖρε Κόρη, λύτρωσις αἰχμαλώτων καὶ λιμὴν τῶν ἐν ζάλῃ ἐμῆς ψυχῆς Χαῖρε, δόξα καὶ εὐφροσύνη.

Ῥόδον κυήσασα Χριστὸν, χαῖρε πανύμνητε εὐωδίας μυστικῆς, τὰ πάντα ἐπλήρωσας πάγχρυσε, στάμνε τοῦ Μάννα τῆς ζωῆς· χαρίτων χαῖρε θεῖον δοχεῖον, Κυριώνυμε Κόρη· μοναζόντων ἡ σκέπη· ἐμῆς ψυχῆς χαῖρε, δόξα καὶ εὐφροσύνη.

Ὄρος προεῖδε Δανιὴλ, σὲ πανυπέρτιμε, ἐξ οὗ λίθος τῆς ζωῆς, ἀῤῥήτως Χριστὸς προελήλυθε, καὶ τῶν εἰδώλων βωμοὺς κατέβαλε Θεότητος σθένει· χαῖρε γνώσεως ὕψος· χαῖρε βυθὸς σοφίας· ἐμῆς ψυχῆς χαῖρε, δόξα καὶ εὐφροσύνη.

Στίφη ἁπάντων τῶν πιστῶν, δεῦτε συνέλθετε, καὶ τὴν Δέσποιναν ἡμῶν, τὴν ἀῤῥήτως

λόγῳ σωματώσασαν, τὸν ποιητὴν τοῦ παντὸς, ὑμνήσωμεν κραυγάζοντες χαῖρε, τὸ προσφύγιον πάντων, καὶ ἐλπὶς σωτηρίας· ἐμῆς ψυχῆς χαῖρε, δόξα καὶ εὐφροσύνη.

Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων οὐρανὲ· καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται· ὃν παῖδες εὐλογεῖτε· ἱερεῖς

Ὠδὴ, θ΄. Μὴ ἐποδύρου μου.

Δαβιτικὸν χαῖρε ἅρμα· Ἀαρὼν χαῖρε ῥάβδος· χαῖρε Δαβὶδ πανθαύμαστον τοῦ θείου Σολομῶν, τὴν πρηστήριον φύσιν τῆς Θεότητος, περισχὸν ἀποῤῥήτως, Μητρόθεε σεμνὴ· Θεοδόξαστε Κόρη σὲ μεγαλύνομεν.

Ἔνθεον χαῖρε ταμεῖον, τῆς ζωῆς χαῖρε τόμε, ἐμπεριέχων τὸν Χριστὸν, τὸν Λόγον καὶ Θεόν· χαῖρε τοῦ Μωσέως πλὰξ Θεόγραφος· χαῖρε χάρμα τοῦ κόσμου, Μητρόθεε σεμνὴ· Θεοδόξαστε Κόρη σὲ μεγαλύνομεν.

Χαῖρε τὸ ἄδυτον φέγγος, ὃ Θεὸς ἐν τῷ μέσῳ, τῷ τοῦ παντὸς ἐστήριξεν αὐγάζειν νοητῶς, τὰ οὐράνια ἅμα καὶ τὰ ἐπίγεια· χαῖρε Δέσποινα πάντων, Μητρόθεε σεμνὴ, Θεοδόξαστε Κόρη σὲ μεγαλύνομεν.

Ὑπερεκβλύζει ἡ χάρις, σοῦ εἰς πάντας πλουσίως, τοὺς προσιόντας σοι πιστῶς ἀκήρατε ἁγνὴ· διὸ πλήρωσον χάριτος τοὺς δούλους σου, ἡμᾶς ὅπως σὺν πόθῳ, Μητρόθεε σεμνὴ, Θεοδόξαστε Κόρη σὲ μεγαλύνομεν.

Προσόμοια. Ὅλην ἀποθέμενοι.

Χαῖρε ὄρος ἅγιον· Χαῖρε φωτὸς ἡ νεφέλη· Χαῖρε κλίμαξ ἔμψυχε, δι' ἧς ἀνυψώθημεν πρὸς οὐράνιον, οἱ θνητοὶ Δέσποινα, καὶ σεπτὴν καὶ θείαν, πολιτείαν ἀειπάρθενε· Χαῖρε Παράδεισε, ξύλον τῆς ζωῆς μέσον ἔχουσα, Χριστὸν τὸν καταργήσαντα, τοῦ προτέρου ξύλου τὸ ἔμπικρον· Χαῖρε ἡ τῆς Εὔας, τὴν πάλαι ἀφανίσασα ἀρὰν· Χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις· Χαῖρε παναχήρατε.

Χαῖρε στάμνε πάγχρυσε, ἔνδον τὸ Μάννα τὸ θεῖον, κεκτημένη ἄμωμε, Χαῖρε τὸ παλάτιον τοῦ Παντάνακτος· Χαῖρε θεία σκέπη· Χαῖρε πῖον ὄρος· Χαῖρε τόπε ἁγιάσματος· Χαῖρε τὸ εὔοσμον ῥόδον καὶ ἡδύπνοον τέξασα, πιστοὺς εὐωδιάζον τε· Χαῖρε Θεοτόκε πανάμωμε· Χαῖρε τῶν μητέρων, ὡραΐσμα καὶ κλέος ἀληθές· χαῖρε Παρθένων τὸ καύχημα, καὶ σεπτὸν καλλώπισμα.

Χαῖρε γλυκὺ ὄνομα, καὶ πρᾶγμα Κόρη Μαρία· γλώσσης μου ἐντρύφημα· καὶ ἡδὺ μελέτημα τῆς καρδίας μου· ἡ ψυχή μου ἄχραντε, σοῦ ὀπίσω τρέχουσα, ἐκολλήθη ὅλη Πάναγνε· καὶ ὥσπερ ἔλαφος, ἐπὶ τῶν ὑδάτων τὰ ῥεύματα, οὕτω πρὸς σὲ ἐπόθησεν, ὅλος μου ὁ νοῦς καὶ ἐξέλιπε· διὸ δεξιά σου, εὐσπλάγχνως ἀντιλάβοιτο ἁγνὴ, ἐμοῦ καὶ δόξης προσώπου σου, καταξιωσάτω με.

Πολλοῖς συνεχόμενος, νῦν πειρασμοῖς ὁ παντλήμων, πρὸς σὲ τὴν Πανάμωμον, καταφεύγω σῶσόν με τὸν ἀνάξιον, τὸν πολλὰ πταίσαντα· ὡς οὐδεὶς ἄλλος γὰρ, ἐξισχύεις βοηθῆσαί μοι· πάντα γὰρ δύνασαι, ὅσα θέλεις Κόρη Πανύμνητε, ὡς Μήτηρ ὑπεράγαθος, τοῦ παντοδυνάμου Θεοῦ ἡμῶν· Δέσποινα τοῦ κόσμου, βεβαία προστασία τῶν πιστῶν, μή με

παρίδῃς τὸν δοῦλόν σου, τὸν εἰς σὲ ἐλπίζοντα.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΑΝΥ ΚΑΤΑΝΥΚΤΙΚΟΣ, ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

Ὠδὴ, α'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ.

Ρανιδος δίκην ὀλίγης αἱ πονηραὶ, καὶ μικραὶ ἡμέραι μου, χρονικῇ περιφορᾷ, δαπανώμεναι καταβραχὺ, ἐκλελοίπασιν ἰδού· Δέσποινα σῶσόν με.

Συνέχει νῦν τῇ ψυχῇ μου φόβος πολύς· τρόμος ἀδιήγητος· καὶ κατώδυνός ἐστιν, ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν, ἐκ τοῦ σώματος ἁγνὴ, ἣν παρακάλεσον.

Αμαρτωλῶν ἡ βεβαία καταφυγὴ, ἐπ' ἐμοὶ βεβαίωσον, τὸ σὸν ἔλεος ἁγνή· καὶ δαιμόνων ῥῦσαί με χειρός· ὡσεὶ κύνες γὰρ πολοὶ περιεκύκλωσαν.

Ιδοὺ καιρὸς βοηθείας ἰδοὺ καιρὸς, τῆς σῆς ἀντιλήψεως· ἰδοὺ Δέσποινα καιρὸς, περὶ οὗ ἡμέρας καὶ νυκτὸς, παρεκάλουν σε θερμῶς καὶ καθικέτευον.

Ὠδὴ, γ'. Οὐκ ἔστιν ἅγιος.

Μακρόθεν ταύτην προορῶν, Δέσποινα τὴν ἡμέραν, καὶ αὐτὴν ὡς παροῦσαν, λογιζόμενος ἀεὶ, ἐν δάκρυσί σε θερμοῖς, ἐδυσώπουν· μὴ ἐγκαταλίπῃς με.

Σβεσθέντος ἤδη παντελῶς, τοῦ ὀργάνου τῶν λόγων· καὶ δεθείσης τῆς γλώττης· καὶ κλεισθείσης τῆς φωνῆς, καρδίας ἐν συντριβῇ, δυσωπῶ σε Δέσποινά μου σῶσόν με.

Εν ἀνομίαις συλληφθεὶς, ἵνα τί ἐγεννήθην; καὶ ἰδοὺ παροργίσας τὸν Θεὸν τὸν ἀγαθὸν, ἀπέρχομαι ἐν πυρὶ, αἰωνίῳ βασανισθησόμενος·

Μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ, τοὺς πολλοὺς οἰκτιρμούς σου· μὴ τὰ σπλάγχνα σου κλείσῃς τὰ φιλάνθρωπα σεμνή· ἀλλά μου πρόστηθι νῦν, καὶ ἐν ὥρᾳ, μνήσθητι τῆς κρίσεως.

Ὠδὴ, δ'. Χριστός μου δύναμις.

Νεφέλαι ῥάνατε, δρόσον ὡς δάκρυα· οἱ βουνοὶ καὶ τὰ ὄρη περιπαθῶς, ἐπ' ἐμοὶ θρηνήσατε, τῷ μακρυνθέντι τοῦ Θεοῦ, καὶ ἐγγίσαντι τοῖς δαίμοσιν.

Η ἀκαταίσχυντος, καὶ ἀναστόχητος, πάντων τῶν ἐν ἀνάγκαις καταφυγὴ, Δέσποινα Πανάμωμε, κἀμοὶ γενοῦ καταφυγὴ ὥρᾳ τῆς ἀνάγκης μου.

Διαπετάσασα, τὰς παναχράντους σου, καὶ πανάγνους ὠλένας ὡς ἱερὰς, περιστερᾶς πτέρυγας, ὑπὸ τὴν σκέπην καὶ σκιὰν, αὐτῶν σκέπασόν με Δέσποινα.

Ιδού μοι Δέσποινα, φόβος συνήντησεν, ὃν ἀεὶ ἐφοβούμην· ἰδοὺ ἀγὼν, μέγας με κατέλαβεν,

ἐν ᾧ γενοῦ μοι βοηθὸς, ἡ ἐλπὶς τῆς σωτηρίας μου.

Ωδὴ, ε'. Τῷ θείῳ φέγγει σου.

Οἱ κατὰ σάρκα μου συγγενεῖς· καὶ οἱ κατὰ πνεῦμα ἀδελφοί· φίλοι συνήθεις καὶ γνώριμοι, κλαύσατε στενάξατε σκυθρωπάσατε· ἰδοὺ γὰρ ἡμῶν ἄρτι διαχωρίζομαι.

Νῦν ὁ λυτρούμενος οὐδαμοῦ, καὶ ὁ βοηθῶν ὄντως οὐδείς· σύ μοι βοήθησον Δέσποινα· ἵνα μὴ ὡς ἄνθρωπος ἀβοήθητος, εἰς χεῖρας τῶν ἐχθρῶν μου περικλεισθήσωμαι.

Ὢ πῶς τὴν ὄντως ἐλεεινὴν, καὶ ὀδυνηρὰν ὑπομενῶ, σοῦ Θεομῆτορ διάζευξιν· καὶ τὴν τοῦ Σωτῆρός μου πικρὰν ἔκπτωσιν! καὶ πάντων τῶν ἁγίων τὴν ἀλλοτρίωσιν.

Νικῆσαι πλῆθος ἁμαρτιῶν, σοῦ τὴν εὐσπλαγχνίαν τὴν πολλὴν, μὴ ἐξισχύσειε Δέσποινα· ἀλλὰ κυκλωσάτω με τὸ σὸν ἔλεος, καὶ πάσας καλυψάτω τὰς ἀνομίας μου.

Ωδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Τὰ χείλη σιγῶσί μου, καὶ ἡ γλῶσσα σιωπᾷ· ἀλλ' ἡ καρδία φλέγεται· πῦρ ὑποσμύχον ταύτην γὰρ συντριβῆς, ἐντὸς ἀνακαίεται, καὶ φωναῖς ἀλαλήτοις Κόρη κράζει σε.

Ὑψόθεν ἐπίβλεψον, ἐπ' ἐμὲ Μῆτερ Θεοῦ, καὶ συμπαθῶς ἐπίνευσον, νῦν εἰς ἐμὴν ἐπίσκεψιν κατελθεῖν, ὡς ἂν θεωρήσας σε, ἐκ τοῦ σκήνους ἐξέλθω ἀγαλλόμενος.

Ἁγίων Ἀγγέλων με, ἱεραῖς καὶ καθαραῖς, χερσὶ παράθου Δέσποινα, ὡς ἂν τούτων ταῖς πτέρυξι σκεπασθείς, μὴ ἴδω τὴν ἄτιμον, καὶ αἰσχρὰν καὶ ζοφώδη τῶν δαιμόνων μορφήν.

Νυμφὼν Θεοῦ πάντιμε, οὐρανίου νοητοῦ, νυμφῶνός με ἀξίωσον, τὴν ἐμὴν ἐσβεσμένην καὶ ἀλαμπῆ, λαμπάδα ἀνάψασα, τῷ ἁγίῳ ἐλαίῳ σου Πανάμωμε.

Κάθισμα. Πολλὰ τὰ πλήθη.

Ταῖς τῶν δαιμόνων προσβολαῖς κλονουμένην Παρθένε, τὴν παναθλίαν μου ψυχὴν ἐν τῇ πέτρᾳ στερέωσον, τῶν θείων προσταγμάτων τοῦ Χριστοῦ· μὴ καταποντισάτω με ἁγνὴ πταισμάτων καταιγὶς, καὶ λογισμῶν φαύλων ἡ τρικυμία.

Ωδὴ, ζ'. Δροσοβόλον.

Νὺξ θανάτου με κατέλαβεν ἀνέτοιμον, ζοφώδης καὶ ἀσέληνος, παραπέμπουσα ἀπαράσκευον πρὸς τὴν μακρὰν, ἐκείνην ὁδὸν καὶ φοβερὰν· συνοδευσάτω με τὸ σὸν ἔλεος Δέσποινα.

Διὰ ῥέουσαν καὶ πρόσκαιρον ἀπόλαυσιν, ἀθάνατα κολάζεσθαι μέλλω Δέσποινα, καὶ διὰ βραχεῖαν ἡδονὴν σαρκὸς ὀδυνᾶσθαι ἐν πυρί· ἀλλὰ τὸ ἔλεος τὸ σὸν προκαταλάβῃ με.

Οἱ ἀπάγοντες ἐντεῦθεν κατεπείγουσι, συνέχοντές με πάντοθεν, ἡ ψυχή μου δὲ ἀναβάλλεται καὶ δειλιᾷ, πολλῆς πληρουμένη ταραχῆς· ἣν παρακάλεσον ἁγνὴ ἐπιστασίᾳ σου.

Συλλυπούμενον οὐδένα τῇ καρδίᾳ μου, οὐδὲ παρακλοῦντά με, εὗρον Δέσποινα· οἱ γὰρ φίλοι μου καὶ οἱ γνωστοὶ, κοινῶς ἐγκατέλιπόν με νῦν· ἀλλ' ἡ ἐλπίς μου μηδαμῶς ἐγκαταλίπῃς με.

Ωδὴ, η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὡς Θεοῦ φιλανθρώπου Μήτηρ φιλάνθρωπος, εὐμενεῖ καὶ ἵλεῳ πρόσχες μοι ὄμματι, ὅτε τῆς

σαρκὸς ἡ ψυχή μου χωρίζεται· ἵνα σε δοξάζω ἁγία Θεοτόκε.

Ὑψηλὸν τοῦ Δεσπότου Χριστοῦ παλάτιον, τὴν σὴν χάριν ἐξ ὕψους ἐξαποστείλασα, πρόφθασόν με νῦν ἐν ἡμέρᾳ τῆς βίας μου· ἵνα σε δοξάζω ἁγία Θεοτόκε.

Διαδρᾶναι βαρβάρων ἀσάρκων φάλαγγας, καὶ ἀέριον ἄβυσσον διανήξασθαι· καὶ πρὸς οὐρανὸν ἀνελθεῖν με ἀξίωσον· ἵνα σε δοξάζω ἁγία Θεοτόκε.

Η γεννήσασα Κύριον Παντοκράτορα, τοὺς πικροὺς τελωνάρχας τοῦ κοσμοκράτορος, δίωξον μακρὰν, ἐν τῷ μέλλειν ἐκλείπειν με· ἵνα σε δοξάζω ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας· καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρᾷς, Χριστὲ μόνῳ τῷ βούλεσθαι· σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ὡς δοῦλος αἴρει τὰ ἔξω ὄμματα, τοῦ ἑαυτοῦ Κυρίου εἰς τὰς χεῖρας Πανύμνητε· ὀφθαλμοὺς τοὺς ἔξω καὶ τοὺς ἔνδον κἀγὼ, οὕτω πρὸς σὲ ἐπαίρω τὴν ἐμὴν Δέσποινα· τὴν ἐμὴν Κυρίαν, καὶ ζωὴν ὅπως οἰκτείρῃς με.

Ἁγία Κόρη Θεοχαρίτωτε, εἰς τὴν ἐμὴν ταπείνωσιν εὐσπλάγχνως ἐπίβλεψον, τὴν οἰκτρὰν καὶ ἐσχάτην μου δέησιν, ταύτην προσδεχομένη, καὶ τοῦ κολάζοντος, καὶ διαιωνίζοντος πυρὸς σπεῦσόν με λύτρωσαι.

Νεκρῶν καὶ ζώντων Θεὸν ἡ τέξασα, νεκροποιῶν Παρθένε νοσημάτων με λύτρωσαι· καὶ ζωὴν καὶ ὑγείαν παράσχου μοι· ῥῶσόν με ἀῤῥωστοῦντα περιζωννύουσα, δύναμιν ἐξ ὕψους, καὶ ἰσχὺν ἐξασθενήσαντα.

Ναὸν Θεοῦ σε ζῶντα καὶ ἔμψυχον, καὶ λογικὸν γινώσκων ἐνδιαίτημα Πάναγνε· προσφυγὼν τῷ ναῷ σου ἐν πίστει θερμῇ, νῦν πρὸ τοῦ ἀπελθεῖν με, ἄνες μοι δέομαι· ἵνα ἀναψύξω, ἀνυμνῶν τὰ μεγαλεῖά σου.

Προσόμοια. Τριήμερος ἀνέστης.

Χαῖρε τὸ σεμνολόγημα, τῶν Ἀποστόλων ἄχραντε· τῶν Ἀγγέλων ἀγαλλίαμα λαμπρόν· Χαῖρε τῆς οἰκουμένης, τὸ καύχημα Παρθένε· καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα.

Χαῖρε ὄρος ἀλάξευτον, Παρθένε Παναμώμητε· ὃ προεῖδεν, ὁ Προφήτης Δανιὴλ, ἐξ οὗ ἐτμήθη λίθος, τὰ εἴδωλα συντρίβων, Χριστὸς ὁ μόνος βασιλεὺς τοῦ παντός.

Χαῖρε παστὰς ὁλόφωτε· Χαῖρε ἔμψυχε τράπεζα, ἄρτου θείου, ἐν ᾗ πρόκειται Χριστός· Χαῖρε τῆς εὐσεβείας, τὸ κάλλος Θεοτόκε· Χαῖρε ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

Πανύμνητε κατάβαλε, ἐχθρῶν μιαιφονούντων ὀφρῦν, καὶ τὴν λύπην, τοῦ λαοῦ σου εἰς χαρὰν, μετάστρεψον Παρθένε· καὶ τὴν ἰσχὺν παράσχου· ὅπως σωθέντες ἀνυμνῶμέν σε.

# ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ·

Οὗ ἡ ἀκροστιχίς.

Ἴωμεν αὖθις τοῦ καλοῦ θρήνου χάριν.

Ὠδὴ, α΄. ἦχος πλ. β΄. Βοηθὸς καὶ σκεπαστής.

ΙΩΗΛ ὁ θαυμαστὸς, ὁ τοῦ Κυρίου μέγας Προφήτης, ἔφη χρησμῳδῶς, τὸ πενθεῖν ἱερῶς, καὶ κόπτεσθαι σάκκοις· ἀλλ' ἐγὼ καταφρονῶ, σὺ δὲ Παρθένε σῶσόν με.

Ὡς ὑπάρχουσα πηγὴ, τῆς εὐσπλαγχνίας Θεοκυῆτορ, σῶμα καὶ ψυχὴν ῥυπωθέντα αἰσχρῶς, ἀπόπλυνον Κόρη, καὶ στολήν με καθαρὰν, ἐπένδυσον τῆς χάριτος.

Μὴ παρίδῃς ἀγαθὴ, διεφθαρμένον ἐν ἀνομίαις, ὅλον ἐναγῆ, ταῖς πικραῖς ἡδοναῖς, γενόμενον ἤδη· ἀλλὰ ῥύπου με παντὸς, ἀπόπλυνον καὶ σῶσόν με.

Ἐξελθέτω τοῦ παστοῦ, νυμφίος νύμφη φησὶ προφήτης, καὶ τὸν κοπετὸν ἐργαζέσθωσαν νῦν· ἡμεῖς δὲ ψυχή μου, τῇ Μητρὶ τοῦ λυτρωτοῦ, θρηνοπρεπῶς προσπέσωμεν.

Ὠδὴ, γ΄. Στερέωσον Κύριε.

Νεώσωμεν ἄρουραν, τὴν ψυχικὴν ἐν τῷδε τῷ βίῳ, ἀρετὰς ἐγκατασπείραντες· ἵνα ζωῆς ἄσταχυν ἐκεῖσε θερίσωμεν.

Ἀπείρανδρε Δέσποινα, τὸν νεκρωθέντα τῇ ἁμαρτίᾳ, συμβουλίᾳ τοῦ ἀλάστορος, ζώωσόν με, ταῖς πρὸς τὸν υἱόν σου ἐντεύξεσιν.

Ὑπέπεσα Δέσποινα, τῇ ἀλογίᾳ τῶν πράξεών μου, καὶ εἰς βόθρον νῦν κατάκειμαι, ἀπωλείας· δίδου μοι μετάνοιαν ἄχραντε.

Θηρία παγχάλεπα, τὰ πάθη τρέφω ἐν τῇ ψυχῇ μου· ὧν μὴ φέρων τὴν συνοίκησιν, καταφεύγω, πρὸς τὴν σὴν Παρθένε ἀντίληψιν.

Ὠδὴ, δ΄. Ἀκήκοεν ὁ Προφήτης,

Ἰσχύϊ σου Θεομῆτορ, τραπήτωσαν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω· καὶ τὰ τόξα τούτων συντριβήτωσαν, λογισμοὶ ἀκάθαρτοι καὶ βέβηλοι· καὶ δίδου μοι τῷ σῷ οἰκέτῃ, διὰ δακρύων, βαδίζειν εἰς ἀπάθειαν.

Σειραῖς τῶν ἁμαρτημάτων, σφιγγόμενος Θεομῆτορ οὐ διαλείπω· ἀλλὰ πλέκω μᾶλλον δυσδιάλυτα, πάθη προστιθεὶς ἐπὶ τοῖς πάθεσι· καὶ γίνομαι πᾶσι κατάρα, τὸ τοῦ Προφήτου οὐαὶ προσεπισπώμενος.

Τὰ τραύματα τῆς ψυχῆς μου, οὐ παύομαι ἐπιξέων φιληδονίαις· καὶ προστίθημι τοῖς μώ-

λωψιν ἀλγήματα, μένων ἀναισθήτως ἀθεράπευτος· ἐλέησον Θεογεννῆτορ, καὶ ἴασαί με, καὶ σῶσον ταῖς πρεσβείαις σου.

Ονείρων ἀστάτων δίκην, τὰ πράγματα τὰ τοῦ βίου Θεοκυῆτορ, βλέπων καθ' ἑκάστην παρερχόμενα, οὐδαμῶς λαμβάνω τούτων αἴσθησιν· ἀλλ' ἔτι προστέτηκα τούτοις, κισσὸς καθάπερ, τῷ τῆς δρυὸς ὑψώματι.

Ωδὴ. ε'. Ἐκ νυκτὸς ὀρθρίζοντα.

Υψωθεὶς δι' ἔπαρσιν Πανύμνητε, πτῶμα κατέπεσον, ἁμαρτίας χαλεπὸν, συντρίβον τὴν ψυχήν μου· καὶ τίς με ἐξεγερεῖ; εἰ μὴ σὺ Θεομῆτορ.

Καρτερίαν Δέσποινά μοι δώρησαι, πάσης στενώσεως καὶ τῶν ἔξωθεν κακῶν, ἐξαίφνης ἐμπιπτόντων· μικρόψυχος γάρ εἰμι, καὶ τῶν μισθῶν στεροῦμαι.

Απὸ τῶν σκανδάλων τοῦ ἀλάστορος, ῥῦσαί με Δέσποινα, ἀπὸ πάσης ἀπειλῆς, καὶ ἐξωτέρου σκότους, τὸν ἐπὶ σοὶ ἀκλινῶς, θέμενον τὴν ἐλπίδα.

Λογισμοὶ πορνείας ἐκταράττουσι, Δέσποινα Πάναγνε, τὴν ἀθλίαν μου ψυχὴν, καὶ πείθουσιν ἀφρόνως, συγκαταθέσθαι αὐτοῖς· ἐξ ὧν με ῥύου τάχος.

Ωδὴ, ς'. Ἐβόησα ἐν ὅλῃ.

Ο Κύριος μοιχείαν ἐκάλεσε, πρόσωπα βλέπειν ἐμπαθῶς· ἐγὼ δὲ Παρθένε, νοσῶν τὴν ἀκρασίαν, τὴν ψυχὴν μολύνω, ταῖς ἀκολάστοις θεωρίαις.

Υπνώττοντι δεινῶς ἐπιτίθενται, ἀκολασίας λογισμοὶ, καὶ προσυνωθοῦσι, γαργαλισμοὺς καὶ ῥεύσεις· ἀλλὰ φεῖσαι τούτων, πανάσπιλε τῆς βλάβης.

Θεόνυμφε Μαρία προσπίπτω σοι, καὶ ἐκβοῶ μετὰ κλαυθμοῦ, Θεοτόκε ῥῦσαι ψυχήν μου τὴν ἀθλίαν, κρίσεως μελλούσης, καὶ πυρὸς αἰωνίου.

Ρημάτων μὲν ἀργῶν λόγους λήψεσθαι, οἶδα μαθὼν ἐκ τῆς Γραφῆς· ἀλλ' ἐγὼ Παρθένε ἀκαίροις φλυαρίαις, καὶ λογομαχίαις, σχολάζων οὐ πτοοῦμαι.

Κάθισμα. Ἐλπὶς τοῦ κόσμου.

Κριτὴν τοῦ κόσμου ἀγαθὴ, τὸν υἱόν σου Παρθένε, ἵλεων ποίησον ἐμοὶ τῷ πολλὰ ἐπταικότι· οὐδεὶς γὰρ ὥσπερ σὺ δύναται μεσιτεῦσαι, ὡς Μήτηρ οὖσα τοῦ Θεοῦ καὶ Δεσπότου· αὐτὸν οὖν ἐκτενῶς ἱκέτευε ὑπὲρ ἐμοῦ, μόνη εὐλογημένη.

Ωδὴ, ζ'. Ἡμάρτομεν.

Ημάρτομεν ἠνομήσαμεν, ἐπικράναμεν Χριστὸν Παρθένε· πᾶσαν διετελέσαμεν πρᾶξιν τὴν ἐφάμαρτον, κινοῦντες αὐτὸν εἰς ὀργήν· ἀλλὰ σὺ τοῦτον ἵλεων ἀπέργασαι, τοῖς καταδίκοις ἡμῖν.

Νοήμασι καὶ αἰσθήσεσι, καὶ ταῖς πράξεσι Θεοκυῆτορ, ὅλος Θεοῦ τοῦ ζῶντος ἀπέστην, καὶ ἐδούλευσα τυράννοις παθῶν εὑρεταῖς· ἀλλὰ σὺ τούτων λύτρωσαι καὶ δίδου μοι, τῆς μετανοίας αὐγήν.

Οτε ψυχὴ ἡ ἀθλία μου, ἐκ τοῦ σώματος καθυπομένειν, μέλλει τὸν χωρισμὸν καὶ οὐκ ἔστιν, ὁ λυτρούμενος ἢ παραμυθούμενος· τότε Δέσποινα πρόστηθι, καὶ ῥῦσαί με τῆς τῶν δαι-

μόνων ὁρμῆς.

Ὑπόκρισιν ὁ Δεσπότης μου, μέγα κέκληκε κακὸν ἐν βίῳ· οὗ τῆς ἀπατηλῆς ἐργασίας Θεονύμφευτε, ῥυσθείην ἰσχύϊ τῇ σῇ· ἵνα μὴ τῇ μαχαίρᾳ με τοῦ Πνεύματος, διχοτομήσῃ Χριστός.

Ωδὴ, η'. Ον στρατιαί.

Χρεωστικῶς τὴν σὴν προσκαλούμεθα, πρεσβείαν Μῆτερ Θεοῦ, πρὸς τὸν σὸν υἱὸν, πάντες οἱ ἐπταικότες, καὶ κατακεκριμένοι· ἵνα τῆς γεέννης, τῇ μεσιτείᾳ σου ῥυσθῶμεν.

Ἁμαρτωλοὺς καλέσαι ἐλήλυθε, τῇ μετανοίᾳ Χριστός· δεῦτε κατ' ἐμὲ, ὅσοι τούτου τοὺς λόγους, ἐσμὲν ἠθετηκότες, σὺν τῇ μετανοίᾳ, προσπέσωμεν τῇ Θεοτόκῳ.

Ῥεῖθρά μοι νῦν δακρύων κατάπεμψον, καὶ σκεναγμὸν ἐκ ψυχῆς μετὰ συντριβῆς· ὅπως τὴν φλόγα σβέσω, τὴν ἄστεκτον ἐκείνην, καὶ τοῦ παραδείσου τῆς δόξης ἐπιτύχω.

Ἵνα βροτοὺς ὁ υἱός σου Δέσποινα, θεώσῃ ὤφθη ἐκ σοῦ, τέλειος βροτός· τοῦτον οὖν ἐκδυσώπει, τελείως καθαρθέντα, δεῖξαι κοινωνόν με, αὐτοῦ τῆς βασιλείας.

Ὁ Εἱρμός.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι· καὶ φρίττει τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε εὐλογεῖτε· καὶ

Ωδὴ, θ'. Ασπόρου συλλήψεως.

Νυμφὼν ἑτοιμάζεται, ἐν οὐρανοῖς Θεόνυμφε ὑπὸ υἱοῦ σου, χαρᾶς πάσης ἔμπλεως, τοῖς τούτου προστάγματα, τηρήσασιν ἀμέμπτως· ἐμοὶ δὲ σκότος καὶ ὀδυρμὸς, καὶ τὸ πῦρ τὸ τῆς γεέννης· ὧν ῥυσθῆναί με δυσώπησον·

Ἱδρῶτες καὶ δάκρυα, καὶ πόνοι θεονύμφευτε ἐν τῷ σταδίῳ, τούτῳ καταβάλονται· ἐκεῖ δὲ οἱ στέφανοι καὶ γέρα καὶ βραβεῖα· καὶ τίς μακάριος ἀληθῶς, ὅςτις κλαίων ἐπισπείρει, θεριεῖ ἀγαλλιώμενος.

Ὑπόπτεροι γίνονται, τῇ μετανοίᾳ Πάναγνε, οἱ πεπτωκότες, αὖθις ὡς ἱέρακες, τὴν πτῆσιν ποιούμενοι, πρὸς οὐρανίους νόας· ὧν τῆς μερίδος ὁ ἀλιτρὸς, καὶ αὐτὸς ἀξιωθείην, τῇ πρεσβείᾳ σου σῳζόμενος.

Ἐλέους τὴν ἄβυσσον, ὡς τετοκυῖαν ἄχραντε ἐλέησόν με, καὶ ῥῦσαι κολάσεως, καὶ κρίσεως Δέσποινα, τὸν σὸν ἀχρεῖον δοῦλον· καὶ βασιλείας τῶν οὐρανῶν, καταξίωσον Παρθένε· ἵνα πόθῳ μεγαλύνω σε.

Προσόμοια. Ολην ἀποθέμενοι.

Χαίροις Πατρὸς ἄχραντε, θυγάτηρ, Μήτηρ δε λόγου· χαῖρε νύμφη Πνεύματος· ὑπερτέρα Θρόνων τε καὶ θερμαίνουσα, Σεραφὶμ κρείττονα· ἡ γνωστικωτέρα, Χερουβὶμ Κυριοτήτων τε, ἡ Κυριεύουσα, ἡ δυνατωτέρα Δυνάμεων· Ἐξουσιῶν προέχουσα. Ἄρχουσα Ἀρχῶν Ἀρχαγγέλων τε, στρατηγικωτέρα· ἡ μᾶλλον τῶν Ἀγγέλων τοῖς πιστοῖς, διακονοῦσα τοῖς μέλλουσι, σωτηρίας τεύξασθαι.

Χαῖρε πασῶν Ἄνασσα, τῶν Ἀνασσῶν Θεοτόκε· Χαῖρε ὑπερέχουσα, τῶν ἐπουρανίων πασῶν Δυνάμεων· Χαῖρε γῆς Δέσποινα, καὶ θαλάσσης μόνη· καὶ τῆς κτίσεως βασίλισσα·

Χαῖρε τὸ κράτιστον, σκῆπτρον καὶ γενναῖον ὀχύρωμα, καὶ σθένος καὶ κραταίωμα, τῶν βασιλευόντων Πανύμνητε· Χαῖρε θεῖε κῆπε· τοῦ Ἅδου χαῖρε νέκρωσις ἁγνή· χριστιανῶν καταφύγιον· Χαῖρε παντευλόγητε.

Χαῖρε θρόνε πύρινε, τοῦ βασιλέως Κυρίου· χαῖρε θεία τράπεζα, ἄρτον τὸν οὐράνιον μέσον φέρουσα· Χαῖρε γῆ εὔκαρπε, τῆς ζωῆς ἄσταχυν, θρεψαμένη Παναμώμητε· ἐξ οὗ οἱ τρώγοντες, θάνατον οὐ βέπουσι δέσποινα, ζωὴν δὲ πρὸς ἀΐδιον, ἄγονται καθάπερ προέφησε, μόνος ὁ τῶν ὅλων, Δεσπότης καὶ τροφεὺς καὶ συνοχεύς· Χαῖρε πιστῶν τὸ προσφύγιον· Χαῖρε ὑπερθαύμαστε.

Σὲ τὴν πανυπέρμαχον, ἐκδυσωποῦμεν Παρθένε, καὶ καθικετεύομεν, οἱ δεινῶς ταῖς θλίψεσι μαστιζόμενοι· ὡς ἰσχὺν ἔχουσα, Μητρικὴν πρὸς Κύριον, τοὺς ἐχθροὺς ἡμῶν διάῤῥηξον· ἵνα μὴ εἴπωσι, ποῦ ἐστι Θεὸς ᾧ λατρεύουσι· καὶ γνώτωσαν οἱ ἄθλιοι, ὅτι σὲ καὶ μόνην κεκτήμεθα, σκέπην καὶ προστάτιν, μετὰ Θεὸν καὶ πύργον ἀσφαλῆ· μὴ ὑπερίδῃς Πανάμωμε, τοὺς εἰς σὲ προστρέχοντας.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΦΑΝΟΥΣ ΕΠΙΣΚΟΠΟΥ ΝΙΚΑΙΑΣ ΤΟΥ ΓΡΑΠΤΟΥ·

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ.

ΤΗΝ ἀδιόδευτον πύλην τὸ καθαρόν, τῆς ἁγνείας τέμενος· τὴν καλὴν ἐν γυναιξὶ· τὴν ἁγίαν Δέσποιναν πιστοὶ, μελῳδίαις ἱεραῖς δοξολογήσωμεν.

Ὁ κατοικῶν Θεὸς λόγος ἐν οὐρανοῖς· ὁ ἐν ἀρχῇ ἄναρχος, οὐρανόν σε λογικὸν, ἐπὶ γῆς δειμάμενος ἁγνὴ, μὴ λιπὼν τοὺς οὐρανοὺς ἐν σοὶ ἐσκήνωσεν.

Ἡ τοῦ ἡλίου νεφέλη καὶ χρυσαυγής, λυχνία Πανάμωμε· ἡ πολύφωτος λαμπὰς, τῆς ἐμῆς ψυχῆς τὸ τριμερὲς, ἁμαρτίαις ζοφωθὲν λάμπρυνον δέομαι.

Θεοχαρίτωτε Κόρη ἡ κραταιὰ, τῶν πιστῶν βοήθεια, καὶ ἐλπὶς τῶν ταπεινῶν· σύ με ἐλευθέρωσον σαρκὸς, ἡδονῶν τε καὶ παθῶν τῶν πολεμούντων με.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος.

Οὐκ ἔστιν ὅς τις πρὸς τὴν σὴν, καταπέφευγε σκέπην, καὶ οὐκ ἔτυχε Κόρη, τῶν πολλῶν σου οἰκτιρμῶν· διὸ κἀγὼ δυσωπῶ, ἵνα τύχω τῆς σῆς ἀντιλήψεως.

Ὡς πλατυτέρα οὐρανῶν, καὶ τῆς γῆς ἀνωτέρα· ὡς ἁγία ἁγίων, Χερουβὶμ καὶ Σεραφὶμ,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὡς ὑπερτέρα σεμνή, ἀσυγκρίτως τὸν Θεὸν ἐχώρησας.

Πυρί με φόβου θεϊκοῦ, ἐκκαθάρασα Κόρη, τῶν πταισμάτων τοῦ ῥύπου, ἐπένδυσον χρυσαυγῆ, χιτῶνα τῶν ἀρετῶν, καὶ χορείαις τῶν ἁγίων σύνταξον.

Ἐξ ἔργων ὅλως ἐν ἐμοί, σωτηρία οὐκ ἔστιν· ἀλλὰ σὺ Θεοτόκε, ἡ ἐλπὶς ἡ ἀψευδής, τῶν πεποιθότων εἰς σέ, σωτηρίαν βράβευσόν μοι δέομαι.

Ὠδὴ, δ΄. Χριστός μου δύναμις.

Ὡς πύλην φέρουσαν, πρὸς θείαν εἴσοδον· ὡς Παράδεισον θεῖον· ὡς νοητόν, τόπον ἁγιάσματος· ὡς τῶν πιστῶν καταφυγήν, τὴν Παρθένον μακαρίσωμεν.

Λυχνία πάμφωτος· ἡ θεία τράπεζα· τοῦ Θεοῦ τὸ χωρίον ἡ κιβωτός· ῥάβδος ἡ βλαστήσασα, ἄνθος ἐν Κόσμῳ τὸν Χριστόν, σὺ ἐδείχθης Μητροπάρθενε.

Γνωστῶς ἐν βάτῳ σε, Μωσῆς ἑώρακεν, ἱερῶς τυπουμένην τὴν τοῦ πυρός, μέλλουσαν λοχεύτριαν, ἀναφανῆναι μυστικῶς Θεοτόκε Ἀειπάρθενε.

Ὁ Λόγος ἄσπιλε, ἐν σοὶ ἐσκήνωσεν, ἀλογίας τὸν Κόσμον τῆς τῶν παθῶν, Δέσποινα λυτρούμενος, καὶ βασιλείας οὐρανῶν, ἀξιῶν τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ, ε΄. Τῷ θείῳ φέγγει σου.

Ἡ καλλονὴ ἡ τοῦ Ἰακώβ, ἡ ἐκλελεγμένη τῷ Θεῷ, πρὸ τοῦ γενέσθαι τὰ σύμπαντα· ἡ ἁγιωσύνην καὶ καθαρότητα, ἀσύγκριτον πλουτήσασα χαῖρε Δέσποινα.

Νοήσας πόῤῥωθεν μυστικῶς, ὁ τῶν Προφητῶν θεολαμπής, χορὸς Παρθένε Θεόνυμφε, θείου τοκετοῦ σου βάθος ἀπόῤῥητον, συμβόλοις ἱερεῖς σε προδιεχάραξεν.

Ὑπεραγία ἡ τὸν Θεόν, μόνη ἐπὶ γῆς ὡς ἀληθῶς, τὸν ὑπεράγιον τέξασα, τοὺς σὲ Θεοτόκον ἀεὶ κηρύττοντας, ἁγίασον καὶ σῶσον τῇ μεσιτείᾳ σου.

Φωτί σου θείῳ ὡς ἀγαθή, τὴν ἐσκοτισμένην μου ψυχήν, ταῖς ἡδοναῖς φωταγώγησον, καὶ πρὸς σωτηρίας τρίβον ὁδήγησον, ἡ μόνη τὸν Σωτῆρα Χριστὸν κυήσασα.

Ὠδὴ, ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Τὴν μόνην Πανύμνητον· τὴν καλὴν ἐν γυναιξί· τὴν τοῦ Θεοῦ λοχεύτριαν· Χριστιανῶν τὸ τεῖχος τὸ ἀῤῥαγές, Μαρίαν τὴν ἄχραντον, ἀδιστάκτῳ καρδίᾳ μακαρίσωμεν.

Σκηνὴ Θεοχώρητε· ὄρος ἅγιον Θεοῦ· χρυσοῦν θυμιατήριον· πύρινε θρόνε πάγχρυσε κιβωτέ· λυχνία πολύφωτε· ἀδιόδευτε πύλη χαῖρε Δέσποινα.

Ξένη σου ἡ σύλληψις· ξένη Κόρη καὶ φρικτή, ἡ ὑπὲρ νοῦν σου γέννησις· τοὺς ξενωθέντας πάντας ἀπὸ Θεοῦ, αὐτῷ καταλλάττουσα, καὶ τὸ κάλλος τὸ πρώην ἀπονέμουσα.

Ἀγάθυνον Δέσποινα, τὴν ψυχήν μου ἐν πολλοῖς, κεκακωμένην πταίσμασι· καὶ τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, Χριστὸν καθικέτευε, βασιλείας τῆς ἄνω ἀξιῶσαί με.

Κάθισμα. Πολλὰ τὰ πλήθη.

Τῆς ἀσθενούσης μου ψυχῆς, τὰς πολλὰς ἀῤῥωστίας, καὶ τὰ τοῦ σώματος ἁγνή, χαλεπώτατα πάθη, ἐπίσκεψαι, καὶ θεραπείας ταχινῆς ἀξίωσον, καὶ τὰς ἁγίας ἐντολάς, ποιεῖν

με κατευόδωσον, Θεοῦ τοῦ ἀγαθοῦ ὅπως σε μεγαλύνω.

Ωδὴ, ζ΄. Δροσοβόλον μέν.

Υπερτέρα ἐχρημάτισας Πανάμωμε, τῶν νοερῶν Δυνάμεων· ὃν γὰρ ἐκεῖναι, οὐ τολμῶσιν ὅλως κατιδεῖν, ἀγκάλαις ἐβάστασας ταῖς σαῖς· χαριστηρίοις σε φωναῖς ὅθεν δοξάζομεν.

Θείου ἄνθρακος σεπτὸν θυμιατήριον, Κόσμον εὐωδιάσασα, δυσωδίας ἀκαθάρτων ῥῦσαί με παθῶν, Παρθένε καὶ δίδου μελῳδεῖν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Συντριβέντα με ἀμέτροις παραβάσεσι, τῇ θείᾳ μεσιτείᾳ σου, κοινοποίησον, ἰατρεύουσά μου τὴν ψυχὴν, καὶ λόγον παρέχουσα βοᾶν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ναοὺς ποίησον ἡμᾶς τοῦ θείου Πνεύματος, ναὲ Θεοῦ πανάγιε, τοὺς γεραίροντας, ἐν τῷ θείῳ τούτῳ σου ναῷ, καὶ μέλποντας Κόρη εὐλαβῶς· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ωδὴ. η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Σελασφόρον λαμπάδα καὶ χρυσαυγίζουσαν· φωτοφόρον παστάδα καὶ πορφυρίζουσαν· στάμνον γλυκασμοῦ, καὶ ζωῆς ἄρτου τράπεζαν, ἔγνωμέν σε Κόρη ὑπερευλογημένη.

Σὲ τὸ πάνσεπτον ὄρος καὶ ὑψηλότατον, οἱ εἰς βάθη πεσόντες τῶν παραπτώσεων, Δέσποινα ἁγνὴ δυσωποῦμεν ἀνύψωσον, πρὸς ἐνθέους πράξεις τῶν ἀρετῶν ὑψώσεις.

Λυτρωθέντες τῆς πρώην ἀρᾶς τῷ τόκῳ σου, Παντευλόγητε Κόρη Θεογεννήτρια, τὴν τοῦ Γαβριὴλ, φωνήν σοι ἀναμέλπομεν· χαῖρε ἡ αἰτία τῆς πάντων σωτηρίας.

Η τὸν βότρυν τεκοῦσα τὸν ἀγεώργητον, καρποφόρον με δεῖξον ἀγαθῶν πράξεων, καὶ τῆς οὐρανῶν, βασιλείας ἀξίωσον, ἵνα σε δοξάζω ἁγνὴ εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν. Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας· καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρᾷς, Χριστὲ μόνῳ τῷ βούλεσθαι· σὲ ὑπερυψοῦμεν εἰς

Ωδὴ, θ΄. Θεὸν ἀνθρώποις.

Θεοῦ παλάτιον καθαρώτατον, νῦν ἐπ' ἐμὲ ἐλέη τὰ πολλά σου θαυμάστωσον, Θεοτόκε Μαρία Πανάχραντε· ὅπως σε μεγαλύνω, καὶ μακαρίζω σε, τὴν ὑψηλοτέραν, οὐρανῶν καὶ πάσης Κτίσεως.

Χαριστηρίοις φωναῖς ὑμνοῦμέν σε, οἱ διὰ σοῦ τυχόντες ἀληθῶς τῆς Θεώσεως· καὶ βοῶμέν σοι, χαῖρε Πανύμνητε· χαῖρε εὐλογημένη· χαῖρε πυρίμορφε, Θρόνε τοῦ Παντάνακτος Μαρία χαῖρε Δέσποινα.

Υμνεῖν δοξάζειν καὶ μακαρίζειν σε, δίδου ἡμῖν ἀξίως τοῖς τιμῶσί σε Πάναγνε, καὶ τὸν τόκον τὸν σὸν μεγαλύνουσι, μόνη εὐλογημένη· σὺ γὰρ τὸ καύχημα, τῶν Χριστιανῶν, καὶ πρὸς Θεὸν πρέσβις εὐπρόσδεκτος.

Σταγὼν καθάπερ ὁ ἐπουράνιος, τῇ σῇ γαστρὶ Παρθένε ὑετὸς καταβέβηκε, καὶ ξηράνας τῆς πλάνης τὰ ῥεύματα, ὄμβρησεν ἀφθαρσίαν καὶ ἀπολύτρωσιν, πᾶσι τοῖς ἀνθρώποις, διὰ σοῦ Θεοχαρίτωτε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Προσόμοια. Τριήμερος ἀνέστης.

Χαῖρε βασιλευόντων ἁγνὴ, τὸ θάρσος τὸ ἀνίκητον· Χαῖρε κλέος, τῶν πιστῶν σου τὴν σεπτὴν, Εἰκόνα προσκυνούντων· Χαῖρε δαιμόνων πτῶσις· καὶ τῶν ἀνθρώπων ἡ ἀνόρθωσις.

Χαῖρε τῆς Σωτηρίας ἡμῶν, ἀρχὴ καὶ ῥίζα Πάναγνε· Χαῖρε μέσον, τὸ λαμπάδιον Χριστὸν, κεκτημένη λυχνία· Χαῖρε γῆς ὑπερτέρα, καὶ οὐρανοῦ Μαρία Δέσποινα.

Χαῖρε τιμιωτέρα σεμνὴ, Κτίσεως πάσης ἄχραντε, ὁρατῆς τε νοητῆς ὡς ὑπὲρ νοῦν, ἀμφοτέρων τεκοῦσα, Δεσπότην Θεοτόκε· Χαῖρε ψυχῆς μου ἀγαλλίαμα.

Πανύμνητε διάσωσον, δεινῶν τῶν συνεχόντων με, τὸν σὸν δοῦλον, καὶ χαρᾶς τὴν ταπεινὴν, ψυχήν μου Παναγία, καὶ θυμηδίας πλῆσον· ὅπως ἀπαύστως μεγαλύνω σε.

## ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

### ΠΟΙΗΜΑ ΤΟΥ ΟΣΙΟΥ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΚΑΤΑΣΚΕΠΗΝΟΥ

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ωδὴ α΄. Ἦχος πλ. δ΄. Βοηθὸς καὶ σκεπαστής.

ΒΟΗΘΟΣ καὶ σκεπαστὴς, καὶ λυτρωτής μου καὶ ἀντιλήπτωρ, Δέσποινα γενοῦ, χαλεπῶν συμφορῶν, πικρῶν ἀλγηδόνων· δριμυτάτων ὀδυνῶν, καὶ πόνων ῥυομένη με.

Παναγία ἡ ἐλπὶς, τῶν σὲ ἐκ πόθου παρακαλούντων, φάνηθι κἀμοὶ, ὑπακούουσα νῦν, καὶ πρόσδεξαι ὕμνον, ἐκ χειλέων ῥυπαρῶν, τοῦ ταπεινοῦ οἰκέτου σου.

Ρυομένη συμπαθῶς, ἐπίφανόν μοι τὸ πρόσωπόν σου· σκότος γὰρ δεινῆς, ἀπογνώσεως νῦν, καλύπτει με ὅλον· ἀλλὰ λάμψον μοι αὐγὴν, τῆς καθαρᾶς πρεσβείας σου.

Ναυαγίῳ χαλεπῷ, κατεποντίσθην τῆς ἁμαρτίας· δίδου δεξιὰν, ὡς τῷ Πέτρῳ κἀμοὶ, καὶ σῶσόν με λόγε, ταῖς λιταῖς τῆς ὑπὲρ νοῦν, ἀφθόρως κυησάσης σε.

Ωδὴ γ΄. Στερέωσον Κύριε.

Προσπίπτοντα δέξαι με, τοῖς οἰκτιρμοῖς σου Μῆτερ τοῦ Λόγου· αἰτουμένῳ τε συγχώρησιν, τῶν πταισμάτων, πάρασχε θερμαῖς ἱκεσίαις σου.

Η κάμινον σβέσασα, βαβυλωνίαν σε ζωγραφοῦσαν, τῶν ἐμῶν παθῶν τὴν κάμινον, καὶ τῶν νόσων, τὴν πυρκαϊὰν σβέσον Δέσποινα.

Ανάστειλον Δέσποινα, τῶν ἡδονῶν μου τὴν πικρὰν μέθην, νῆψιν θείαν μοι παρέχουσα, μετανοίας, καὶ ἐπιστροφὴν τὴν σωτήριον.

Ιλεῷ σου ὄμματι, πρόσχες μοι Δέσποινα θλιβομένῳ, καὶ ἐλέησον καὶ σῶσόν με, σωτηρία, κόσμου καὶ ἀνθρώπων βοήθεια.

Ωδὴ, δ΄. Ἀκήκοεν ὁ Προφήτης.

Ηγάπησα τὰ παρόντα, τὴν σάρκα τε καὶ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, ἡδονὰς καὶ δόξαν καὶ τὰ χρήματα, τῶν μελλόντων δὲ οὐδόλως ἐφρόντισα· διὸ καὶ τῆς δόξης τῆς ἄνω, καὶ τῆς ἀγάπης, Θεοῦ ἐκπέπτωκα ὁ ἄθλιος.

Η πύλη τῆς θείας δόξης, τὰς πύλας μοι διάνοιξον τῆς μετανοίας· καὶ πρὸς φῶς εἰσάγαγέ με ἄδυτον, τοῦ υἱοῦ καὶ Κτίστου σου Πανύμνητε, παθῶν με ἐξαίρουσα ζόφου, καὶ ῥαθυμίας ὁμίχλην διαλύουσα.

Ανύστακτον τὴν λαμπάδα, ψυχῆς μου διατήρησον εὐλογημένη· μὴ ἀποσβεσθῇ ὥσπερ ἀνέλαιος, καὶ κλεισθῇ ἡ θύρα τοῦ νυμφῶνός μοι· ἀλλ᾽ ἄνοιξον θύραν ἐλέους, καὶ πρόστηθί μοι, ἐν ὥρᾳ τῆς ἐξόδου μου.

Κατάβαλε τοὺς ἐχθρούς μου· πολέμησον τοὺς ἀδίκως με πολεμοῦντας· ἵνα γνῶσι τίνος δοῦλος πέφυκα· τίνα προστασίαν ἐπιγράφομαι· πανύμνητε εὐλογημένη Θεοκυῆτορ· καὶ σῶσόν με ὑμνοῦντά σε.

Ωδὴ, ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντα.

Σῶσόν με τὸν ἄσωτον Πανάχραντε, πρόστηθι ῥῦσαί με ἐξ ἐχθρῶν μου ὁρατῶν, καὶ ἀοράτων, πάντων, τῶν συνθλιβόντων ἀεὶ τὴν ταπεινὴν ψυχήν μου.

Ιλεων τὸν σὸν υἱὸν ἀπέργασαι, ὅταν τὰ ἔργα μου, τὰ κρυπτὰ καὶ φανερὰ, οἴμοι μέλλῃ ἐτάζειν μή με ἐκπέμψῃ εἰς πῦρ τὸν κατακεκριμένον.

Εἰς τὴν σὴν ἀμέτρητον χρηστότητα, Δέσποτα Κύριε ὁ ταλαίπωρος ἐγὼ, θαῤῥῶν καὶ τῆς Μητρός σου, τὰς ἱκεσίας Σωτὴρ, οὐκ ἀπογνώσω ὅλως·

Ολος ἐκ νεότητος Πανάμωμε, γέγονα ἄχρηστος, νεκρωθεὶς ταῖς ἡδοναῖς, καὶ τεθανατωμένος, ὁ τάλας κεῖμαι δεινῶς· ἀλλὰ ἀνάστησόν με.

Ωδὴ ς΄. Ἐβόησα ἐν ὅλῃ.

Προσπίπτω σοι Μαρία Πανάχραντε, καὶ ἐκβοῶ μετὰ κλαυθμοῦ· Θεοτόκε ῥῦσαι, ψυχήν μου τὴν ἀθλίαν, κρίσεως μελλούσης, καὶ πυρὸς αἰωνίου.

Κατάρδευσον πρεσβειῶν σου νάμασι, τὴν παναθλίαν μου ψυχὴν, τῶν παθῶν φλεχθεῖσαν, τῷ καύσωνι καὶ δεῖξον, καρποφόρον ταύτην, ὑπέραγνε Μαρία.

Αγίασόν με ὅλον καὶ λάμπρυνον, τὸ ἱλαστήριον πιστῶν, καὶ ταῖς σαῖς πρεσβείαις, ἀνάδειξόν με Κόρη, οἶκον τῆς ἁγίας, Τριάδος δυσωπῶ σε.

Λιμένα σε γινώσκω γαλήνιον, Θεοκυῆτορ Μαριάμ· καὶ βοῶ ἐκ βάθους, καρδίας μὴ ἐάσῃς, βυθισθῆναι Κόρη, ἐχθροῦ ταῖς τρικυμίαις.

Κάθισμα. Πολλὰ τὰ πλήθη.

Τῶν ἐναντίων λογισμῶν ἐκταράσσει με κλύδων, καὶ τῶν παθῶν ἐπαγωγαί· εἰς βυθὸν ἀπωλείας, κατάγουσι τὴν ἀσθενοῦσάν μου ψυχήν· ἀλλ᾽ οἰκτειρόν με ἡ τεκοῦσα τὸν Θεόν·

καὶ ῥῦσαί με τὸν δοῦλόν σου, μελλούσης ἀπειλῆς μόνη εὐλογημένη.

Ωδὴ, ζ΄. Ἡμάρτομεν.

Παρώργισα παρεπίκρανα, τὸν μακρόθυμον καὶ πλαστουργόν μου, ὅστις ἔπλασε πάλαι ἐκ γῆς με, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγεν· ἀλλ' ἐξιλέωσαί μοι τοῦτον Παρθένε, ταῖς μητρικαῖς σου λιταῖς.

Ὦ Δέσποινα ἡ ἀνοίξασα, τὰς σεπτὰς πύλας τοῦ Παραδείσου· ταύτας κἀμοὶ κλεισθείσας Παρθένε, διὰ πράξεων ἀτόπων ὧν ἔπραξα, ὑπανοίξασα σῶσόν με, καὶ δεῖξον οἰκήτορα αὐτοῦ.

Ἱλέωσον τὸν υἱόν σου καὶ Κύριον, καὶ Θεὸν ἡμῶν καὶ εὐεργέτην, Δέσποινα Παναγία Παρθένε, τοῦ ῥυσθῆναί με κινδύνων καὶ θλίψεων, καὶ τῆς λαμπρότητος τῶν ἁγίων, καὶ δόξης αἰωνίου τυχεῖν.

Ἁγίασον φωταγώγησον, τὴν καρδίαν μου Θεογεννῆτορ· ξήρανον ὀχετοὺς τῶν παθῶν μου, ῥᾶνον ὕδατι τῆς θείας πρεσβείας σου, καὶ ἀξίωσον φέρειν σοι ὕμνον εὐπρόσδεκτον ψυχῆς καθαρᾶς.

Ωδὴ, η΄. Ὃν φρίττουσι.

Χρεωστικῶς τὴν σὴν προσκαλούμεθα, πρεσβείαν Μῆτερ Θεοῦ πρὸς τὸν σὸν υἱὸν, πάντες οἱ ἐπταικότες, καὶ κατακεκριμένοι· ἵνα τῆς γεέννης, τῇ μεσιτείᾳ σου ῥυσθῶμεν.

Ἐγγυητὴς γενοῦ μοι Πανάμωμε, πρὸς Κύριον τὸν Θεὸν, ὅταν ἐπὶ γῆς, ἔλθῃ τοῦ κρῖναι πάντας, καὶ δεῖξόν με μερίδος, τῆς τῶν σωζομένων, τὸν ἄθλιον ἐκδυσωπῶ σε.

Σβέσον τὸ πῦρ τῶν παθῶν καὶ νέκρωσον, τὸ φρόνημα τῆς σαρκὸς, φώτισον τὸν νοῦν, κάθαρον τὴν καρδίαν, καὶ θρέψον τὴν ψυχήν μου, ἄρτῳ οὐρανίῳ, καὶ σῶσόν με Θεογεννῆτορ.

Ὁδήγησον ἐν τῇ τρίβῳ Δέσποινα, τῶν ἐντολῶν τοῦ Θεοῦ τὸν ἁμαρτωλὸν, κλῖνόν μοι τὴν καρδίαν, εἰς ὁδὸν σωτηρίας· σὲ γὰρ ἔχω μόνην, ἀντίληψιν καὶ προστασίαν.

Ὁ Εἱρμός.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι· καὶ φρίττει τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις· ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε.

Ωδὴ, θ΄. Ἀσπόρου συλλήψεως.

Ἐγὼ ὁ κατάκριτος, καὶ ὅλως ἀδιόρθωτος ἐγὼ ὁ τάλας· ὁ πάντων ὑπεύθυνος, ἑτέρους κατέκρινα ὄντας ἀκατακρίτους· οὐαί μοι τότε ἐν τῷ καιρῷ, τῷ τῆς κρίσεως Παρθένε· ὅτι μέλλω κατακρίνεσθαι.

Αἰχμάλωτον εἷλέ με, καὶ σπεύδει ἀπολέσαι με ὁ πάντας θέλων, ὀλέσαι διάβολος· ἀλλ' ὦ Κόρη εὔσπλαγχνε, μή με ἐγκαταλίπῃς· μὴ παραδῷς με ἐχθροῖς· μὴ ἐάσῃς ἀπωλέσθαι, τὸν ἀνάξιον οἰκέτην σου.

Ἐλπὶς ἀκαταίσχυντε, βοήθεια καὶ σκέπη μου καταφυγή μου, θερμή τε ἀντίληψις, βοήθησόν μοι τότε, ἐν τῇ μελλούσῃ κρίσει, καὶ ῥῦσαι πάσης με ἀπειλῆς, καὶ υἱὸν τῆς βασιλείας, τοῦ υἱοῦ σου δεῖξον ἄχραντε.

Υμνῶ σου Πανύμνητε, τὴν δόξαν τὴν λαμπρότητα τὴν δυναστείαν, τὸ ἄφατον ἔλεος, τὸ τῆς εὐσπλαγχνίας σου καὶ τῆς φιλανθρωπίας· καὶ ἱκετεύω σε ἀγαθή· μὴ ἐκπέσω τῆς ἐλπίδος· ἀλλὰ τύχοιμι τῆς δόξης σου.

Προσόμοια. Ολην ἀποθέμενοι.

Χαῖρε θεῖον σκήνωμα, Θεοῦ τοῦ πάντων Δεσπότου· χαῖρε τὸ ἐνίσχυμα, καὶ Μαρτύρων στέφανος ἀμαράντινος· τῶν πιστῶν στήριγμα· καὶ Ὁσίων δόξα· χαῖρε Μήτηρ ἀπειρόγαμε· Χαῖρε τὸ καύχημα, τῶν ἐπουρανίων Δυνάμεων· τῶν Προφητῶν ὑπόθεσις· καὶ τῶν Ἀποστόλων τὸ κήρυγμα· Χαῖρε τῆς ἀπάτης, τὴν πλάνην ἡ πατήσασα ἁγνή· ἁμαρτιῶν ἱλαστήριον· Χαῖρε Μητροπάρθενε.

Χαῖρε οἰκητήριον, φωτὸς σεμνὴ Παναγία· χαῖρε στύλε πύρινε, δι᾽ οὗ ὡδηγήθημεν πρὸς οὐράνιον, οἱ φθορᾶς μέτοχοι, μακαρίαν δόξαν, καὶ ἀνώλεθρον κατάπαυσιν· χαῖρε ἡ ἄμπελος, βότρυν τῆς ζωῆς ἡ βλαστήσασα, γλεῦκος ἐναποστάζοντα, καὶ μέθην κακίας ἐξαίροντα, καὶ τῆς εὐφροσύνης, ποτίζοντα τὸν οἶνον τοὺς πιστούς, Θεοῦ λοχεύτριαν Δέσποινα καθομολογοῦντάς σε.

Χαῖρε τὸ λαμπρότατον, τοῦ βασιλέως Κυρίου, καὶ φαιδρὸν παλάτιον, χαίροις πόλις ἔμψυχε τοῦ Παντάνακτος· Χαῖρε μόνη ἄρρηκτος, καὶ βεβαία σκέπη, τῶν ἐν πίστει δεομένων σου· Χαῖρε διάσωσμα, κόσμου καὶ θερμὸν ἱλαστήριον· Χαῖρε ἡ θείως σβέσασα, τῆς πολυθεΐας τὴν κάμινον· Χαῖρε τῶν Ἀγγέλων, ἡ θεία χαρμονὴ καὶ τῶν βροτῶν, ἡ κραταιὰ καὶ ἀνώλεθρος Δέσποινα βοήθεια.

Δέξαι μου τὴν δέησιν, Θεοκυῆτορ Μαρία, καὶ μὴ ἀποῤῥίψῃς με, ἀπὸ τοῦ προσώπου σου τὸν ἀνάξιον· ὡς οὐδεὶς ἄλλος γάρ, ἐπὶ γῆς Πάναγνε, ἐν ἀνθρώποις ἐπλημμέλησα· διὸ τὴν θείαν σου, χάριν ἐξαιτῶ ὁ πανάθλιος· προφθάσασά με οἴκτειρον, νῦν ὀδυνηρῶς συνεχόμενον· καὶ μή με εἰς τέλος, ἐάσῃς κινδυνεύειν τὸν εἰς σέ, μόνην ἐλπίσαντα Δέσποινα, πάντων τὸ διάσωσμα.

## ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΥΛΟΥ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΜΟΡΙΟΥ

Οὗ ἡ ἀκροστιχίς.

Δός μοι Παρθένε, δάκρυα μετανοίας.

Ωδὴ, α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

ΔΕΣΠΟΙΝΑ θρῆνον προσδέχου ἐκ ῥυπαρᾶς, καρδίας Πανάμωμε, καὶ χειλέων ἐναγῶν· καὶ ἐκ ῥύπου πλῦνόν με παθῶν, καὶ πταισμάτων χαλεπῶν· ἵνα δοξάζω σε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ομβρους δακρύων μοι δίδου σαῖς προσευχαῖς, Παναγία Δέσποινα, ὅπως κλαύσωμαι θερμῶς, ἅπερ ἐπλημμέλησα ἐν γῇ, καὶ ῥυσθῶ ἀναμενούσης με κολάσεως.

Στέναξον κλαῦσον ψυχή μου καὶ σεαυτὴν, ἀπεντεῦθεν πένθησον, ἐκβοῶσα τῷ Χριστῷ, σῆς Μητρὸς οἰκτίρμον ταῖς λιταῖς, τὸν ὑπεύθυνον φρικτῆς ῥῦσαι γεέννης με.

Μή μου τὸν θρῆνον ἀπώσῃ ἡ τὴν πηγὴν, τοῦ ἐλέους τέξασα· ἀλλ' εὐσπλάγχνως ἀγαθὴ, σῷ ἱλέῳ ὄμματι ψυχῆς, Θεοτόκε τῆς ἐμῆς πάθη θεράπευσον.

Ωδὴ, γ'. Οὐκ ἔστιν ἅγιος.

Οὐκ ἔστιν ἄλλος ἐν βροτοῖς, ὁ τὰ ἄθεσμα πράξας, καὶ ἀτώτως βιώσας, ὥσπερ ἐγὼ ἀγαθὴ, ἐν ἀσελγείαις δεινῶς· τὸ γὰρ θεῖον, βάπτισμα ἐμόλυνα.

Ιδοὺ ἐπῆλθον ἐπ' ἐμέ, ὥσπερ μάστιγες πᾶσαι, τοῦ ἐχθροῦ αἱ κακίαι· βαρυνθεῖσαι γὰρ σφοδρῶς, προσώζεσαν καὶ ψυχῆς, ἀπειλοῦσι, παντελῆ κατάπτωσιν.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε πταισμάτων, διὰ τοῦτό σοι πίστει, προσπίπτω ἀναβοῶν, ἐν ὥρᾳ τῇ φοβερᾷ, ἱλεῶσαι, ὅνπερ ἐσωμάτωσας.

Αγία Δέσποινα ἐμὲ, τὸν ὑπεύθυνον πάσης, ἐξελοῦ καταδίκης, παῤῥησίαν πρὸς Θεὸν, ὡς ἔχουσα Μητρικὴν, καὶ νυμφῶνι, τούτου με κατάταξον.

Ωδὴ, δ'. Χριστός μου δύναμις.

Ροήν μοι δώρησαι, δακρύων Δέσποινα, ὅπως πλύνω τὸν ῥύπον τὸν τῆς ψυχῆς, καὶ εὕρω ὁ ἄθλιος, ὅπερ ἀπώλεσα κάλλος, συμβουλίᾳ τῇ τοῦ ὄφεως.

Θεέ μου εὔσπλαγχνε, Χριστὲ φιλάνθρωπε, θελητὰ τοῦ ἐλέους νῦν ἐπ' ἐμοὶ, ῥᾶνον σου τὸ ἔλεος· ἐκδυσωπεῖ σε ἡ ἐλπὶς, καὶ προστάτις μου καὶ Μήτηρ σου.

Εμὲ τὸν ἄσωτον, τὸν παροργίσαντα, ὑπὲρ πάντας ἀνθρώπους τὸν σὸν υἱὸν, αἰωνίων λύτρωσαι, βασάνων μόνη ἡ ἐλπὶς, τῶν πιστῶν Θεογεννήτρια.

Νομὴν κατέπαυσας, θανάτου τέξασα, τὴν ζωὴν τῶν ἁπάντων· ὅθεν κἀμὲ, νεκρωθέντα ζώωσον, ταῖς ἁμαρτίαις καὶ ζωῆς, αἰωνίου καταξίωσον.

Ωδὴ, ε'. Τῷ θείῳ φέγγει σου.

Εχθρός με πράττοντα καθορῶν, πᾶσαν ἀνομίαν ἀναιδῶς, ἐπιγελᾷ μου τοῖς πταίσμασι· ῥῦσαί με τῆς τούτου αἰχμαλωσίας ἁγνὴ, καὶ τρέψον εἰς αἰσχύνην αὐτοῦ τὸν γέλωτα.

Διάσωσόν με ἀπὸ παθῶν, θλίψεως καὶ βλάβης πονηρῶν, τῶν ἐναντίων καὶ λύτρωσαι, τούτων τῆς ἐνέδρας τὴν ταπεινήν μου ψυχήν· μὴ εἴποιεν πρὸς τοῦτον ἁγνὴ ἰσχύσαμεν.

Αδίκων λύτρωσαί με χειρῶν, γλώσσης τε δολίας καὶ δεινῶν, χειλέων Κόρη Θεόνυμφε· πᾶσαν γὰρ ἐθέμην τὴν προσδοκίαν μου, ἐν σοὶ μὴ αἰσχυνθείην καθικετεύω σε.

Καρδίας δίδου μοι συντριβὴν, καὶ δακρύων Κόρη ὀχετοὺς, πτωχείαν τε τὴν τοῦ Πνεύματος· ὅπως μου θρηνήσω Θεοχαρίτωτε, κακῶς μοι τὰ πραχθέντα ὡς θρήνων ἄξια.

Ωδὴ, ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ροὴν τῶν δακρύων μου, τὴν μικρὰν καὶ πενιχρὰν, προσδεξαμένη Δέσποινα, ὡς ἐκλεκτὸν

εὐῶδες καὶ καθαρὸν, μῦρον καὶ θυμίαμα, τῆς δυσώδους με ῥῦσαι παθῶν σχέσεως.

Υπέκυψα πάθεσι, μακρυνθεὶς ἀπὸ Θεοῦ, ἀσώτως ὁ πανάθλιος· ὃν δυσώπησον σῶσαί με ἀγαθή· πρὸς σὲ γὰρ κατέφυγον· καὶ στολαῖς με ταῖς πρῴην καταλάμπρυνον.

Αγίων Ἀγγέλων σε, τὴν εὐπρέπειαν ὑμνῶ, καὶ δυσωπῶ Πανάμωμε, τὰ ἀπρεπῆ ἀπέλασον ἀπ' ἐμοῦ, δαιμόνων φαντάσματα, ἐν γαλήνῃ τηροῦσα τὴν καρδίαν μου.

Μὴ κῦμα καλύψῃ με· μὴ ποντίσῃ καταιγίς· μὴ ἀφανίσῃ πέλαγος· μὴ καταδύσῃ θάλασσα καὶ βυθὸς, πικρᾶς ἀπογνώσεως, ἁλμυρᾶς ἀπωλείας Κόρη Πάναγνε.

Κάθισμα. Ἐλπὶς τοῦ κόσμου ἀγαθή.

Απὸ καρδίας στεναγμοὺς, καὶ ἐκ σπλάγχνων σοι φέρω, τὴν σὴν Πανάμωμε αἰτῶν, εὐμενῆ προστασίαν· ἐλέησον τὴν παναθλίαν μου ψυχήν· ἱλέωσον τὸν πολυέλεον Θεὸν, ῥυσθῆναί με τῆς κρίσεως, καὶ λίμνης τοῦ πυρὸς μόνη εὐλογημένη.

Ωδὴ, ζ'. Δροσοβόλον μέν.

Επὶ σὲ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄθλιος· μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ, τὸ πρόσωπον τὸ σόν· μὴ σπλάγχνα φιλάνθρωπα τὰ σὰ, κλείσῃς μοι Μήτηρ τοῦ Θεοῦ ἀλλὰ βοήθει μοι.

Τῶν πταισμάτων βυθιζόμενον τῷ κλύδωνι, ἀνάγαγε Θεόνυμφε, καὶ πρὸς θεῖόν με ἀπαθείας ἴθυνον ἁγνὴ, λιμένα βοῶντα εὐλαβῶς· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ανομίας ἐργαστήριον γεγένημαι, καὶ πάσης ἐργασίας αἰσχρᾶς, καταγώγιον καὶ δοχεῖον φαύλων ἐννοιῶν· ἀλλ' ὦ πολυύμνητε ἁγνὴ, δοχεῖον ἅγιον Θεοῦ σύ με ἁγίασον.

Νοερᾶς ὡς βαβυλῶνος τῆς συγχύσεως, δυνάστης ὁ Ἀσσύριος νοῦς, ἑπταπλασίως λογισμῶν ἐμπύρων ἐν ἐμοὶ, ἐξέκαυσε κάμινον ἁγνή· ἐν ᾗ με ἄφλεκτον τῇ σῇ δρόσῳ συντήρησον.

Ωδὴ, η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ορατῶς τῇ εἰκόνι σου παριστάμενος, ἀοράτως δοκῶ σοι ζώσῃ παρίστασθαι, Μῆτερ τῆς ζωῆς, μετὰ δέους δεόμενος, ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν με ῥῦσαι.

Ικεσίαν Παρθένε Θεῷ προσάγαγε, τὰς ψυχὰς ἡμῶν σῶσαι Θεοχαρίτωτε, καὶ τῆς τῶν παθῶν ἐνοχῆς ἡμᾶς ῥύσασθαι· καὶ τῆς τῶν δαιμόνων κακίστης ἐπηρείας.

Αμαρτίας τὸν σάκκον τὸν σκοτεινὸν καὶ τραχὺν, διαρρήξασα ἔνδυσον σωτηρίαν με, καὶ τὴν ἀληθῆ εὐφροσύνην περίζωσον· ἵνα σε δοξάζω ἁγνὴ εἰς τοὺς αἰῶνας.

Συμπαθείας ἡ ἄβυσσος ἡ ἀπέραντος· εὐσπλαγχνίας ἡ θάλασσα ἡ ἀμέτρητος· τῶν ἁμαρτωλῶν ἡ ἑτοίμη βοήθεια, σῶσόν με Παρθένε τὸν σὸν ἀχρεῖον δοῦλον.

Αἰνοῦμεν Ὁ Εἱρμός.

Εκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας· καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρᾷς Χριστὲ μόνῳ τῷ βούλεσθαι· σὲ ὑπερυψοῦμεν.

Ωδὴ, θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Παθῶν κλυδώνιον συνταράσσει με, καὶ ἡδονῶν βυθίζει με εἰς χάος Πανάμωμε· κυβερνή-

την Χριστὸν ἡ κυήσασα, χεῖρά μοι βοηθείας ἔκτεινον σῶσόν με, μόνη σωτηρία, τῶν πιστῶν καὶ ἀπολύτρωσις.

Ἀεὶ τὴν σκέπην σου καὶ ἀντίληψιν, χειραγωγὸν αἰτοῦμαι συμπαρεῖναί μοι Δέσποινα· ἐξαιρέτως ἐν ὥρᾳ τῆς κρίσεως, καὶ ἐν τῇ τῆς ἐξόδου, ὅτε ζοφώδης μοι, φάλαγξ τῶν δαιμόνων, πονηρὰ ἐπισυστήσεται.

Ὑλώδους σχέσεώς με ἀπάλλαξον, καὶ καθαρῶς ἀΰλῳ τῷ νοῒ ἐνοπτρίζεσθαι, ἐν νυκτὶ καὶ ἡμέρᾳ παράσχου μοι, σὲ τὴν ἐμὴν ἐλπίδα Θεογεννήτρια, τὸ φῶς τὴν ζωὴν, τὸν γλυκασμὸν καὶ ἀγαλλίαμα.

Λαβὼν τὸν πλοῦτον ἐκ σοῦ τῆς χάριτος, τῆς σῆς Χριστὲ ἀσώτως μὲν αὐτὸν διεσκόρπισα· κολληθεὶς δὲ πολίταις ἐπτώχευσα, φαύλαις φιληδονίαις, λόγοις καὶ πράξεσιν· ἀλλὰ ταῖς λιταῖς, τῆς σῆς Μητρὸς οἰκτίρμον σῶσόν με.

Προσόμοια. Τριήμερος ἀνέστης.

Χαῖρε ὁ θησαυρὸς τῆς ζωῆς· Χαῖρε λυχνία πάγχρυσε· Χαῖρε στάμνε, μάννα φέρουσα Χριστὸν, τὸν πάντων βασιλέα· Χαῖρε ἁγνὴ Παρθένε· Χαῖρε ἡ λύσις τῆς ἀρχαίας ἀρᾶς.

Χαῖρε τῆς Ἐκκλησίας σεμνὴ, ὁ πύργος ὁ ἀσάλευτος· Χαῖρε μόνη προστασία τῶν πιστῶν· Χαῖρε τοῦ κόσμου δόξα, ὑπερευλογημένη· Χαῖρε βροτῶν τὸ καταφύγιον.

Χαῖρε ἡ ἀγλαόκαρπος, μηλέα ἐξ ἧς ἔφυσε, μῆλον θεῖον, καὶ πανεύοσμον ἁγνή· Χαῖρε ῥοιὰ γλυκεῖα, κοκκοβαφὴς Παρθένε· Χαῖρε ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

Κινδύνοις συνεχόμενον, καὶ θλίψεσι τὸν δοῦλόν σου, Θεοτόκε, μὴ παρίδῃς ἀγαθή· ἀλλ' οἴκτειρον καὶ σῶσον, ἐλπὶς ἀπηλπισμένων, καὶ τῶν δεινῶν με ἐλευθέρωσον.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Ὠδὴ, α'. ἦχος πλ. β'. Βοηθὸς καὶ σκεπαστής.

ΧΑΡΙΤΟΣ ΣΟΥ ἀγαθὴ, τὴν ταπεινήν μου πλῆσον καρδίαν· ὅπως σοι χαρᾶς, ἐκβοήσω φωνὴν, ἀνύμφευτε Κόρη, χαῖρε Μήτηρ τῆς ζωῆς· χαῖρε ἀγγέλων καύχημα.

Χαῖρε πύλη νοητή· χαῖρε ἡ στήλη τῆς Παρθενίας· χαῖρε ἡ τὸ φῶς ἀποῤῥήτως ἡμῖν, πηγάσασα Κόρη, τοῖς εἰδόσι σε Θεοῦ πανἀληθῆ λοχεύτριαν.

Χαῖρε γέφυρα θνητοὺς, ζωὴν πρὸς θείαν μεταγαγοῦσα· χαῖρε ἡ ἐλπὶς καὶ χαρὰ τῶν πιστῶν, Πανύμνητε Κόρη· χαῖρε θρόνε τοῦ Θεοῦ· χαῖρε Μαρτύρων στέφανε.

Μὴ παρίδῃς ἀγαθὴ, διεφθαρμένον ἐν ἀνομίαις, ὅλον ἐναγῆ ταῖς πικραῖς ἡδοναῖς, γε-

νόμενον Κόρη· ἀλλὰ ῥύπου με παντὸς, ἀπόπλυνον καὶ σῶσόν με.

Ὠδὴ, γ'. Στερέωσον Κύριε.

Χαῖρε ζωῆς ἄσυλον, ταμεῖον μόνη εὐλογημένη· χαῖρε τίμιον διάδημα, βασιλέων, χαίροις οἰκουμένης τὸ καύχημα.

Χαῖρε χαρᾶς ἄχραντον, δοχεῖον μόνη Θεοκυῆτορ· χαῖρε καύχημα σεβάσμιον, Ἱερέων, χαῖρε Ἀποστόλων τὸ κήρυγμα.

Χαῖρε χρυσοῦ οἴκημα, Θεοῦ τοῦ Λόγου δεδοξασμένη· χαῖρε καύχημα παγκόσμιον· πιστῶν χαῖρε, ἄκουσμα καὶ λάλημα τίμιον.

Ἐκύησας ἄχραντε, τὸν κτίστην πάντων καὶ εὐεργέτην· ὃν ἱλίωσαι Πανάμωμε, τοῦ τυχεῖν με, δόξης τῆς ἐκεῖ καὶ λαμπρότητος.

Ὠδὴ, δ'. Ἀκήκοεν ὁ Προφήτης.

Χαῖρε πιότατον ὄρος, ἐν ᾧ περ κατεσκήνωσεν ὁ πάντων κτίστης· χαῖρε φῶς τὸ ἐκ φωτὸς κυήσασα, τὸ φωτίσαν οἰκουμένην ἅπασαν· ἀκήρατε χαῖρε Παρθένε, τῆς βασιλείας, τὸ τεῖχος τὸ ἀπόρθητον.

Χαρᾶς ἀφράστου δοχεῖον, χαῖρε ἁγνὴ ὁλόφωτε εὐλογημένη· τὸ τοῦ κόσμου χαῖρε καταφύγιον· τῶν πταισμάτων χαῖρε ἱλαστήριον· Παντάνασσα χαῖρε Μαρία, τῆς Ἐκκλησίας ὁ πύργος ὁ ἀσάλευτος.

Ἑπτάφωτόν σε λυχνίαν, τὸ πῦρ τῆς θεογνωσίας φέρουσαν Κόρη, ὁ προφήτης πάλαι προεώρακε, φαῖνον τοῖς ἐν σκότει κινδυνεύουσι, Πανάμωμε τῆς ἀγνωσίας· διὸ βοῶ σοι· φώτισόν με τὸν δοῦλόν σου.

Τὴν ποίμνην σου Θεοτόκε, νῦν κινδυνεύουσαν Παρθένε σῶσον· ἔχεις γὰρ τὸ θέλειν καὶ τὸ δύνασθαι, ὡς τὸν πάντων Ἄνακτα κυήσασα· καὶ ῥῦσαι φθορέων ἀνθρώπων, καὶ κακοτρόπων, ὡς ἀγαθὴ τοὺς δούλους σου.

Ὠδὴ, ε'. Ἐκ νυκτὸς ὀρθρίζοντα.

Χαῖρε πάσης Ἄνασσα τῆς κτίσεως· χαῖρε Πανάμωμε· χαῖρε πάντων ἡ ἐλπὶς, τῶν εἰς σὲ προστρεχόντων· χαῖρε πηγὴ καθαρὰ τοῦ ἀκενώτου ῥείθρου.

Χαῖρε φωτεινότατον Παλάτιον, ἄχραντε Δέσποινα, τοῦ τὰ πάντα τῇ χειρὶ, κατέχοντος ἀῤῥήτως· χαῖρε ὁσίων στολὴ, καὶ τῶν Μαρτύρων κλέος.

Χαῖρε στύλε πύρινε μετάγουσα, Κόρη Πανύμνητε, Ἰσραὴλ τὸν νοητὸν, εἰς θείας καταπαύσεις· χαῖρε ἀδύτου φωτὸς νεφέλη Θεομῆτορ.

Σῶσόν με τὸν δείλαιον Πανάμωμε, χαλεπαῖς μάστιξι καὶ ποικίλαις συμφοραῖς, κρατούμενον διόλου· καὶ μὴ ἐάσῃς ἁγνὴ εἰς τέλος κινδυνεύειν.

Ὠδὴ, ς'. Ἐβόησα ἐν ὅλῃ.

Χαῖρε πηγὴ ἀειζώου νάματος· χαῖρε νεφέλη φωτεινή· χαῖρε θεία σκέπη τῶν πίστει σε τιμώντων· χαῖρε τίμιον ᾆσμα τῶν Ἀσωμάτων.

Χαῖρε λαμπρὸν τῆς χάριτος γνώρισμα· χαῖρε Παράδεισε τρυφῆς· χαῖρε ἡ τεκοῦσα Θεὸν

σεσαρκωμένον· χαῖρε πρόξενε τῆς ἡμῶν σωτηρίας.

Χαῖρε παντὸς τοῦ κόσμου ἐξίλασμα· χαῖρε βροτῶν πρὸς Θεὸν, παῤῥησία μόνη, Παρθένε Θεοτόκε· χαῖρε πάγχρυσον, δοχεῖον τοῦ ὑψίστου.

Ἐν πειρασμοῖς γινώσκω προστάτιν σε· καὶ ἐν ταῖς νόσοις Ἰατρόν· ἐν ταῖς τρικυμίαις γαλήνιον λιμένα· καὶ ἐν θλίψεσι χαρὰν καὶ εὐφροσύνην.

Κάθισμα. Αὐτόμελον.

Ἀρχὴ σωτηρίας, ἡ τοῦ Γαβριὴλ προσηγορία, πρὸς τὴν Παρθένον γέγονεν· ἤκουσε γὰρ τὸ χαῖρε, καὶ οὐκ ἀπέφυγε τὸν ἀσπασμόν· οὐκ ἐδίστασεν ὡς ἡ Σάῤῥα ἐν τῇ σκηνῇ· ἀλλ' οὕτως ἔλεγεν· ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Ὠδὴ, ζ'. Ἡμάρτομεν ἠνομίσαμεν.

Χαῖρε Ναὲ Θεοκόσμητε· χαῖρε ἔμψυχον τοῦ βασιλέως τέμενος, Θεοδόξαστε Κόρη· χαῖρε ἄγκυρα τῆς πίστεως ἄχραντε· χαῖρε κάλλος πολύευκτον πανύμνητε· χαῖρε ἡ πάντων ἐλπίς.

Χαῖρε πιστῶν ἐγκαλλώπισμα, παντευλόγητε Θεοκυῆτορ· χαῖρε τὸ περιβόητον θαῦμα, καὶ περίδοξον Ἀγγέλων καὶ στήριγμα, τῶν βροτῶν κραταιότατον ἀνύμφευτε· χαῖρε ἡ πάντων χαρά.

Χαῖρε αὐγὴ ἡ τὸν ἥλιον, ἀνατείλασα παντὶ τῷ κόσμῳ· χαῖρε τῆς ἀχωρήτου οὐσίας, καταγώγιον φαιδρὸν καὶ παράδοξον· χαῖρε ἔμψυχε τράπεζα βαστάζουσα Πάναγνε ἄρτον ζωῆς.

Θαυμάστωσον τὰ ἐλέη σου, τῷ οἰκέτῃ σου Θεογεννῆτορ· τῇ σκέπῃ με σκέπασον τῆς θείας πρεσβείας σου, καὶ φύλαξον ὡς κόρην ὀφθαλμοῦ· καὶ διάσωσον ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ, τὸν πεποιθότα εἰς σέ.

Ὠδὴ, η'. Ὃν στρατιαί.

Ἱερωτάταις φωναῖς σε ἄχραντε, γεραίρομεν οἱ πιστοὶ σὺν τῷ Γαβριὴλ, κράζοντες ἀσιγήτως· χαῖρε Κυρίου Μήτηρ· χαῖρε προστασία τῶν καταπονουμένων.

Ὡς ἀληθῶς ὑπερτέρα πέφυκας, πάντων κτισμάτων σεμνὴ, ὡς τὸν Ποιητὴν, τούτων ἀποτεκοῦσα· διὸ γεγηθότες, κράζομεν ἀπαύστως, τὸ χαῖρέ σοι εὐλογημένη.

Ἀπὸ πασῶν συμφορῶν καὶ θλίψεων, ἀπὸ παντὸς πειρασμοῦ, νόσου καὶ ὀργῆς, λύτρωσαι τὸν τὴν θείαν, θερμῶς ἐπιζητοῦντα, σκέπην σου Παρθένε· ὅπως ὑμνῶ σε εὐχαρίστως.

Νέφος πολλῶν ἐκύκλωσεν ἄσπιλε, σφαλμάτων μου τὴν ψυχήν· ἀλλ' ὡς ἀγαθὴ, σῶσόν με ἡ τεκοῦσα, Θεόν τε καὶ Σωτῆρα, καὶ τῆς αἰωνίου, κολάσεώς με ῥῦσαι.

Ὁ Εἱρμός.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ, θ'. Ἀσπόρου συλλήψεως.

Νέον με ἀπέργασαι, τοῖς πταίσμασι γηράσαντα Θεοκυῆτορ· φωνὴν ὅπως λέξω σοι, χαρ-

μόσυνον Δέσποινα, μετὰ τοῦ Ἀρχαγγέλου· χαῖρε ἡ λύσις τῆς ἀρᾶς· χαῖρε πάντων προστασία, τῶν τιμώντων σε Πανύμνητε.

**Η** θείως πατήσασα· τὴν τῆς ἀπάτης κάμινον χαῖρε Παρθένε· δι᾽ ἧς τὰ οὐράνια, τῇ γῇ συναγάλλονται· χαῖρε ἡ κεκλεισμένη, ἡμῖν ἀνοίξασα τὴν Ἐδέμ· χαῖρε πάσης οἰκουμένης, ἀγαλλίαμα καὶ καύχημα.

**Σ**ύ μου καταστόρεσον, τῶν πειρασμῶν τὸν κλύδωνα· σὺ τῶν πταισμάτων, τὴν ἄβυσσον ξήρανον, τῶν νῦν συνεχόντων με, καὶ πρὸς βυθὸν ἑλκόντων, τῆς ἀπωλείας ἀγαθή· πλὴν σου ἄλλην γὰρ οὐκ ἔχω, προστασίαν ὁ Πανάθλιος.

**Θ**εόνυμφε Δέσποινα· Ἀγγέλων ἀγαλλίαμα· ἁγίων δόξα· σὺν τούτοις ἱκέτευε, εὑρεῖν ἡμᾶς ἔλεος, καὶ λύσιν ὀφλημάτων, καὶ ἐνισχῦσαι πάντας καλῶς, τῆς ζωῆς ἡμῶν τὸν δρόμον, ἐκτελέσαι θεῖα πράττοντας.

Προσόμοια. Ολην ἀποθέμενοι.

**Χ**αῖρε Παντοκράτορος, Θεοῦ δοχεῖον Παρθένε· Χαῖρε ἄστρον ἄδυτον· Χαῖρε πολυώνυμε· Χαῖρε πάνσεμνε, ἡ τὸ φῶς τέξασα, τῆς ἐν γῇ ἄμωμε, καὶ τὰ πάντα καταυγάσασα· Χαῖρε παλάτιον, ἔμψυχον τοῦ πάντων δεσπόζοντος· Χαῖρε τῆς Εὔας λύτρωσις· καὶ τοῦ πρωτοπλάστου ἀνόρθωσις· Χαῖρε Θεοτόκε, κραταίωμα καὶ σκέπη τῶν πιστῶν· Χαῖρε βροτῶν ἡ ἀνάκλησις· Χαῖρε ἀπειρόγαμε.

**Χ**αῖρε ἀειπάρθενε, Παμφαεστάτη σελήνη· ἡ τὸ φῶς λαμβάνουσα, ἐξ ἡλίου Πάναγνε τοῦ φωτίζοντος, νοητῶς ἅπασαν, διὰ σοῦ τὴν κτίσιν, καὶ τὸ σκότος ἐκδιώκοντος· Χαῖρε ἡ καύσωνος, καὶ δικαιοσύνης ἀκρότητα, ζυγοῦτε καὶ τοῦ λέοντος, ὥσπερ τῆς Παρθένου τὸ ζώδιον, τῇ σῇ μεσιτείᾳ, κεράσασα Πανύμνητε ἡμῖν, καὶ τὴν ὀργὴν ἐκμειλίσσουσα, Θεοῦ Παντοκράτορος.

**Χ**αῖρε ἐγκαλλώπισμα, παντὸς ὑπέρτερον κάλλους· Χαῖρε σεμνὸν δώρημα, τιμῆς πάσης ἄχραντε ὑψηλότερον· ἀστέκτου Θεότητος, ὅλης τὸ δοχεῖον· Σωτηρία μου Πανύμνητε, παρηγορία μου, ζωὴ φῶς ἐλπὶς θυμηδία μου· πνοή μου προστασία μου, μεσίτις γαλήνη καὶ καύχημα· ὕμνος καὶ χαρά μου, τροφή μου βοηθὸς καὶ φωτισμός, ἁγιασμὸς καὶ λαμπρότης μου, δόξα καὶ ἐπίσκεψις.

**Σ**τῆσόν μου Πανάχραντε, τὰς τῶν παθῶν διεκχύσεις· καὶ ῥοὰς ἀνάστειλον, τὰς τῆς ἁμαρτίας μου καὶ χειμάῤῥους μου, τῶν παθῶν ξήρανον· ἱκετεύω γάρ σε, καὶ προσπίπτω καὶ κραυγάζω σοι· σύντριψον Δέσποινα, τὴν πεπωρωμένην καρδίαν μου, πηγάς μοι κατανύξεως, καὶ δακρύων ὄμβρους παρέχουσα· ἵνα τάς τε χεῖρας, καὶ ὅλον μου τὸ σῶμα ῥυπωθέν, τούτοις ἐκπλύνας τὸ ἔλεος, Θεοῦ ἐπισπάσωμαι.

ΑΡΧΗ ΤΟΥ ΒΑΡΕΟΣ ΗΧΟΥ.

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

Ωδὴ, α΄. ἦχος, βαρύς. Νεύσει σου πρός.

ΜΩΜΟΣ ἐν σοὶ οὐκ ἔστι, τῇ Παναμώμῳ Παρθένῳ· καλὴ γὰρ καὶ ἄμωμος, ὑπάρχεις ὅλη Δέσποινα, πάλαι καθὼς ᾀσματίζων, ἔφη Σολομὼν, καὶ πλησίον τοῦ Κτίστου σου.

Εὔοσμον οἷα ῥόδον, καὶ καθαρώτατον κρῖνον, ἐν μέσῳ κοιλάδων σε, τῶν κοσμικῶν εὑράμενος, Λόγος ὁ δημιουργήσας, κόσμον ἐπὶ σοὶ, Θεοτόκε ἐσκήνωσεν.

Βέβαπται ἐκ πορφύρας, τῶν σῶν ἀχράντων αἱμάτων, στολὴ Θεοΰφαντος, καὶ πορφυρὶς βασίλειος, λόγῳ τῷ πάντων Δεσπότῃ, σὰρξ ἐμψυχωμένη, Μαρία Πανύμνητε.

Σὺ τὸν Δημιουργόν σου, ἐν σῇ γαστρὶ δεξαμένη, φθορᾶς ἄνευ τέτοκας, βρέφος Θεὸν γενόμενον· ξένον τὸ θαῦμα ἡ δούλη, Μήτηρ χρηματίζεις, Δεσπότου ἀνύμφευτε.

Ωδὴ, γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὁ θεηγόρος σε ποτὲ, προεθεάσατο τόμον· ἐν ᾧ λόγος γέγραπται ἁγνὴ, δακτύλῳ Πατρός· διὸ ἱκετεύω σε, βίβλῳ γραφῆναί με ζωῆς, τὸ πονηρὸν γραμματεῖον, τῶν ἀνομιῶν μου διαῤῥήξασα.

Σὲ Δανιὴλ ὁ θαυμαστὸς, προεθεάσατο ὄρος, ἐξ οὗ λίθος τέτμηται Χριστὸς, συντρίψας ἁγνὴ δαιμόνων ξόανα· ὅθεν ὡς πάντων σε καλῶν, ὑμνολογοῦμεν αἰτίαν, οἱ λελυτρωμένοι τῇ κυήσει σου.

Τὴν πορφυρίδα τῆς σαρκὸς, ἐκ σῶν ἀχράντων αἱμάτων, ἐξυφάνας ὁ παμβασιλεὺς, καὶ ταύτην φθορᾶς φορέσας ἄνευθεν, φύσει Θεός τε καὶ βροτὸς, ἐκ σοῦ προῆλθε Παρθένε, ἔχων βασιλείαν ἀδιάδοχον.

Ἡ ἀνωδίνως τὸν Θεὸν, καὶ ἀπαθῶς τετοκυῖα, τὰς ὀδύνας τῆς πολυπαθοῦς, καρδίας μου δέομαι ἐπίσκεψαι, τῇ θείᾳ σου ἐπισκοπῇ· σὺ γὰρ ἐπίσκεψις κόσμου, Δέσποινα καὶ σκέπη καὶ ἀντίληψις.

Ωδὴ. δ΄. Ὁ πατρικοὺς κόλπους.

Νοεροῖς κόλοις τοῦ Πατρὸς, ἠγαπημένος ὡς υἱὸς καθήμενος, ἐν τοῖς κόλποις σου καθέζεται, ὡς υἱός σου Πάναγνε, ὁ μονογενὴς καὶ πρωτότοκος.

Πολυανθὴς πέφηνας λειμών· κῆπος εὐώδης, εὐθαλὴς Παράδεισος, ἡδυπνόοις καταπνέουσα ὀδμαῖς τῶν χαρίτων σου, τὸ δυσῶδες κόσμου Πανύμνητε.

Βασιλικῆς ῥίζης καὶ φυλῆς, καὶ συγγενείας βασιλίδος τῆς τοῦ Δαβὶδ, ὡς ὡραῖον ἄνθος

Δέσποινα, φυεῖσα ἐξήνθησας, ἡ βασίλισσα τὸν Βασιλέα Χριστόν.

Δαβιτικὸν ᾆσμά σοι σεμνή, περιχαρῶς ἀναβοῶμεν κράζοντες· χαῖρε ὄρος πῖον ἅγιον· κιβωτὲ κατάχρυσε, νοητοῦ σεπτοῦ ἁγιάσματος.

Ωδὴ, ε΄. Κύριε ὁ Θεός μου.

Νόμον ἐγγεγραμμένον, πατρικῷ δακτύλῳ Θεοῦ ἀνάρχου, Θεὸν Λόγον ἄναρχον, φέροντα τεθέαται, σὲ ὁ Ἡσαΐας Παρθένε, βίβλῳ τῆς ζωῆς ἡμᾶς ἐγγράφοντα.

Ἄνθος τῆς ἀφθαρσίας, τὸν Χριστὸν ἡ ῥάβδος ἡ ἀποτίστως, βλαστήσασα Πάναγνε, σαπρὰς ἐκβλαστάνουσαν, καὶ φθοροποιοὺς ἐνθυμήσεις, τὴν ἐμὴν καρδίαν καθάρισον.

Πύλην τῆς μετανοίας, τὴν στενὴν καὶ τρίβον τὴν τεθλιμμένην, ἡ πύλη ἡ ἔμψυχος, ἣν Θεὸς διώδευσε, μετὰ πλατυσμοῦ τῆς καρδίας, χαρμοσύνως δός μοι διέρχεσθαι.

Ἔγειρον ἐν τῇ κλίνῃ, τὸν κοιμώμενόν με τῆς ἁμαρτίας· καὶ κοίμισον Δέσποινα, τὰς ἐμπαθεῖς κινήσεις μου, τῇ σῇ ἀκοιμήτῳ πρεσβείᾳ, καὶ βαρέος ὕπνου ἐξύπνισον.

Ωδὴ, ς΄. Ναυτιῶντα σάλῳ.

Ῥητορεῦον στόμα, λόγοις ἑρμηνεύειν οὐ σθένει, τὸ θαῦμα τοῦ τόκου σου Θεοτόκε, τὸν γὰρ ταῖς ἄνω δυνάμεσιν ἄληπτον, μόνη ἀπορρήτως συλλαβοῦσα, τέτοκας ἐκ Πνεύματος ἁγίου Πάναγνε.

Ὡς καλήν σε μόνην, ἐν ταῖς γυναιξὶ καὶ ὡραίαν, ὡς ὅλην ἀμόλυντον καὶ ἁγίαν· ὡς ἱερὰν ὡς τιμίαν καὶ ἄσπιλον, ὡς καθαρωτέραν εὑρηκώς σε, πάσης κτίσεως ὁ Κτίστης σοὶ ἐνῴκησε.

Ἰαμάτων ῥεῖθρα, βλύζεις Θεοτόκε Παρθένε, καὶ παύεις νοσήματα, καὶ παρέχεις τὴν εὐφροσύνην τοῖς πίστει ὑμνοῦσί σε· διὸ τὴν νοσοῦσαν ἁμαρτίαις, ἴασαι ψυχήν μου, ἀγαθὴ καὶ σῶσόν με.

Εἰς τὸ πλῆθος βλέπων, τῆς σῆς εὐσπλαγχνίας Παρθένε, προσπίπτω σὺν δάκρυσι καὶ κραυγάζω, τὴν ἐμὴν πᾶσαν ζωὴν διιθύνουσα, ἐν τῇ ἀπολύσει μου τοῦ σκήνους, γενοῦ μοι ἀνάπαυσις καὶ ἀπολύτρωσις.

Κάθισμα. Κύριε ἡμεῖς ἐσμέν.

Δέσποινα ὠργίσθη ὁ υἱός σου ἁμαρτωλοῖς οἰκέταις· τὸν γὰρ οἶκτον εἰς ὀργὴν ἐτρέψαμεν ἡμεῖς· ἀλλ' εἰς ἔλαιον αὐτόν, σὺ μετοχέτευσον ἁγνή· σπλαγχνίσθητι μητρόθεε, ἱλέωσαι τὸν εὔσπλαγχνον, πρεσβείαις αὐτοκινήτοις, τοὺς αἰχμαλώτους ἀνάρρυσαι.

Ωδὴ, ζ΄. Κάμινον παῖδες.

Ὢ μυστηρίου φρικώδους καὶ ξένου! ὢ καινοτάτου ἀκούσματος! ὅτι Θεὸς γυναικὸς υἱὸς γέγονε, πράγματι οὐ σχήματι· ἵνα θέσει υἱὸν Θεοῦ ποιήσῃ με.

Τίς ποτε εἶδεν; ἢ ἤκουσεν ὅλως, Κόρην Παρθένον ἐγκύμονα, ἄνευ ἀνδρὸς συλλαβοῦσαν καὶ τέξασαν; ἐν σοὶ μόνῃ Δέσποινα, τὰ ἀνήκουστα ἤκουσται καὶ πέπρακται.

Ὕψος καὶ βάθος, καὶ μῆκος καὶ πλάτος, τῆς ὁρατῆς ὅλης κτίσεως, τὸ μεγαλεῖον τοῦ τόκου σου Δέσποινα, ὑπερβαίνει ταύτης γάρ, ὑπὲρ λόγον τὸν κτίστην ἐσωμάτωσας.

Ὄρος τὸ μέγα ὀρέων ἁγίων, ὑπεραρθὲν ἁγιότητι, τῶν οὐρανίων ἀΰλων δυνάμεων, εἰς ὄρη πλανώμενον, ἀπωλείας ἁγνὴ ζήτησον σῶσόν με.

Νέος οὐρανὸς ἀνεδείχθεις Θεοτόκε· καὶ λογικὸς Παράδεισος· ἔμψυχον τέμενος· σεπτὸν ἱερὸν· παλάτιον καθαρὸν τοῦ βασιλέως Ἰησοῦ, ναὸς περίδοξος· τοῦτον γαστρί σου, χωρήσασα, ἀστενοχωρήτως, εὐρυχωροτέρα τῶν οὐρανῶν Παρθένε.

Ἴδατε λαοὶ καὶ θαυμάσατε δικαίως, καὶ θαυμαστὰ βοήσατε πάντα τὰ ἔργα τοῦ Θεοῦ ἀληθῶς· Παρθένου γὰρ ἐν χερσὶν, ὃν οὐ χωρεῖ ὁ οὐρανὸς, βρέφος συνέχεται, ἔργον ἰδίας χειρὸς, ἀφαρπᾶσαι βροτοὺς θέλων, χειρὸς τυραννούσης, χειρὶ παναλκεστάτῃ.

Ὤφθης καθαρὰ, κιβωτὸς καὶ μυροθήκη, τὸ νοητὸν ἁγίασμα· καὶ ἐκλεκτὸν καὶ πολύτιμον· καὶ μῦρον τὸ σκευασθὲν οὐκ ἀνθρωπίνῃ μηχανῇ καὶ τέχνῃ Πάναγνε, μόνῃ Πατρὸς δὲ βουλήσει, καὶ Πνεύματος ἁγίου, τῇ ἐπιφοιτήσει χωρήσασα ἀξίως.

Ἄφλεκτος τὸ πῦρ τεκοῦσα διεφυλάχθης, Κόρη σεμνὴ πανύμνητε· διὸ ἱκέτευε ὃν ἔτεκες, σὺν ἀσωμάτων χοροῖς καὶ τοῖς ἁγίοις, τοὺς πιστοὺς σωθῆναι ψάλλοντας· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὁ Εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ, καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ, θ΄. Μὴ τῆς φθορᾶς.

Νῦν ἐπ' ἐμοὶ τὰ ἐλέη, τὰ σὰ θαυμάστωσον, Θεοκυῆτορ ἡ σῴζουσα τοὺς ἐλπίζοντας, εἰς σὲ καὶ φύλαξον, ὡς κόρην ὀφθαλμοῦ με, ἐκ τῶν ἀνθισταμένων δαιμόνων καὶ παθῶν μου, τῶν πτερύγων σου σκέπῃ σκέπουσα.

Νεύματι φέροντα πάντα λόγον γεννήσασα, Θεογεννήτρια νεῦσον αὐτοῦ τοῖς νεύμασιν, εἴκειν με πάντοτε τὸν κάτω νενευκότα, καὶ νεύοντα πρὸς πάθη, σαρκὸς καὶ τοῖς δολίοις, τοῦ δολίου εἴκοντα νεύμασιν.

Οὐδεὶς προστρέχων τῇ σκέπῃ σου Θεοδόξαστε, κατησχυμένος ἀπῆλθε καὶ λύπης μέτοχος, διὸ προστρέχοντα κἀμὲ τοῖς οἰκτιρμοῖς σου, ἐλέησον Παρθένε, ἡ ἐμὴ προσδοκία· ἵνα πόθῳ ἀεὶ δοξάζω σε.

Ὑπὸ ἐλέους ἀπείρου κατακαμπτόμενος, ὁ θελητὴς τοῦ ἐλέους ἡμᾶς οὐ παρέβλεψεν, εἰς ᾅδου βάραθρον, κατώτατον πεσόντας· ἐκ σοῦ δὲ φιλανθρώπως, ἁγνὴ ἐνανθρωπήσας, ἀπωσμένους ἀνεκαλέσατο.

Προσόμοια· Οὐκ ἔτι κωλυόμεθα.

Χαῖρε ἡ θεία κλίμαξ, δι' ἧς κατέβη ὁ ὑπέρθεος, καὶ ἐῤῥύσατο τοὺς ἀνθρώπους, τοῦ πάλαι πτώματος.

Χαῖρε τρυφῆς Παράδεισε, ἡ τὸ ξύλον μέσον ἄχραντε, τῆς ζωῆς ἀφράσως ἁγνὴ βλαστήσασα.

Χαῖρε φιλανθρώπου Μήτηρ Θεοῦ, ἐπ' ἐμοὶ τὴν φιλανθρωπίαν σου, καὶ τοὺς οἰκτιρμούς σου Κόρη κατάπεμψον.

Υπὸ πολλῶν ὁ δοῦλός σου ὀλεθρίων, ταραττόμενός σοι προσπίπτω, Θεοκυῆτορ πρόφθασον καὶ σῶσόν με.

# ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Οὗ ἡ ἀκροστιχίς.

Τὸν ἕβδομον θρῆνον δὲ πῶς παραδράμω;

Ωδὴ, α'. ἦχος βαρύς. Νεύσει σου.

ΤΡΕΜΩ τὴν καταδίκην, τῆς ἀποφάσεως Κόρη· πρὸ δίκης τὰ ἔργα γὰρ, πικρῶς κατηγοροῦσί μου· ὅθεν πρὶν λάβω τὴν πεῖραν, τῆς ἀποκειμένης ἐξετάσεως σῶσόν με.

Ολην ἀποκενώσας ὁ δυσμενὴς τὴν φαρέτραν, αὐτοῦ τῆς κακίας με, τοῖς βέλεσι κατέτρωσεν· ὅθεν μὴ στέγων τοὺς πόνους, σοὶ τῇ σωτηρίᾳ, προσφεύγω Θεόνυμφε.

Νέον βρέφος ὡράθη, ὁ τῶν Ἀδὰμ πλαστουργήσας, ἐκ σοῦ Παναμώμητε, παλαιωθεῖσαν πταίσμασι, πᾶσαν τὴν φύσιν καινίσαι, καὶ πρὸς τὴν ἀρχαίαν καταστῆσαι λαμπρότητα.

Εγειρόν με πεσόντα, τῶν συμφορῶν ἐν τῷ βάθει, Μαρία Πανάχραντε, καὶ νόσῳ κατακείμενον, ταχέως ἀνάστησον μόνη, καταπονουμένων ἑτοίμη βοήθεια.

Ωδὴ, γ'. Ὁ κατ' ἀρχάς.

Βεβαρυμένος τῷ δεινῷ, τῆς ἁμαρτίας φορτίῳ, ὡς ἡ πρὶν συγκύπτουσα χαμαὶ· κἀγὼ σοι προσπίπτω Παναμώμητε· ὡς οὖν ἐκείνην ὁ υἱὸς, ὁ σὸς δεσμῶν τῶν χρονίων, οὕτω σύ με λῦσον τῶν πταισμάτων μου.

Δάκρυα τῆξις στεναγμὸς, τῆς μετανοίας τὰ ἄνθη, ἐν ἐμοὶ καρπὸν ἀειθαλῆ, οὐδόλως Παρθένε ἐπεδείξαντο· ἀλλ' ἀπογνώσεως ποθὲν, λαίλαψ σφοδρὰ ἐμπεσοῦσα, ταῦτα κατεμάρανε Θεόνυμφε.

Ο Ἰωσὴφ κεκρατηκὼς, τῆς ἀκολάστου Δεσποίνης, τῶν ἀθέσμων πάλαι ἡδονῶν, λαμπρὸς βασιλεὺς Αἰγύπτου γέγονεν· ἐγὼ δὲ σώματος πολλοῖς, πάθεσιν εἴξας ἀφρόνως, ὑπὸ ἁμαρτίας βασιλεύομαι.

Μὴ διαλίπῃς ἀγαθὴ, ὑπὲρ τοῦ Κόσμου πρεσβεύειν, τοῦ ῥυσθῆναι πάσης ἀπειλῆς, καὶ τῆς ἐνεστώσης νῦν κακώσεως, καὶ συνοχῆς βαρβαρικῆς, καὶ προνομῆς καὶ δουλείας, καὶ δεινῶν παντοίων τοὺς τιμῶντάς σε.

Ωδὴ, δ'. Ὁ πατρικοὺς κόλπους.

Ὁμοιωθεὶς ἄνθρωπος ἡμῖν, Παρθενομῆτορ ὁ Πατρὸς ἀχώριστος, τὴν εὐτέλειαν ἠγάπησεν· ὃν ἡμᾶς μιμήσασθαι, δυσωπεῖν μὴ παύσῃ Πανύμνητε.

Νόμους διδοὺς νέους ἐπὶ γῆς, ὁ Ποιητὴς μακαρισμῶν ἀπήρξατο· οἱ πτωχοὶ, λέγων μακάριοι· οἱ πενθοῦντες ἄχραντε· οὓς ἡμᾶς πληροῦν καθικέτευε.

Θεὸν βροτοῖς τέξασα ἁγνὴ, σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων σου· αὐτὸν οὖν ἱκέτευε, τῶν παθῶν ῥυσθῆναί με, καὶ πταισμάτων καὶ πάσης θλίψεως.

Ῥῦσαι ἡμᾶς πάσης ἀπειλῆς, Θεογεννῆτορ καὶ δεινῆς κολάσεως, καὶ πυρὸς αἰωνίζοντος· ἃ τοῖς παραβαίνουσι, τοὺς Χριστοῦ νόμους ἡτοίμασται.

Ωδὴ, ε'. Κύριε ὁ Θεός μου.

Ἤκουσα τοῦ Προφήτου, καθ' ἑκάστην λέγοντος νύκτα λούσω, τὴν στρωμνὴν τοῖς δάκρυσι, καὶ ἐξέστην Πάναγνε· διὰ τοῦτο πίστει σοι κράζω· δίδου μοι δακρύων ὀχετοὺς τοῦ σώζεσθαι.

Νοῦν καὶ ψυχὴν καὶ σῶμα, νεκρωθέντα Κόρη τῇ ἁμαρτίᾳ, ἀνάστησον δέομαι· τὸν νοῦν εἰς μετάνοιαν· εἰς ἀξίους κόπους τὸ σῶμα, ἵνα εὐφρανθεὶς μεγαλύνω σε.

Ὄμβρησόν μοι ῥανίδα, συμπαθείας Κόρη Θεοκυῆτορ, καὶ τὰς ἁμαρτίας μου, τὰς πολλὰς ἐξάλειψον, τῶν πληγῶν οὐλάς τε καὶ τύπους, εἰς τέλος αὐτῶν ἀφανίσασα.

Νάουσιν ἀκαθάρτων, λογισμῶν οἱ χείμαρροι Θεομῆτορ, ἐκ τῆς παναθλίας μου, καρδίας καὶ πέμπουσι, τῷ νοητικῷ δυσωδίαν· ἀλλὰ τούτους ξήρανον δέομαι.

Ωδὴ, ς'. Ναυτιῶντα σάλῳ.

Δοῦλος ἁμαρτίας, ἐξ αὐτεξουσίου μου γνώμης, ἀθλίως γεγένημαι Θεοτόκε· ἀλλὰ πρὸς σὲ τὴν κυρίως Κυρίαν μου, αἴρων νοητῶς ψυχῆς τὰς κόρας, ῥῦσαι τῆς δουλείας τῶν παθῶν με δέομαι.

Ἔσβεσα τὸν λύχνον, καὶ τὴν τῆς ἁγνείας λαμπάδα, τοῖς ἔργοις τοῦ σκότους καὶ ἀσελγείας· ἀλλ' ὑποστρέψας πρὸς σὲ τὴν ὑπέραγνον, δέομαι τοῖς δάκρυσί μου πάλιν, καὶ τοῖς στεναγμοῖς αὐτὴν ὑπάναψον.

Ποταμὸς χαρίτων, καὶ φωτὸς αὔλου δοχεῖον, ὑπάρχουσα Δέσποινα Θεοτόκε, τὰς τοῦ νοός μου κινήσεις χαρίτωσον· καὶ τῆς ζοφερᾶς ἰλύος κόσμου, ἐκλυτρωσαμένη, φώτισον καὶ λάμπρυνον.

Ὢ τοῦ ξένου τρόπου! πῶς διὰ σαρκὸς ἀχρειοῦται, τὸ θεῖον εἰκόνισμα τοῦ Δεσπότου! καὶ διὰ ταύτης σὺν πόνῳ λαμπρύνεται! τοῦτο τὸ μυστήριον Παρθένε, τοῦ ἐκ σοῦ τεχθέντος, δωρεὰ γεγένηται.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

Τὸν πανοικτίρμονα Κύριον, ὑπὲρ ἡμῶν ἐκδυσώπησον, ῥύσασθαι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης παγίδος τοῦ ὄφεως.

Ωδὴ, ζ'. Κάμινον παῖδες.

Σῶσαι τὸν κόσμον, ἐκ σοῦ ὁ Δεσπότης, δι' οἰκτιρμὸν παραγέγονε· Θεοκυῆτορ, διὸ ἱκετεύουσα, μὴ ἐλλίπῃς πάντοτε, ὑπὲρ πάντων ἡμῶν τῶν ὑμνούντων σε.

Πρᾶξις ἀρίστη ἐνάρετος πέλει, ἡ κεκρυμμένη καὶ ἄγνωστος· ἣν καὶ Θεὸς ἀοράτως προσδέχεται, ταύτης με ἀξίωσον, κοινωνὸν χρηματῖσαι Παντευλόγητε.

Αμαρτιῶν μου τὸ βάρος Παρθένε, καὶ τὸ φορτίον ἐλάφρυνον ὡς ἀγαθὴ τῷ υἱῷ σου κραυγάζοντα· ὁ ὑπερυψούμενος, τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ρώνυται πᾶσα ψυχὴ τῇ νηστείᾳ, καὶ τῷ ἐλαίῳ πιαίνεται· καὶ τοῖς δακρύοις ἁγνὴ καταρδεύεται· διὸ ἱκετεύωσε, δι' αὐτῶν τὴν ψυχήν μου καταφαίδρυνον.

Ωδὴ, η'. Ἄφλεκτος πυρί.

Αμεμπτος οὐδεὶς, τῶν ἀνθρώπων Θεοτόκε, κἂν ἄρα τούτου πέφυκεν, ἡμέρα μία ἐν τῷ βίῳ ζωή· ἐγὼ δὲ γεγηρακὼς, ἐν ἁμαρτίαις οὐδαμῶς, μεμίσηκα πᾶσαν κακίαν· διὸ οἰκτείρησόν με, καὶ τῇ μετανοίᾳ, σωφρόνισον καὶ σῶσον.

Δάκρυά μοι δὸς, κατανύξεως Παρθένε, ὥσπερ χρυσοῦν ἱλάριον, ἐν τῇ ἀθλίᾳ μου βαλοῦσα ψυχῇ· ἣν ἔχω διηνεκῶς, μνήμην καὶ πόνον τῶν κακῶν· λόγων καὶ πράξεων· σὺ γὰρ ὑπάρχεις, λιμὴν χειμαζομένων, καὶ ἀπηλπισμένων, ἐλπὶς καὶ προστασία.

Ρῦσαι ἐξ ἐχθρῶν, ὁρατῶν καὶ ἀοράτων, ἐμὲ τὸν ταλαίπωρον, καὶ πανάθλιον οἰκέτην σου ἁγνὴ, κινδύνων καὶ συμφορῶν, καὶ πειρασμῶν παντοδαπῶν, καὶ νόσων ψάλλοντα· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε· καὶ

Αβυσσον παθῶν, τῶν ἐμῶν Θεοκυῆτορ, πῶς ξηρανεῖ μετάνοια; εἰ μὴ βληθῇ μοι καὶ τὸ πῦρ νοερῶς, ὃ βαλλεῖν οἶδε Χριστὸς, ὁ σὸς υἱὸς ἐν ταῖς ψυχαῖς πάντοτε, τοῦτον δυσώπει, μερίδος ἀξιῶσαι, τῆς τῶν σωζομένων τὴν ταπεινήν ψυχήν μου.

Ο Εἱρμός.

Αφλεκτος πυρὶ, ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ· καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ, ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ

Ωδὴ, θ'. Μὴ τῆς φθορᾶς.

Μὴ τῆς εἰκόνος φυλάξας ἀδιαλώβητον, ὃ φιλανθρώπως ἀνέλαβον ἐκ τοῦ κτίστου μου, πάσης ἀνάπλεως γεγέννημαι κακίας· ἡ μόνη διὰ λόγου, τὸν Κτίστην δεξαμένη, καὶ τεκοῦσα ἀφθόρως σῶσόν με.

Ω συμβουλίας ἐχθίστης! ὢ παραινέσεως, τοῦ δυσμενοῦς ἣν ὑπέστην Θεογεννήτρια! ὢ τῶν ἀμέτρων μου κακῶν! δι' ὧν ἐπείσθην, ἀφρόνως καὶ ὑπήχθην, σαρκὸς φιληδονίαις, καὶ κατήντησα εἰς ἀπώλειαν.

Ω ποῖος φόβος καὶ τρόμος ἁγνὴ γενήσεται, ὅταν ὁ Κτίστης καθίσῃ κρῖναι τὰ σύμπαντα! ὢ πῶς κατίδω μου, τὰς πράξεις τὰς ἀτόπους, πικρῶς κατηγορούσας, ἀθλίως τῆς ψυχῆς μου! πρὶν οὖν φθάσῃ τὸ τέλος σῶσόν με.

Ωσπερ ἐξ ὕπνου καὶ μέθης πολλῆς, ἀνάνηψον, τῆς ἀμελείας ψυχή μου καὶ ῥαθυμίας σου

καὶ τὴν νωθρότητα, ἀποσκευασαμένη, καὶ πάντα βαρὺν ὄκνον, ἀποτιναξαμένη, κἂν ὀψὲ γοῦν σαυτὴν βελτίωσον.

Προσόμοια. Σήμερον γρηγορεῖ.

Χαῖρε οὐρανὲ περικοσμίου, χώρου ἁγνὴ τιμιώτερε, φαιδραῖς λαμπηδόσιν, ἀρετῶν Παρθένε, καὶ θείων χαρίτων, κατάστερος πέλων· ἐξ οὗ δικαιοσύνης ἡμῖν ἀνέτειλεν ἥλιος, καὶ ἡμέραν ἄδυτον, φωτὶ ἀπειργάσατο, εἰς σωτηρίαν πάντων, τῶν ἀνθρώπων Θεοχαρίτωτε.

Χαῖρε Μήτηρ ἄνανδρε σὺ μόνη, ἡ ἐν μητράσιν ἁγνεύουσα, καὶ τὰ τῶν μητέρων, κατὰ τὰς παρθένους, ἔχουσα καὶ φύσιν· τὸ θαυμάτων πάντων, καινότατον θαῦμα· Χαῖρε Παρθένε μόνη ἄφθορε, ἡ ἐν παρθένοις τοκεύουσα, καὶ τὰ παρθένων φέρουσα, κατὰ μητέρας, τὸ τεράτων πάντων, φρικωδέστατον λάλημα.

Χαῖρε στακτὴ ἡ εὐωδεστάτη· Χαῖρε κιννάμωμον τίμιον· θυμίαμα χαῖρε, τὸ ἐκ Παραδείσου, νοητοῦ Παρθένε, ἀεὶ ἀποστάζον· Χαῖρε θεία νάρδος, ἡ ἐκ βαλσαμουργίας σου, μυριπνόου τέξασα, μῦρον μυριότιμον, Χριστὸν ἀφ' οὗ κέχρισται, τὸ βασίλειον Ἱεράτευμα.

Κλῖνόν μοι τὸ φιλάγαθον οὖς σου, δεομένῳ Πανάμωμε· καὶ μὴ ἀποῤῥίψῃς, τοῦ σοῦ με προσώπου, μηδὲ πόῤῥω πέμψῃς, τῆς σῆς βοηθείας· δόλῳ γὰρ ὁ δόλιος σπουδάζει ἀπολέσαι με, παραλόγοις πάθεσι, κινῶν τὴν καρδίαν μου· σὺ δέ με συντήρησον ὅλον τῆς αὐτοῦ βλάβης ἀμέτοχον.

## ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΚΛΗΜΕΝΤΟΣ.

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ, α'. ἦχος βαρύς. Τῷ ἐκτινάξαντι Θεῷ.

ΥΠΟΠΕΣΟΝΤΑ τῇ φθορᾷ, παρακοῇ τὸν προπάτορα Ἀδὰμ, ἀνεκαίνισας Θεὸν, ἄχραντε κυοφορήσασα.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ σαρκωθείσης ἀληθῶς, ἄχραντε Μῆτερ ἀνάστησον.

Οἱ εὐλογοῦντές σε πιστῶς, παρὰ Θεοῦ εὐλογοῦνται προφανῶς· εὐλογίας γὰρ τὸν καρπὸν, τέτοκας μόνη Θεόνυμφε.

Κλῖνόν μοι τὸ φιλάγαθον οὖς σου, δεομένῳ σου Πανύμνητε, καὶ παράσχου πειρασμῶν, καὶ συμφορῶν ἀπολύτρωσιν.

Ωδὴ, γ'. Ἐστερεώθη τῇ πίστει.

Σὲ τὴν Παρθένον ἐν τύπῳ, σκηνὴν τοῦ Μαρτυρίου, τῷ νομοθέτῃ ἐν ὄρει Θεὸς προεδήλου· σκήνωμα γὰρ γέγονας, τοῦ πάντας ἁγιάζοντος.

Ἐθεωρήθη πορεία, Θεοῦ τοῦ ἀοράτου, ἐν σοὶ Παρθένε ἀφράστως, ἁγνὴ σεσαρκωμένου· θρόνος γὰρ σὺ πέφυκας, τοῦ πάντων βασιλεύοντος.

Γῆν καθαρὰν καὶ ἁγίαν, γινώσκομέν σε Κόρη, ἡμῖν ἀσπόρως ὡραῖον, βλαστήσασαν στάχυν, τρέφοντα τοὺς πίστει σε, καὶ πόθῳ μακαρίζοντας.

Λύσιν ἡμῖν ὀφλημάτων, ἁγνὴ Παρθένε δίδου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἡ τὸν κόσμον κατακρίσεως, λυτρωσάμενον Θεὸν Λόγον κυήσασα.

Ωδὴ, δ'. Ἀκήκοα τὴν ἀκοήν.

Ἀκήκοεν ὁ Ἀβακοὺμ σε ἄχραντε, ὄρος Πνεύματος σκιαῖς περιλαμπόμενον· ἐκ σοῦ Θεὸς γὰρ ὤφθη σωματούμενος.

Ὡραίαν σε ἠγλαϊσμένην κάλλεσιν, ὁ νυμφίος εὑρηκὼς, ἐν σοὶ κατῴκησε, καὶ Θεοτόκον πάνσεπτον εἰργάσατο.

Ἡδύνεται τῶν ὀρθοδόξων δῆμός σε, τὴν Πανάχραντον ὑμνῶν ὡς Θεομήτορα, σὺν τῷ Ἀγγέλῳ κράζοντες τὸ χαῖρέ σοι.

Μετήγαγες εἰς εὐλογίαν Δέσποινα, τὴν κατάραν τοῦ Ἀδὰμ, ἡμῖν τεκοῦσα Χριστὸν, πρὸς ὃν βοῶμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ωδὴ, ε'. Πρὸς σὲ ὀρθρίζω.

Ναὸς ἐδείχθης, ἡγιασμένος τοῦ Παντοκράτορος· τὴν σὴν γαστέρα γὰρ καθαρωτέραν οὐρανῶν, εὑρηκὼς ὁ Δεσπότης, ἐν σοὶ ηὐλίσθη Θεομῆτορ ἁγνή.

Τῆς εὐπρεπείας, τῆς σῆς Κυρία καὶ ὡραιότητος, καὶ τῆς ἡδυτάτης καὶ γλυκείας καλλονῆς, ἐρασθεὶς ὁ Δεσπότης, ἐν σοὶ Παρθένε κατεσκήνωσεν.

Οἱ Θεοτόκον ὁμολογοῦντές σε Μητροπάρθενε, τῆς ἀδιαδόχου βασιλείας καὶ τρυφῆς, διὰ σοῦ Παναγία, ἐπιτυχεῖν ἀξιωθήτωσαν.

Εὐλογημένη δεδοξασμένη Μῆτερ ἀπείρανδρε, τὴν νεκρωμένην ἁμαρτίαις μου ψυχὴν, καὶ παθῶν κεχωσμένην ταῖς ἀκρασίαις ζωοποίησον.

Ωδὴ, ς'. Ὁ Ἰωνᾶς ἐκ κοιλίας.

Ἡ καλλονὴ τῶν σεπτῶν ἁγίων Ἀγγέλων· ἡ χαρμονὴ τῶν ἀνθρώπων ἁπάντων, σὺ εἶ ἄχραντε Κόρη, ὡς γεννήσασα Θεὸν προαιώνιον.

Ἡ Κιβωτὸς δεξαμένη νόμου τὰς πλάκας, προέγραφε Θεοτόκον σε, λόγον Θεοῦ ὡς δεξαμένην, ἐν γαστρί σου δι' ἡμᾶς σωματούμενον.

Ἐμμανουὴλ Θεοτόκε διπλοῦν κατ' οὐσίαν, σὺ τέτοκας τὸν προτέλειον λόγον, Θεὸν σεσαρκωμένον, ἀπολύτρωσιν ἡμῖν χαριζόμενον.

Νάμασι πνευματικοῖς ἀρδεύεις πάντας, ἡ βρύουσα ὡς πηγὴν, εὐσπλαγχνίαν, ἀειπάρθενε

Κόρη· διὸ οἴκτειρον κἀμὲ καὶ ἐλέησον.

Κάθισμα. Ὑπερέβης τὰς δυνάμεις.

Προστασία σὺ ὑπάρχεις χριστιανῶν· καὶ πειρασμῶν λυτροῦσαι τοὺς ἐν σοί, καταφεύγοντας Θεοτόκε· διὰ τοῦτό σοι βοῶμεν· μὴ παρίδῃς τοὺς ὑμνοῦνσας σε.

Ὠδὴ, ζ΄. Οἱ ἐν καμίνῳ πυρός.

Τοὺς ἐν καμίνῳ τοῦ πυρὸς, ὁ σὸς τόκος σώζει μὲν πάλαι· τανῦν ἡμᾶς δὲ Πανάμωμε, τῇ αὐτοῦ παρουσίᾳ τῇ ὑπὲρ λόγον· εὐλογητὸς εἶ κράζοντας ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Κατακριθέντα τὸν Ἀδὰμ, καὶ θανάτῳ κατασχεθέντα, Ἀδὰμ ὁ δεύτερος Πάναγνε, διὸ σοῦ ἐλεήσας ἀνακαλεῖται· εὐλογητὸς εἶ κράζοντα, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ Θεοπάτωρ μὲν Δαβὶδ, τὴν σὴν δόξαν γράφει Παρθένε, καὶ σὲ κτισμάτων βασίλισσαν, ἐμφανῶς προφητεύει παρισταμένην, ἐκ δεξιῶν Πανάχραντε, τοῦ Θεοῦ τῶν Πατέρων ἡμῶν.

Τὸν ἀκατάληπτον τόκον σου Παρθένε δοξολογοῦμεν· δι' οὗ θανάτου ἐρρύσθημεν, δι αὐτοῦ γεννηθέντες εἰς ἀφθαρσίαν· εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η΄. Τὸν μόνον ἄναρχον.

Παθῶν με κάμινος καταφλέγει Παρθένε, καὶ τῷ πυρὶ τῶν ἡδονῶν ἀναλίσκει, προφθάσασα, συμπαθείας σου δρόσῳ, κατάσβεσον αὐτὴν, διδοῦσα τῇ ψυχῇ μου ἀναψυχὴν βεβαίαν.

Κατακοσμούμενον ἀρεταῖς σε ποικίλαις, καὶ φαιδρυνόμενον ναὸν τοῦ ὑψίστου, γινώσκομεν Παναγία Παρθένε, ὑμνοῦντες εὐσεβῶς, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ἐν δύω φύσεσι τῆς τριάδος τὸν ἕνα, Θεοπρεπῶς ἄνευ σπορᾶς Θεομῆτορ, ἐγέννησας τὸν σωτῆρα τοῦ κόσμου· διό σε οἱ πιστοὶ πόθῳ ὑπερυψοῦμεν εἰς πάντας.

Ὁ ἀπερίληπτος καὶ Δεσπότης τῶν ὅλων, ὃν οὐ χωροῦσιν οὐρανοὶ Θεομῆτορ, χωρεῖταί σου ἐν κοιλίᾳ Παρθένε· διό σε οἱ πιστοὶ πόθῳ ὑπερυψοῦμεν εἰς πάντας

Ὁ Εἱρμός.

Τὸν μόνον ἄναρχον βασιλέα τῆς δόξης, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις, καὶ φρίττουσι τῶν Ἀγγέλων αἱ τάξεις, ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Ὠδὴ, θ΄. Πανύμνητε τῶν οὐρανῶν.

Ὁ τόκος σου ὁ ὑπὲρ φύσιν Θεοτόκε, καταπλήττει Ἀγγέλους, ἐξιστᾷ δὲ ἀνθρώπους· πᾶσι γὰρ ἀνέκφραστός ἐστι καὶ ἀκατάληπτος· ὃν ὑμνοῦντες εὐσεβῶς σὲ δοξάζομεν.

Ηλέηται νῦν διὰ σοῦ ἡ ἀνθρωπότης, καθ' ὑπόστασιν ὄντως τῷ λόγῳ ἑνωθεῖσα· καὶ τῇ ἀντιδόσει Θεὸς Παρθένε γενομένη· διὸ πάντες σὲ ἀεὶ μεγαλύνομεν.

Νεκρώσεως καὶ τῆς φθορᾶς μου τοὺς χιτῶνας, περιεῖλες Παρθένε, σωτήριον χιτῶνα, τὸν σεσαρκωμένον Θεὸν τεκοῦσα τοῖς ἀνθρώποις· διὸ πάντες σὲ ἀεὶ μεγαλύνομεν.

Σὺ γέγονας ὑπερφυῶς Θεογεννῆτορ, οἰκητήριον ὄντως τοῦ πάντων βασιλέως, καὶ χρυσοειδὴς κιβωτὸς τοῦ νόμου, νομοθέτην ἔνδον ἔχουσα, Θεὸν σωματούμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Προσόμοια. Οὐκ ἔτι κωλυόμεθα.

Χαῖρε τὸν μέγαν ἥλιον ἐν τῷ κόσμῳ, αὐγῇ φέρουσα, τὸν φωτίσαντα τοὺς ἐν σκότει ἁγνὴ καθεύδοντας.

Χαῖρε τὸν μόσχον ἡ δάμαλις ἡ τεκοῦσα τὸν ἀμώμητον, καὶ συνάψασα τοῖς γηΐνοις τὰ ἐπουράνια.

Χαῖρε ναὲ Θεοκόσμητε Χριστοῦ τοῦ Θεοῦ, χαῖρε ἄγκυρα τῆς πίστεως· Χαῖρε κάλλος πολύευκτον.

Πλήθη πολλῶν χειμάζουσι τὴν ψυχήν μου περιστάσεων, καὶ ἐκ πασῶν με Θεοτόκε δεῖξον ἐλεύθερον.

## ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ ΣΜΥΡΝΗΣ·

Οὗ ἡ ἀκροστιχίς·

Τὴν Παντάνασσαν εὐλογῶ νῦν ἑπτάκις.

Ὠδὴ, α΄. ἦχος βαρύς. Νεύσει σου.

ΤΑΓΜΑΤΑ τῶν Ἀγγέλων, ὡς ἀληθῶς καὶ κυρίως, Μητέρα σε Πάναγνε, Θεοῦ τῶν ὅλων σέβουσιν· ἀλλὰ καὶ νῦν τῶν πηλίνων, δέξαι μου χειλέων, ᾠδὴν τὴν ἱκέσιον.

Ἥλιον ἐξ ἡλίου, τὸν ἀκατάληπτον Λόγον, ἀχρόνως ἐκλάμψαντα, ἐν χρόνῳ ἀνατέταλκας· οὗ ταῖς ἀκτῖσι Παρθένε, φώτισον ἡμῶν τὰς ψυχὰς καὶ συνέτισον.

Νέκρωσον τῆς σαρκός μου, τὴν ἔτι ζῶσαν κακίαν, ζωὴν ἡ γεννήσασα τὴν ἀληθῆ Πανάχραντε, καὶ τῶν παθῶν καὶ πταισμάτων, βράβευσον ἁγνὴ τῷ σῷ δούλῳ τὴν λύτρωσιν.

Πρέπει σοι Θεοτόκε, τῶν ἐγκωμίων ὁ λόγος, ἀεὶ ἐνεργούμενος· ἀλλ' ἡμεῖς δυσωπούμενοί σε, σῶσον ἐκ πάσης τοῦ βίου, θλίψεως ἁγνὴ τοὺς ἐν σοὶ καταφεύγοντας.

Ὠδὴ, γ΄. Ὁ κατ' ἀρχὰς τούς.

Ἀποδιδοὺς τὰς ὀφειλὰς, δουλοπρεπῶς εὐγνωμόνως, τῶν χαρίτων Δέσποινα τῶν σῶν, θερμῶς ἀνυμνῶ σε Μῆτερ ἄχραντε, Λόγου τοῦ πάντων λυτρωτοῦ· ἀλλὰ καὶ νῦν ἐξελοῦ με, τῶν κατὰ τὸν βίον περιστάσεων.

Νενεκρωμένον τὸν Ἀδὰμ, ἐκ παραβάσεως πάλαι, τῆς βελτίω Πάναγνε ζωῆς, τὸν ζωαρχικὸν τεκοῦσα Δέσποινα, Λόγον ἠξίωσας σαφῶς· ἀλλὰ καὶ νῦν με θανάτου, τοῦ τῆς ἁ-

μαρτίας ἐλευθέρωσον.

Τραχηλιάσας τῆς σαρκὸς, ὁ ἐμπαθέστατος νόμος, νῦν συνθλίβει τὸν Πνευματικὸν, καὶ πρὸς χαλεπὰς τὸν νοῦν μου Πάναγνε ἐπιθυμίας συνωθεῖ· ἀλλ' ἀπαθείας εἰρήνην, βράβευσόν μοι θᾶττον σαῖς ἐντεύξεσιν.

Ανερμηνεύτως ἐν γαστρὶ, τὸν συνοχέα τῶν ὅλων, συλλαβοῦσα Πάναγνε Χριστὸν, τὴν τῶν γηγενῶν οὐσίαν ἔλυσας, ἐκ τῆς ᾅδου κατοχῆς· ἀλλά καὶ νῦν πολυπλόκους, ἄρκυς τῶν φθονούντων με διάῤῥηξον.

Ωδὴ, δ'. Ὁ Πατρικοὺς κόλπους.

Νυκτομαχῶ ζόφῳ τῶν δεινῶν, ἀμαυρωθεὶς τὸν λογισμὸν ὦ πύλη φωτὸς, ταῖς σαῖς αἴγλαις με καταύγασον, καὶ τῆς χαλεπότητος ἐξελοῦ συντόμως τῶν θλίψεων.

Αμαρτιῶν πλήθει συσχεθεὶς, καὶ ταῖς σειραῖς τῶν πειρασμῶν σφοδρῶς πεδηθεὶς, τὴν σὴν Δέσποινα βοήθειαν, νῦν ἐπικαλούμενος, λυτρωθείην πάσης κακώσεως.

Συναγωγὰς φαύλων καὶ δεινῶν, καὶ πονηρῶν καὶ φθονερῶν ἀνθρώπων βουλὰς, διασκέδασον Πανύμνητε, καὶ πάσης με λύτρωσαι, συμφορᾶς τοῦ βίου καὶ θλίψεως.

Στραγγαλιὰς λόγων τῶν ψευδῶν, καὶ συσκευὰς τὰς κατ' ἐμοῦ τῷ ξίφει τῶν σῶν, πρεσβειῶν σύγκοψον Δέσποινα, καὶ θᾶττον διάλυσον, καὶ παντοίας ῥῦσαί με θλίψεως.

Ωδὴ ε'. Νὺξ ἀφεγγής.

Ακαταμάχητον τεῖχος ὑπάρχουσα πιστῶν, σκέπη γενοῦ τῷ δούλῳ σου, καὶ ἀπὸ πάσης σφοδρᾶς Παρθένε, ῥῦσαί με λύπης καὶ κακώσεως.

Νοσηλευόμενος σφόδρα, καὶ κατ' ἀμφοῖν χαλεπῶς, κεκακωμένος Πάναγνε, ψυχῆς τὴν ῥῶσιν ἐκ σοῦ δεξαίμην, ταῖς σαῖς πρεσβείαις καὶ τοῦ σώματος.

Εν τῷ πελάγει Παρθένε, τῶν οἰκτιρμῶν σου καὶ νῦν, προσπεφευγὼς ὁ δοῦλός σου, τῆς συνεχούσης βουλῆς ἀδίκου, ἐκλυτρωθείην καὶ κακώσεως.

Υπερφερές σου τὸ κλέος, τῶν πρεσβειῶν πανταχοῦ, Παρθενομῆτορ ἄχραντε· δι' ὧν καὶ νῦν με παντοίας, ῥῦσαι τῆς ἐν τῷ βίῳ περιστάσεως.

Ωδὴ, ς'. Ναυτιῶντα σάλῳ.

Λαλιαὶ καὶ λόγοι, πάντων σε πιστῶν εὐφημοῦσιν, ὡς ὅλον τὸ ὄφλημα τῶν ἀνθρώπων, τῷ τοκετῷ σου σαφῶς ἀποτίσασαν· ἀλλὰ καὶ τανῦν τὸν ὑμνῳδόν σου, πρόσδεξαι καὶ ῥῦσαι, πειρασμῶν καὶ θλίψεων.

Οδυνώμενόν με, καὶ ταῖς τῶν παθῶν καὶ πταισμάτων, ἀκάνθαις κεντούμενον, καὶ ζητοῦντα τὴν παρὰ σοῦ θεραπείαν Πανάχραντε, πάσης ἀλγηδόνος τε καὶ λύπης, λύτρωσαι καὶ ῥῦσαι, πειρασμῶν καὶ θλίψεων.

Γηγενῶν τὴν φύσιν, εἰς τὸν οὐρανὸν Θεοτόκε, προδήλως ἀνήγαγες, γεγονυῖα τοῦ βασιλέως τῆς δόξης παλάτιον· διό με βυθοῦ πολλῶν πταισμάτων, καὶ τῶν πειρασμῶν καὶ τῶν παθῶν ἀνάγαγε.

Σαρκωθέντα λόγον, ὑπὲρ νοῦν καὶ λόγον Παρθένε, ἁγνὴ ἀπεκύησας διὰ λόγου, τῆς ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λογίας ἡμᾶς λυτρωσάμενον· ὅθεν λόγοις θείοις σε ἀπαύστως, ἀνυμνολογοῦμεν καὶ πιστῶς δοξάζομεν.

Κάθισμα. Αὐτόμελον.

Θεοτόκε Παρθένε ἀμίαντε, τὸν υἱόν σου δυσώπει σὺν ταῖς ἄνω δυνάμεσι, συγχώρησιν πταισμάτων, ἐμοὶ πρὸ τοῦ τέλους δωρήσασθαι, τῷ πιστῶς σε δοξάζοντι.

Ωδὴ ζ'. Οἱ ἐν καμίνῳ.

Ὡραϊσμένη κροσσωτοῖς, τῆς ἁγνείας ἄχραντε Κόρη, ψυχῆς ἐμῆς νῦν μετάβαλε, τῆς κακίας τὸ αἶσχος, πρὸς θεῖον κάλλος εὐλογημένη Δέσποινα, προστασία τοῦ γένους ἡμῶν.

Νεανιεύονται καὶ νῦν, ἐριννύες δαίμονες ἄγαν, καὶ πῦρ παθῶν μοι προσάπτουσιν· ἀλλὰ μᾶλλον ταῖς αἴγλαις τούτους εἰς τέλος, τῶν οἰκτιρμῶν σου σύμφλεξον, προστασία τοῦ γένους ἡμῶν.

Ὑπὲρ ἡμῶν τὸν σὸν υἱόν, ἱκετεύειν ἄχραντε Μήτηρ, Θεοῦ μὴ παύσῃ τὸ σύνολον, διὰ τῶν πρεσβειῶν σου τῶν ἀνθρωπίνων, ἐξαιρουμένη θλίψεων, καὶ δεινῶν τοὺς οἰκέτας σου.

Ἀπὸ παθῶν ἡμᾶς ἁγνή, τυραννίδος λύτρωσαι πάντας, ὡς ἂν σωζόμενοι ψάλλωμεν, τῷ υἱῷ καὶ Θεῷ σου Παρθενομῆτορ· εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ωδὴ. η'. Τὸν ὄντως ὄντα.

Νομάδες ὄντως παθῶν, καὶ πολυτρόπων κυκλοῦσι Δέσποινα δεινῶν τὸν σὸν οἰκέτην· ἀλλὰ λύτρωσαί με παντοίας ἐπηρείας.

Ἐλθέτω νῦν ἐφ' ἡμᾶς, ἡ κραταιά σου παλάμη Δέσποινα καὶ τῆς προσδοκωμένης ἀνθρωπίνης λύπης, ἡμᾶς ἐκλυτρωσάτω.

Παγίδας τῶν πονηρῶν, καὶ κακοβούλων ἀνθρώπων, σύντριψον ἁγνὴ Θεοκυῆτορ, καὶ τὸν σὸν οἰκέτην δεινῶν παντοίων ῥῦσαι.

Τὴν μόνην οὖσαν πιστῶν, λιμένα θεῖον Μαρία Πάναγνε, λιτάζω σε ῥυσθῆναι, τῆς ἐν τῇ θαλάσσῃ τοῦ βίου πικρᾶς ζάλης.

Ὁ Εἱρμός.

Τὸν ὄντως ὄντα Θεόν, τῆς τῶν πάντων οὐσίας αἴτιον, Χριστὸν ὑπερυψοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ'. Τὴν ὑπὲρ φύσιν Μητέρα.

Ἀποσκιρτήσας ὡς πῶλος, τῶν ἐντολῶν τοῦ Δεσπότου, κημῷ σου τῶν πρεσβειῶν ἀνθελκυσθείην, Πάναγνε πρὸς ὁδούς, τῆς σπουδαίας καταστάσεως.

Κατολοφύρομαι σφόδρα, κατολισθαίνων ἀβούλως, πρὸς πράξεις τὰς πονηρὰς τῆς ἁμαρτίας, λύτρωσαι τῆς τροπῆς, Θεοτόκε με τῆς χείρονος.

Ἴαμα πρώην δειχθεῖσα, τῆς ἀνθρωπίνης οὐσίας, ἴασω τὴν συντριβὴν Ἀδὰμ καὶ Εὔας· ἴασαι δὲ κἀμέ, Θεοτόκε σαῖς ἐντεύξεσιν.

Σώφρονα νοῦν μοι παράσχου, καὶ καθαρὰν καρδίαν· καὶ γνώμην προσεκτικήν· ἵνα φυλάττω Δέσποινα, τὰς σεπτὰς ἐντολὰς τοῦ Θεοῦ ἡμῶν.

Προσόμοια. Οὐκ ἔτι κωλυόμεθα.

Χαῖρε Θεὸν, ἀφράστως ἀποτεκοῦσα, τὸν θεώσαντα, τῇ αὐτοῦ καταβάσει Κόρη τὸν ἄνθρωπον.

Χαῖρε παντὸς τοῦ κόσμου, δεδοξασμένη καταφύγιον, καὶ Ἀγγέλων καὶ ἀνθρώπων ἔξοχον ἄκουσμα.

Χαῖρε τὸ φῶς τοῦ κόσμου, Παρθενομῆτορ, ὑπὲρ ἔννοιαν καὶ ἀῤῥήτως, εὐλογημένη σαρκὶ κυήσασα.

Ὅτι βοήθειαν ἄλλην, πλὴν σου οὐκ ἔχω ὁ οἰκέτης σου, σοὶ προσπίπτω Θεοκυῆτορ, δωρεὰν σῶσόν με.

## ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Ὠδὴ, α΄. ἦχος βαρύς. Νεύσει σου.

ΠΡΩΤΟΝ παθῶν νοσήσας, ἐν τοῖς ὑψίστοις ὁ δαίμων, τὴν κακίστην οἴησιν, ὑπερηφάνως πέπτωκε· σὺ οὖν Πανύμνητε Κόρη, ταύτης ἡμᾶς ῥῦσαι ταπεινώσει φρουρήσασα.

Λόγοι τῆς βλασφημίας, καὶ ἐννοιῶν ἀκαθάρτων, πηγάζουσι Πάναγνε ἐκ μόνης τῆς οἰήσεως· σὺ οὖν δρόσῳ τοῦ ἐλέους, ψῦξον τῶν κακῶν μου, ἀγαθὴ τὰ ῥεύματα.

Μέγας τῆς ἀκτησίας, ὁ ἀναφαίρετος πλοῦτος· Χριστοῦ γὰρ πτωχεύσαντος καὶ ξένου χρηματίσαντος· οὕτω τὸν βίον ἰθύνειν, Κόρη καὶ ἡμεῖς παρ' αὐτοῦ διδασκόμεθα.

Ῥείθροις τοῦ Ἰορδάνου, ἀνακαινίσας τὴν φύσιν, Χριστὸς Θεονύμφευτε, ἡμῖν δέδωκε βάπτισμα· ὅπερ μολύνοντες οἴμοι! διὰ τοῦ δακρύων βαπτισμοῦ καθαιρόμεθα.

Ὠδὴ, γ΄. Ὁ κατ' ἀρχὰς τούς.

Τῇ μετανοίᾳ πᾶν κακὸν, καὶ πᾶν ἁμάρτημα εἴκει, Θεοτόκε πάντων ἡ ἐλπίς· αὐτῆς ταῖς ὁδοῖς ἡμᾶς κατεύθυνον· ὅπως τοὺς σχόντας δι' αὐτῆς, ἁμαρτημάτων τὴν λύσιν, τύχωμεν μετρίως μιμησάμενοι.

Ἐν μετανοίᾳ ὁ λῃστής· ἐν στεναγμοῖς ὁ τελώνης· ἐν δακρύοις πόρνη τὸν Θεὸν, καλῶς Θεοτόκε ἐξιλάσαντο· ἐγὼ δὲ μόνην τὴν εἰς σὲ, ἐπικαλοῦμαι ἐλπίδα· δι' ἧς τῆς βασάνου λυτρωθήσομαι.

Κλίμαξ ἣν εἶδεν Ἰακὼβ, αὐτὴ ὑπάρχεις Παρθένε· προετύπου δὲ τῶν ἀρετῶν, τὴν τάξιν, τὴν πρᾶξιν καὶ ἐπίβασιν· ἧς ἐπιβαίνειν καὶ ἡμᾶς, διὰ τῆς πέμπτης βαθμίδος, δίδου τὰς αἰσθήσεις ἐκκαθαίροντας.

Προϊστορῶν ὁ Γεδεών, τὸ σὸν μυστήριον Κόρη, ἐπὶ πόκον εἵλκυσέ ποτε, οὐράνιον δρόσον· ἀλλὰ σὺ κἀμοί, δρόσον δακρύων ἐκ Θεοῦ, καταπεμφθῆναι δυσώπει· ὅπως πλήσω πόκον τὸν τοῦ Πνεύματος.

Ὠδὴ δ'. Ὁ Πατρικοὺς κόλπους.

Η παμφαὴς καὶ χαροποιός, καὶ ῥυπτικὴ τῶν μολυσμάτων ἄχραντε, ἡ τοῦ πένθους κλῆσιν ἔχουσα, ἐργάτις εὐφρόσυνος, γένοιτο ἐμοὶ φυλακτήριον.

Νεανικῶς πᾶσαν τοῦ θυμοῦ, ὀργῆς πικρίαν ἐκδιώκει Πάναγνε, κατανύξεως τὸ δάκρυον· ὅπερ ὡς ἱμάτιον, κἀμὲ ἐνδυθῆναι δυσώπησον.

Λόγοι σοφῶν λέγουσι τρανῶς· ὡς οὐδενὶ τῶν πάντων ἄλλῳ χαίρει Θεός, ὡς ἀνθρώπου ἁμαρτήσαντος, διορθώσει Πάναγνε· διὰ τοῦτο σύ με διόρθωσον.

Υποπεσὼν πταίσμασι πολλοῖς, ἐξαπορῶ ποῖον θρηνήσω πρότερον· ἀλλὰ πάντων ἐκλαθόμενος, πρὸς σὲ Θεονύμφευτε, τὴν θερμὴν προσφεύγω ἀντίληψιν.

Ὠδὴ, ε'. Κύριε ὁ Θεός μου.

Εφη τὸ θεῖον στόμα, ἡ αὐτοαλήθεια ὅτι ψεύστης, μόνος ὁ διάβολος· τὸ ψεῦδος οὖν φύγωμεν, ἵνα ταῖς λιταῖς τῆς Πανάγνου, ἀληθείας τέκνα γενώμεθα.

Εφη Χριστὸς τῷ Πέτρῳ, ἑβδομηκοντάκις ἑπτὰ διδόναι, συγχώρησιν πταίσασιν· ἐμοὶ Θεονύμφευτε, πρέσβευε λοιπὸν συγχωρῆσαι, ὅταν ὡς Κριτῇ παραστήσωμαι.

Ιδιον τοῦ Δεσπότου, ἀγαθότης ἔλεος εὐσπλαγχνία· οἰκτείρει ὡς εὔσπλαγχνος· συγχωρεῖ τὰ πταίσματα· καὶ ὡς ἀγαθὸς προνοεῖται, τοῦ σωθῆναι πάντας Θεόνυμφε.

Δέσποινα Θεοτόκε, ἡ σεσαρκωμένον τὸν Ποιητήν μου, καὶ πλάστην γεννήσασα, μὴ ἐγκαταλίπῃς με· καὶ τῆς σῆς μή με ἀποπέμψῃς, πόῤῥω ἀντιλήψεως δέομαι.

Ὠδὴ, ς'. Ναυτιῶντα σάλῳ.

Η πληθὺς Ἀγγέλων, καὶ τῶν Χερουβὶμ καὶ τῶν Θρόνων, καὶ πᾶς νοερός σε διάκοσμος Θεομῆτορ, ὡς ὑπερτέραν αὐτῶν μεγαλύνουσιν· ἡμεῖς δὲ οἱ γήινοι καὶ κάτω, ἄφεσιν πταισμάτων, παρὰ σοῦ αἰτούμεθα.

Οὐρανῶν ὑπάρχεις, καὶ πάσης τῆς γῆς πλατυτέρα· καὶ πάντων κτισμάτων ἁγιωτέρα· καὶ τίς ἰσχύσῃ ἀξίως ὑμνῆσαί σε; ὅμως τὴν προαίρεσίν μου δέχου, καὶ πταισμάτων δίδου μοι ἁγνὴ συγχώρησιν.

Ομμα κεχυμένον, καὶ τοῖς ὁρατοῖς λελυμένον, τὸν νοῦν οὐκ ἀφίησι τοῦ προβαίνειν, εἰς ὑψηλὰ θεωρίας κινήματα· μᾶλλον κατασπᾷ Θεοκυῆτορ, πρὸς τὰ τῆς σαρκὸς πολυσχεδῆ παθήματα.

Σολομὼν προγράφει, ἐν τῇ τῶν ᾀσμάτων πυκτίδι, νυμφίου καὶ νύμφης δραματουργίαν, τὴν τοῦ Θεοῦ καὶ ψυχῆς δηλῶν ἕνωσιν· οὕτω συναφθῆναί με δυσώπει, τῷ ἐκ σοῦ ἀσπόρως, προελθόντι Πάναγνε.

Κάθισμα. Ὁ καρπὸς τῆς κοιλίας.

Οὐδαμῶς ἀλλαχόθεν ἐλπίζομεν, τὴν ἡμῶν σωτηρίαν εὑρίσκειν Παναμώμητε, εἰ μὴ ἐκ σοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῆς βοηθείας τάχος ἐπιτύχωμεν· διό σε μεγαλύνομεν.

Ωδὴ ζ΄. Κάμινον παῖδες.

Στόμα πρὸς ὕμνον, κινῶν ὁ Προφήτης, εἵλκυσε Πνεῦμα ὡς γέγραπται· ἐγὼ δὲ τοῦτο ἀνοίγων ἐρεύγομαι, φλυαρίας Πάναγνε· ἀλλὰ σύ με σωφρόνισον τῷ πόθῳ σου.

Νύξ με βαθεῖα, συνέχει πταισμάτων, καὶ ἀτενῖσαι οὐ δύναμαι, πρὸς μετανοίας τὸ φέγγος θεόνυμφε· ἀλλὰ σὺ διέγειρον, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς κατάνυξιν.

Ἄκαρπος ὤφθην, συκῆ Θεομῆτορ, καὶ δειλιῶ τὴν ἀπόφασιν τῆς ἐκκοπῆς· ἀλλὰ σύ μοι μεσίτευσον, καὶ τὴν νῦν περίοδον· ὅπως βάλω κοπρίας χάριν δάκρυα.

Ὢ πῶς ὑποίσω τὸ πῦρ τῆς γεέννης! ὢ πῶς ἐνέγκω τὸν σκώληκα! καὶ τὸν βρυγμὸν τῶν ὀδόντων Πανύμνητε! ἀλλὰ σύ με λύτρωσαι, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς τὸν ὕψιστον.

Ωδὴ, η΄. Ἄφλεκτος πυρί.

Στέναξον ψυχὴ, καὶ ἐκ μέσης τῆς καρδίας, οἰκτρὰν φωνὴν ἀνάπεμψον, καὶ γοερὰν τῇ τοῦ Θεοῦ σου Μητρί· ἐλέησόν με ἁγνὴ, τὸν ὑπὲρ πάντας τοὺς βροτοὺς ἐξαμαρτήσαντα· ῥῦσαι γεέννης καὶ σκότους αἰωνίου· καὶ τῆς δεξιᾶς με ποίησον παραστάτην.

Νήφουσάν μοι δὸς τὴν καρδίαν καὶ τὸ ὄμμα, τῆς διανοίας γρήγορον, ἐπαγρυπνοῦν καὶ ἐκδεχόμενον, ἐν ὥρᾳ ᾗ οὐ δοκῶ· ἐν ἀωρίᾳ τε νυκτὸς, τὸν Θεὸν ἥκοντα, θείας παστάδος ἁγνὴ, ἀξιῶσαι καιομένην, τοὺς τῶν ἀρετῶν τὴν λαμπάδα κεκτημένους.

Γίνου βοηθὸς Παρθένε Παναγία, τῷ ἐπὶ σοὶ προστρέχοντι, καὶ ἐκβοῶντι μετὰ πίστεως· ἐλέησον ἀγαθὴ, καὶ πρὸ τοῦ τέλους ἱλασμὸν πταισμάτων δίδου μοι· καὶ ἐν τῇ ὥρᾳ τοῦ τέλους παράσχου σωτηρίαν· καὶ μετὰ τὸ τέλος ἀνάπαυσιν τελείαν.

Κράτος τῆς μιᾶς Θεαρχίας ἓν ὑπάρχει, ἀδιαιρέτως διαιρούμενον· καὶ ἀσυγχύτως συνενούμενον· Πατὴρ αἰτία πηγὴ, τῶν προελθόντων ἐξ αὐτοῦ υἱοῦ καὶ Πνεύματος· ταύτην συμφώνως, πιστοὶ ὑμνολογοῦμεν, καὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Ἄφλεκτος πυρὶ, ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῆ· καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ, ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ

Ωδὴ, θ΄. Μὴ τῆς φθορᾶς.

Ῥήματα θείων Πατέρων ἁγνὴ διδάσκουσι, τὴν ἀποχὴν τῆς κακίας εἶναι μετάνοιαν· εἶτα καὶ κάκωσιν, νηστείαν ἀγρυπνίαν, καὶ συντριμμὸν καρδίας, πένθος τε ἡγνισμένον· ἅ μοι δώρησαι Μητροπάρθενε.

Ἡ φοβερὰ τοῦ Δεσπότου ἡμέρα ἤγγικε· καὶ σὺ καθεύδεις ψυχή μου· ὢ τῆς ἀνοίας σου! σπεῦσον ἐγέρθητι, καὶ δάκρυσον ἐμπόνως, καὶ κράξον τῇ Παρθένῳ· ἡ τὸν Χριστὸν τεκοῦσα, Θεοτόκε μου σύ με οἴκτειρον.

Τοῦ βίου ἄρτι ψυχή μου ἡ νὺξ προέκοψεν, ἡ δὲ φρικώδης ἡμέρα τῆς ἐξετάσεως, τῶν πεπραγμένων σοι, ἐγγίζει πλησιάζει· φοβήθητι τὸ βῆμα ᾧ μέλλεις παραστῆναι· διὸ κράξον σῶσόν με Δέσποινα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Σύ μου προστάτις ὑπάρχεις καὶ καταφύγιον· σὺ ἀγαλλίαμα Κόρη καὶ θεῖον καύχημα· σὺ τοίνυν ῥῦσαί με ἐκ πάσης ἁμαρτίας, ὀργῆς θανατηφόρου, καὶ βλάβης καὶ κινδύνων, καὶ μελλούσης φρικτῆς κολάσεως.

Προσόμοια. Σήμερον γρηγορεῖ.

Χαῖρε ῥοδωνιὰ ἡ ἡδύπνους, ἡ ἐκ καλύκων βλαστήσασα, Παρθενίας ῥόδον, ἐρυθρὸν εὐῶδες· χαῖρε κρῖνον θεῖον, ἐξ οὗ ὁ τὰ κρῖνα, τοῦ ἀγροῦ ποικίλας, στολὴν τὴν ἀνήθευτον, σαρκὸς περιεβάλετο, πορφύραν ἀποκρύπτουσαν Σολομονικήν· χαῖρε ἄνθος, πάσης χροιᾶς ποικιλλότερον.

Χαῖρε βασιλὶς τῶν βασιλίδων, ἡ βασιλέα γεννήσασα, τῶν βασιλευόντων· οὗ ἡ βασιλεία, βασιλεία πέλει, πάντων τῶν αἰώνων· χαῖρε τοῦ θανάτου, βασίλειον νικήσασα, καὶ ζωῆς ἀνοίξασα, βασιλείαν πρόξενον· βασιλεῖς ἣν σέβονται, χαῖρε Μαριὰμ Παντοβασίλισσα.

Χαῖρε κουφοτάτη νεφέλη, ἡ τὸ γεῶδες τοῦ σκήνους σου, καὶ βρίθον ἐξ ἄκρας, ἁγνείας πλουτοῦσα, ἀερῶδες κοῦφον, λεπτότατον Κόρη· ἐν ᾗ Χριστὸς καθίσας, Ἡσαΐας ὡς ἔφησε, κατέβη εἰς Αἴγυπτον, καὶ ταύτης χειροποίητα, εἴδωλα συνέτριψε, καὶ εἰς θείαν γνῶσιν μετερρύθμισε.

Πλήρωσον τὴν καρδίαν μου Κόρη, κατανύξεως δέομαι· δὸς καὶ τῇ ψυχῇ μου σωτήριον πένθος· τὸν θυμόν μου τρέψον, κατὰ τῶν δαιμόνων· πᾶσάν μου τὴν ἔφεσιν μετάθες πρὸς τὸν Κύριον· προσευχαῖς σχολάζειν με ἐνίσχυσον πάντοτε· ὅπως διὰ σοῦ ζωῆς τύχω, καὶ τῆς θείας λαμπρότητος.

## ΤΗ ΠΕΜΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ

Ὠδὴ, α΄. ἦχος, βαρύς. Νεύσει σου πρός.

ΚΑΙΝΗ με ῥαθυμίας, ἀνακείμενον Κόρη, ἁμαρτιῶν πολυτρόπων, αὐτὴ ἐξανάστησον, ῥῶσιν θείαν βραβεύουσα· ὅπως Πάναγνε δοξάζω, μεγαλεῖα τὰ σὰ ὡς ὄντως ὑπερένδοξε.

Ἴασαι τῆς ψυχῆς μου, τὴν συντριβὴν Θεοτόκε, ἐχθρὸς ἣν ἐσπάραξε, τῆς ἡδονῆς τῷ δελέατι, θείοις φαρμάκοις χρωμένη, τῆς σῆς εὐσπλαγχνίας ἁγνὴ καὶ δυνάμεως.

Στῆσον τὰς καταιγίδας, τῶν ἡδονῶν καὶ παθῶν μου, τῇ αὔρᾳ τῆς θείας σου, πρεσβείας Παναμώμητε· ὅπως ἐν γαλήνῃ καρδίας, σοῦ δοξολογῶ τὴν ἀνείκαστον δύναμιν.

Δόξα τῆς οἰκουμένης, δεδοξασμένη Παρθένε, Θεὸν ὑπερένδοξον ἐνδόξως ἡ γεννήσασα, δόξης ἀξίωσον θείας, τοὺς ὡς Θεοτόκον ἀεί σε δοξάζοντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ωδὴ γ΄. Ὁ κατ᾽ ἀρχὰς τοὺς Οὐρανούς.

Ὁ Ἰωσὴφ κεκρατηκώς, τῆς ἀκολάστου Δεσποίνης, τῶν ἀθέσμων πάλαι ἡδονῶν, λαμπρὸς βασιλεὺς Αἰγύπτου γέγονεν· ἐγὼ δὲ σώματος πολλοῖς, πάθεσιν εἴξας ἀφρόνως, ὑπὸ ἁμαρτίας βασιλεύομαι.

Θεογεννῆτορ Μαριάμ, τῆς νοητῆς με Αἰγύπτου, καὶ δουλείας τῆς τοῦ πονηροῦ, ἐξάρπασον σὺ θαλάσσας τέμνουσα, τῶν πονηρῶν μου ἐννοιῶν, καὶ ὄρει τῆς μετανοίας, ἐνδιαβιβάζουσα καὶ σώζουσα.

Δραπέτης θείων ἐντολῶν, ἄφρονι νῷ ἐγενόμην, καὶ ὑπῆρξα δοῦλος ἡδονῶν· δι᾽ ὧν τῆς ψυχῆς τὸ κάλλος ἔσβεσα, καὶ ἠμαυρώθην ἀγαθή· μεσίτης δέ μοι φανεῖσα, σὺ ἀντιποιήθητι τοῦ δούλου σου.

Μεμολυσμένος ἡδοναῖς, σὲ τὴν ἀμόλυντον Κόρην, ἱκετεύω ῥῦσαί με παντός, σαρκὸς μολυσμοῦ καὶ καθαρτήριον, πένθος μοι δὸς διηνεκές, καὶ τῆς φλογὸς τῆς γεέννης, δάκρυόν σβεστήριον παράσχου μοι.

Ωδὴ δ΄. Ὁ πατρικοὺς κόλπους.

Τὴν ἐκλεκτὴν μόνην ἐκ πασῶν, τῶν γενεῶν πρὸ πάσης κτίσεως Θεῷ· τὸ τῆς φύσεως καλλώπισμα· τὸ ἄνθος τὸ τίμιον· τὴν Παρθένον Κόρην ὑμνήσωμεν.

Ὁ φωτισμὸς καὶ ὁ γλυκασμός, τῶν πεποιθότων ἐπὶ σοὶ Πανύμνητε, χαρμονῆς τὴν πολυώδυνον καρδίαν μου πλήρωσον, τελειώσασα αὐτῆς τὰ αἰτήματα.

Τὴν σὴν ῥοπὴν δεῖξον ἀγαθή, ἐπὶ τὸν δοῦλόν σου ἁγνὴ Πανάμωμε, τὸν ἐλπίζοντα εἰς σὲ ἐκ ψυχῆς καὶ σὲ προσκαλούμενον, τὴν ἐλπίδα πάντων καὶ καύχημα.

Νύμφη Θεοῦ πρόσδεξαι ἐμοῦ, τὰς ἱκεσίας καὶ ἐκ πάσης θλίψεως, ἐπηρείας καὶ κακώσεως, καὶ κινδύνων λύτρωσαι, τὸν ὑμνοῦντα πόθῳ τὸν τόκον σου.

Ωδὴ ε΄. Κύριε ὁ Θεός μου.

Νοῦν τὸν ἐσκορπισμένον, τὸν ἐμὸν συνάγαγε Θεοτόκε, καὶ βλέπειν με ποίησον τὰ οἰκεῖα τραύματα, καὶ θρηνεῖν καὶ στένειν ἐν τούτοις, τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι.

Ὄμβρησόν μοι ῥανίδα, συμπαθείας Κόρη Θεοκυῆτορ, καὶ τὰς ἁμαρτίας μου τὰς πολλὰς ἐξάλειψον, καὶ τῶν πληγῶν οὐλάς τε καὶ τύπους, ἰατρὸν τεκοῦσα ἀφάνισον.

Ἥλιον ἡ τεκοῦσα, τῆς δικαιοσύνης κούφη νεφέλη, τὰ νέφη διάλυσον τὰ τῆς ῥαθυμίας μου, καὶ πρὸς μετανοίας αἰθρίαν, διὰ προθυμίας με ἴθυνον.

Ἄνω τῆς διανοίας, ἐπὶ σὲ τὸ ὄμμα ἦρα καὶ κράζω· ἐλέησον Δέσποινα, ψυχὴν πρὸς σὲ βλέπουσαν, καὶ εἰς τὸ μέγα σου ἔλεος ἐλπίζουσαν.

Ωδὴ ς΄. Ναυτιῶντα σάλῳ.

Ναυαγίῳ μέσον, περιπεπτωκὼς τοῦ πελάγους, τοῦ βίου κατέδυσα τὴν ὁλκάδα, τὴν ψυχικὴν ἁγνὴ καὶ προσαπώλεσα, πᾶσαν τῶν καλῶν τὴν ἐμπορίαν· ἀλλ᾽ ἐξ ἀπωλείας με βυθοῦ ἀνάγαγε.

Νοητοῦ θηρός με, κήτους ψυχοφθόρου Παρθένε, ἐξάγαγε δέομαι, ἐκ κοιλίας ᾅδου κραυ-

γῆς μου, ἀκούσασα Δέσποινα, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου· ὅσα τε ηὐξάμην ἀγαθὴ ἀπόδος μοι.

Ἐμβολαῖς πταισμάτων, καὶ ταῖς προσβολαῖς τῶν κυμάτων, τοῦ βίου χειμάζει με καὶ στροβεῖ με, ἀλλεπαλλήλων ἀνέμων ἀντίπνοια· ῥῦσαι κυβερνήτου Θεοῦ Μῆτερ, ἐκ θανατηφόρου τὴν ψυχήν μου κλύδωνος.

Σκοτεινὴν τοῦ ᾅδου, γῆν καὶ γνοφερὰν καὶ ζοφώδη· γῆν σκότους ὡς γέγραπται αἰωνίου, καὶ ἀφεγγῆ, ἐν ᾗ φέγγος οὐκ ἔστιν ὁρᾶν, καὶ ζωὴν βροτῶν ἐκεῖ ἰδέσθαι, Δέσποινα ἐλπίζων ἐπὶ σὲ μὴ ἴδοιμι.

Κάθισμα. Αὐτόμελον.

Ἀσπόρως συνέλαβες ἐν μήτρᾳ σου Παρθένε Θεοτόκε, τὸν υἱὸν καὶ Λόγον τοῦ Θεοῦ καὶ Πατρός· ὃν ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ, ζ'. Κάμινον παῖδες.

Ὄμβροις δακρύων κατάρδευσον Κόρη, τὴν χερσωθεῖσαν καρδίαν μου, καὶ τῆς ψυχῆς μου τὰς αὔλακας μέθυσον, διὰ κατανύξεως, ἀρετῶν τὰ γεννήματα πληθύνουσα.

Νύκτα καθάπερ, παρῆλθον τὸν βίον, ἔργα νυκτὸς ἐργαζόμενος, ὁ σκοτεινὸς τὴν ψυχὴν, ἀλλὰ φώτισον φωτί με πρεσβειῶν σου, ἡ τεκοῦσα τὸ θεῖον φῶς Πανύμνητε.

Ὁρμαῖς ἀσχέτοις, πρὸς τὴν ἁμαρτίαν, ὑποσυρόμενος πάντοτε, καθάπερ δοῦλος ἐκτελῶ τὸ πρόσταγμα, τῆς σαρκὸς Πανάχραντε, τῆς πικρᾶς τυραννίδος ταύτης ῥῦσαί με.

Ποικιλοτρόπως, ὁ δόλιος ὄφις, ἀεὶ ἐμοὶ ἐπιτίθεται, ἐν ἡδοναῖς τε καὶ λύπαις ταράσσων με· ἀλλὰ σὺ στερέωσον, ἐπὶ πέτραν ἁγνὴ τῆς ἀπαθείας με.

Ὠδὴ, η'. Ἄφλεκτος πυρί.

Σὲ τὸ καθαρὸν καὶ λαμπρὸν καὶ φωτοφόρον, τοῦ Ἰησοῦ παλάτιον, καὶ λογικὸν τοῦ Λόγου σκήνωμα· τὴν ἔμψυχον κιβωτὸν, τὴν πλατυτέραν οὐρανοῦ, καὶ ἀνωτέραν τῆς γῆς πάντιμε Κόρη, ὑπέραγνε Μαρία, ἱκετεύω σῶσον τὴν ταπεινὴν ψυχήν μου.

Δῶρον παρ' ἡμῶν ἡ δοθεῖσα τῷ Δεσπότῃ, ὡς ἀπαρχὴ τῆς φύσεως, τὰς ἱκεσίας ἡμῶν Πάναγνε, προσδέχου δῶρα τερπνὰ, ἀντιπαρέχουσα ἡμῖν τὴν σὴν βοήθειαν· ὅπως ἐν πίστει καὶ πόθῳ προσκυνῶμεν, σὲ καὶ τὸν υἱόν σου εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὸ τῆς αὐτοῦ ὁ υἱός σου Θεοτόκε, ὡς ἀγαθὸς καμπτόμενος, φιλανθρωπίας σὲ παρέσχετο, βοήθειαν κατ' ἐχθρῶν, καὶ ἰατρεῖον τῶν παθῶν, τοῖς πίστει κράζουσι· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Φάνηθί μοι νῦν ἐν κινδύνοις προστασία· ἐν συμφοραῖς ἀνάψυξις· ἐν περιστάσεσι βοήθεια· ἐν νόσοις παντοδαπαῖς ἰαματόβρυτος πηγὴ, καὶ θεραπεία παθῶν, πᾶσαν διώκουσα βλάβην, ἐξ ἐμοῦ Θεοτόκε· ἵνα σε δοξάζω εἰς πάντας.

Ὁ Εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῆ· καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ

ἔργα τὸν Κύριον.

Ωδὴ, θ΄. Μὴ τῆς φθορᾶς.

Μὴ συληφθεῖσα τὸν πλοῦτον τῆς Παρθενίας σου, Μήτηρ σαρκὶ ἀνεδείχθης τοῦ Παντοκράτορος· νύμφη ἀπείρανδρε, Παρθένε Θεοτόκε, ἐκτρέφουσα ὡς βρέφος, τὸν τρέφοντα ὡς πλάστην, πάντα κόσμον καὶ ἁγιάζοντα.

Η τοῦ ἀδύτου ἡλίου τῆς δόξης πάμφωτε, ἀνατολὴ ἐξ ἧς πάντες ὑπερηυγάσθημεν, φέγγει, τῆς γνώσεως τῆς θείας ἀληθείας, Κυριώνυμε Κόρη, φῶς τῶν ἐμῶν ὀμμάτων, μὴ παρίδης με τὸν οἰκέτην σου.

Φιλαμαρτήμων ὑπάρχων τρέμω καὶ δέδοικα, μήπως ἐξαίφνης τὸ τέλος τοῦ βίου φθάσῃ με, ἄχραντε Δέσποινα, ἡ πάντων προστασία, τῶν καταπονουμένων, τρόποις με μετανοίας, βελτιῶσαι νῦν παρακλήθητι.

Αμαρτιῶν με τῷ κρύει καταπηγνύμενον, τῆς εὐσπλαγχνίας σου θέρμη Δέσποινα θέρμανον, καὶ πρὸς ἀγάπησιν, θερμὴν τὴν τοῦ υἱοῦ σου, διέγειρον ὡς ἄν σε θερμῇ τῇ διαθέσει, μεγαλύνω θερμῶς ὁ δοῦλός σου.

Προσόμοια. Οὐκ ἔτι κωλυόμεθα.

Χαῖρε ἡ θεία σκέπη καὶ προστασία τῶν τιμώντων σε, ὡς ὑψίστου Θεοῦ Μητέρα· Χαῖρε πανάσπιλε.

Χαῖρε δι' ἧς ὁ ᾅδης ἀπενεκρώθη· καὶ ὁ θάνατος ἠφανίσθη Θεογεννῆτορ· καὶ ὁ Ἀδὰμ σέσωσται.

Χαῖρε πιστῶν τὸ καύχημα Παναγία· Χαῖρε Δέσποινα ἡ Θεὸν σωματωθέντα σαρκὶ κυήσασα.

Στενάζοντά με δέξαι ὡς ἐλεήμων, καὶ ἐλέησον ὡς τὸν τελώνην ταῖς τῆς Μητρός σου λιταῖς.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Ωδὴ, α΄. ἦχος βαρύς. Τῷ συνεργήσαντι Θεῷ.

ΘΕΙΩ φωτί σου ἀγαθὴ, αὔγασόν μου τὰς φρένας· ὅπως βοήσω σοι πιστῶς, ᾠδὴν χαριστήριον Μαρία πολυύμνητε.

Η οὐρανώσασα ἡμῶν, τὴν γεώδη οὐσίαν· χαῖρε πανάσπιλε ἁγνὴ, Κυρία καὶ Δέσποινα

τοῦ Κόσμου χαῖρε ἄμωμε.

Χαῖρε ἡ πύλη τοῦ Θεοῦ· χαῖρε ἄχραντε Μῆτερ· χαῖρε νεφέλη φωτεινὴ, βροτῶν καταφύγιον, Παρθένε χαῖρε Πάνσεμνε.

Χαῖρε Παράδεισε τρυφῆς, ξύλον φέρουσα μέσον, οὗ οἱ μετέχοντες βροτοὶ, πρὸς ζωὴν ἀνώλεθρον, σαφῶς διαβιβάζονται.

Ωδὴ γ'. Ἐστερεώθη τῇ πίστει.

Χαῖρε ἀστὴρ ἐν τῷ κόσμῳ. τὸν ἥλιον ἐμφαίνων, χαῖρε ἀπόρθητον τεῖχος, τοῖς πίστει βοῶσιν· ἅγιος εἶ Χριστὲ, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Χαῖρε παστὰς φωτοφόρε, τοῦ μόνου βασιλέως· χαῖρε ἡ σκέπη τοῖς πόθῳ βοῶσι Παρθένε, ἅγιος εἶ Κύριε, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Σβέσον παθῶν μου τὸ σκότος, ἁγνὴ Θεοκυῆτορ, καὶ φώτισόν με φωτί σου, πιστῶς μελῳδοῦντι· χαῖρε κόσμου γέφυρα, καὶ μέγα ἱλαστήριον.

Ἐστερεώθην τὸν θεῖον, τόκον ἐπιγνούς σου, καὶ προστασίαν Παρθένε πλουτῶ σε κραυγάζων· χαῖρε πολυύμνητε Μαρία πάντων Δέσποινα.

Ωδὴ δ'. Ἀκήκοα τὴν ἀκοήν.

Τὸ ἔνδοξον τοῦ φωτοδότου σκήνωμα, ἀνυμνήσωμεν λαοὶ, χαριστηρίοις ᾠδαῖς· χαῖρε τοῦ κόσμου, δόξα καὶ διάσωσμα.

Τὸ πάμφωτον τοῦ Ἰησοῦ παλάτιον, ἀνυμνήσωμεν πιστοὶ, ἀνακράζοντες τρανῶς· χαῖρε Παρθένε πάντων ἐγκαλλώπισμα.

Ο ἔμψυχος τοῦ βασιλέως θάλαμος, χαῖρε καύχημα πιστῶν, καὶ Προφητῶν ἡ σφραγίς· τὸ τῶν Ἀγγέλων χαῖρε ἀγαλλίαμα.

Ηδύνεται τῶν ὀρθοδόξων δῆμός σε, τὴν Πανάχραντον ὑμνῶν ὡς Θεομήτορα, σὺν τῷ Ἀγγέλῳ τὸ χαῖρε κραυγάζων σοι·

Ωδὴ ε'. Οἱ ὀρθρίζοντες λόγε·

Χαῖρε πάγκαλλε νύμφη, Πατρὸς τοῦ προανάρχου· χαῖρε ἄφθορε Μήτηρ, υἱοῦ τοῦ συνανάρχου· χαῖρε σκεῦος ἁγνὸν τοῦ ἁγίου Πνεύματος.

Χαῖρε σκέπη τοῦ κόσμου, πλατυτέρα νεφέλης· χαῖρε πύρινε στύλε, φωτίζων τοὺς ἐν σκότει· χαῖρε στάμνε χρυσῆ, τὸ μάννα χωρήσασα.

Χαῖρε τῶν Ἀποστόλων, τὸ ἀσίγητον στόμα· χαῖρε τῶν ἀθλοφόρων, τὸ ἀνίκητον θάρσος· χαῖρε τῶν Ἀσκητῶν θεῖον ἀγαλλίαμα.

Χειμαζόμενον σάλῳ, κυμάτων τῶν τοῦ βίου, χαρᾶς με πρὸς λιμένα, ὁδήγησον Παρθένε, ἡ κόσμῳ τὴν χαρὰν τέξασα τὴν ἄληκτον.

Ωδὴ, ς'. Ο Ἰωνᾶς ἐκ κοιλίας.

Χαῖρε αὐγὴ μυστικῆς καὶ θείας ἡμέρας, Πανύμνητε χαῖρε κόσμου τερπνότης· χαῖρε φωτὸς δοχεῖον· χαῖρε τεῖχος τῶν πιστῶν καὶ ὅπλον ἀρραγές.

Χαῖρε σεμνή, ἐλπὶς ἀγαθῶν αἰωνίων· ἡ ἔμψυχος τοῦ Δεσπότου καθέδρα· τὸ τῶν Ἀνάκτων κράτος· χαῖρε πύργε στερεὲ καὶ κόσμου βοηθέ.

Χειμάζει με λογισμῶν τρικυμία, πρὸς ὅρμον με ἀληθοῦς μετανοίας, κυβέρνησον Παρθένε, ἐν γαλήνῃ συντηροῦσα τὴν καρδίαν μου.

Τὸ τῶν πιστῶν Θεοτόκε ὕψωσον κέρας, καὶ τῶν ἐχθρῶν τὴν ὀφρῦν καὶ τὸ θράσος, κατάβαλε ὡς μόνη, προστασία ὑπάρχουσα πιστῶν.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

Τὸν πανοικτίρμονα Κύριον, ὑπὲρ ἡμῶν ἐκδυσώπησον, ῥύσασθαι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης παγίδος τοῦ ὄφεως.

Ὠδὴ, ζ'. Κάμινον καιομένην.

Χαῖρε τοῦ βασιλέως παλάτιον τερπνόν· χαῖρε βοήθεια τῶν μελῳδούντων ἄχραντε· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Χαῖρε τῆς εὐσεβείας ὁ πύργος ὁ στεῤῥός· χαῖρε ἡ ἀνόρθωσις τοῖς πίστει ἀνακράζουσιν· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Χαῖρε φωτεινοτάτου φωτὸς ἡ ἀστραπή· καὶ τοῖς πόθῳ μέλπουσι χαρὰ καὶ ἀγαλλίασις· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἔγειρόν με πεσόντα εἰς χάος συμφορῶν· δίδου χεῖρα Δέσποινα βοῶντι τῷ οἰκέτῃ σου· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η'. Τὸν μόνον ἄναρχον.

Ἱερωτέραν σε οὐρανίων ταγμάτων, ἐπιγινώσκοντες οἱ πιστοί σοι βοῶμεν· Πανύμνητε χαῖρε σκέπη τοῦ κόσμου· Παλάτιον χρυσοῦν τοῦ πάντων βασιλέως, χαῖρε εὐλογημένη.

Ὡς ὄντως ἄφθεγκτα καὶ ἀπόῤῥητα πάντα, καὶ ξένα λίαν καὶ βροτοῖς καὶ Ἀγγέλοις, Πανύμνητε Θεοτόκε Μαρία, ὑπάρχει τὰ τῆς σῆς φρικτῆς κυοφορίας, ἀκήρατε Παρθένε.

Ἄλλην οὐ κέκτημαι βοηθὸν ἐν ἀνάγκαις, ἐν τοῖς κινδύνοις ἑτοιμότατον ῥύστην, Πανάχραντε καὶ βεβαίαν προστάτιν· ἐν νόσοις ἰατρόν· χαρὰν καὶ εὐφροσύνην, ἐν θλίψεσι ποικίλαις.

Νεύρωσον ἄχραντε τῆς ψυχῆς μου τὸν τόκον, νενεκρωμένον ταῖς πολλαῖς ἁμαρτίαις· καὶ φώτισον μετανοίας τῷ φέγγει, ταῖς θείαις σου λιταῖς· ὅπως δοξολογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Τὸν μόνον ἄναρχον, βασιλέα τῆς δόξης, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις, καὶ φρίττουσι τῶν Ἀγγέλων αἱ τάξεις· ὑμνεῖτε Ἱερεῖς· λαὸς ὑπερυψοῦτε εἰς πάντας

Ὠδὴ θ'. Τὴν ὑπὲρ φύσιν.

Ναὸς καὶ πύλη ὑπάρχεις, καὶ καθαρώτατος θρόνος, τοῦ πάντων Δημιουργοῦ εὐλογημένη· διό σε οἱ πιστοί, κατὰ χρέος δοξάζομεν.

Ἡ ἀγεώργητος χώρα, ἡ τὸν οὐράνιον στάχυν, ἀνθήσασα ἐπὶ γῆς ἀνερμηνεύτως, ᾄσμασι

μυστικοῖς ἐπαξίως δοξάζεται.

Σβέσον παθῶν μου τὴν φλόγα, καὶ συμφορῶν τὰς ἐφόδους, διάλυσον μητρικαῖς σου ἱκεσίαις· ὅπως χαρμονικῶς μεγαλύνω σε ἄχραντε.

Θεοχαρίτωτε Κόρη, ἡ προστασία τοῦ κόσμου, κατάβαλε πολεμίων τὰς ἐπάρσεις, σώζουσα λαὸν, καὶ τὴν ποίμνην σου ἄτρωτον.

Προσόμοια. Σήμερον γρηγορεῖ ὁ Ἰούδας.

Χαῖρε ἡ βύσσος ἡ λευκοτάτη, καὶ κεκλωσμένη Πανάμωμε, βάθος νοημάτων, ἐν τῇ διανοίᾳ, κλώσασα Παρθένε, Πνεύματος ἁγίου· ἐξ ἧς ἐξυφάνθη ἡ πορφυροχρυσόμικτος, ἐπωμὶς σαρκώσεως, τῶν ἄνω δυνάμεων, τῷ ἱεραρχοῦντι καὶ τελεταρχοῦντι, Χριστῷ ὑπὲρ ἔννοιαν.

Χαῖρε ἁγνὴ κεχαριτωμένη, τὸ χαριέστατον ὄνομα, καὶ πρᾶγμα Θεοτόκε· χαρᾶς αἰωνίου, χάριεν χωρίον, τῆς τῶν προπατόρων, ἀναίρεσις· ὡς τῆς χαρᾶς τὸν αἴτιον, Παρθένε γεννήσασα, καὶ χαρὰν βραβεύουσα, παντὶ τῷ σὲ ὑμνοῦντι, δι' ἧς οὐρανὸς καὶ γῆ χαίρουσιν.

Χαῖρε ἀπαρακλήτου ψυχῆς μου, θυμηδεστάτη παράκλησις· Χαῖρε ἡ γλυκεῖα, καὶ πρωϊνὴ δρόσος· τὸ εὔκρατον χαῖρε, καὶ γαληνὸν πνεῦμα· ζεφείριος αὔρα· πνοή τε ἀναψύχουσα· λεπτόν τε Πανάχραντε, καὶ ἡδὺ ψιθύρισμα, καὶ διασυρίζον, τοὺς φλεγομένους πυρὶ τῶν θλίψεων.

Ὄνομα εὐλαβείας Παρθένε, ἐμαυτῷ ἔξω θέμενος, παίγνιον πορνείας, ἐντὸς χρηματίζω· καὶ ἀλαζονίας γέλως καθορῶμαι· θηρίοις γὰρ δυσὶν ὡς ἀντιμάχοις, παραδέδομαι ἐξ ἀπροσεξίας μου· διὸ τούτων ῥῦσαί με, σὺ γὰρ ἀγαλλίαμα, πέφυκας ψυχῆς μου καὶ πεποίθησις.

### ΑΡΧΗ ΤΟΥ πλ. Δ'. ΗΧΟΥ.

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΟΣΙΟΥ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΚΑΤΑΣΚΕΠΗΝΟΥ.

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ, α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην.

ΘΕΙΑ προνοίᾳ γεγονὼς εἰς ὕπαρξιν, καὶ κατ' εἰκόνα Θεοῦ, τὸ νοερὸν οἴμοι! τῆς ψυχῆς ἐμόλυνα, ταῖς πρὸς τὸ χεῖρον νεύσεσιν· ἀλλὰ σὺ τῆς γεέννης, ῥῦσαι Παρθένε καὶ σῶσόν με· ὅπως εὐχαρίστως δοξάζω σε.

Μεμολυσμένην μυσαροῖς ἐν πάθεσι, φέρω συνείδησιν· καὶ ὡς σαπρὸν δένδρον, βρίθω ἁμαρτήμασι· δέσποινα δὸς γενέσθαι με, ξύλον πεφυτευμένον, ἐν διεξόδοις δακρύων μου, καὶ

καρποφορῆσαι μετάνοιαν.

Καλῶν ἰδέαις τὴν ψυχήν μου κάλλυνον, ἡ καλλονὴ Ἰακώβ· ἣν ὁ Θεὸς Λόγος, ὡς καλὴν καὶ ἄμωμον, ἠγαπηκὼς ἐσκήνωσε, καὶ παθῶν εἰδεχθείας, τὸ δυσειδές με χιτώνιον, διὰ ἀπαθείας ἀπόδυσον.

Ναόν με δεῖξον τοῦ ἁγίου Πνεύματος, ἡ καθαρὰ τοῦ Θεοῦ, καὶ ἀληθὴς Μήτηρ, ἡ πανυπερθαύμαστος· σὲ γὰρ προστάτιν κέκτημαι, καὶ ὑπέρμαχον πάσαις, βιωτικαῖς περιστάσεσι· καὶ πρὸς τὸν Θεὸν πρέσβυν ἄγρυπνον.

Ωδὴ, γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Η ὑπὲρ φύσιν ἐν γαστρὶ, ἄνευ σπορᾶς συλλαβοῦσα· καὶ τὸν Λόγον ὑπὲρ λόγον τεκοῦσα, παρὰ φύσιν ἐν πολλοῖς, ἡμαρτηκότα δέξαι με· καὶ τοῖς ἀλόγοις ζώοις, ὁμοιωθέντα ἐλέησον.

Υπερνικᾷς μόνη ἁγνὴ, τοὺς γηγενεῖς ἐν ἁγνείᾳ· κἀγὼ ἐν ἀσωτίᾳ τὴν φύσιν· τῶν Ἀγγέλων ὅθεν σὺ, τιμιωτέρα πέφυκας· κἀγὼ δαιμόνων χείρων· ἀλλά με σῶσον τὸν ἄσωτον.

Εἰ καὶ κατήντησα σεμνὴ, εἰς λάκκον ταλαιπωρίας, καὶ εἰς βόθρον ἀπογνώσεως ὅλος· ἀλλ' εἰδώς σου τὴν πολλὴν, καὶ ἄμετρον συμπάθειαν, χεῖράς σοι ἀνατείνω· καὶ γοῦν οἰκτείρασα σῶσόν με.

Ινα δοξάζω εὐλαβῶς, καὶ εὐσεβῶς προσκυνῶ σε, ἐξελοῦ με τὸν ἀχρεῖόν σου δοῦλον, ἐκ παντοίων πειρασμῶν, κινδύνων τε καὶ θλίψεων, καὶ νοσημάτων Κόρη, καὶ τῆς μελλούσης κολάσεως.

Ωδὴ, δ΄. Σύ μου ἰσχύς·

Σὺ τῆς ἐμῆς, καρδίας τὸ ἀγαλλίαμα· Θεοτόκε σύ μου τὸ κραταίωμα· σύ μου τὸ καύχημα καὶ τὸ φῶς· σύ μου θυμηδία· σὺ δόξα καὶ ἐγκαλλώπισμα· ζωὴ πνοὴ γλυκύτης, ἡδονὴ εὐφροσύνη καὶ χαρὰ καὶ τρυφῆς ἡ ἀπόλαυσις.

Εκ ῥυπαρῶν, δέχου χειλέων ἐγκώμια, ἡ ἁγία Κόρη καὶ Πανύμνητος· καὶ καταφύγιον ἀψευδές, τῷ κατεγνωσμένῳ, γενοῦ μοι καὶ ἱλαστήριον· καὶ ῥῦσαί με τοῦ ᾅδου, τῆς πικρᾶς καταδίκης, ταῖς πρεσβείαις σου Θεοχαρίτωτε.

Η τῶν πιστῶν μόνη ἑτοίμη βοήθεια, βοηθείας χεῖρα ἡμῖν ἔκτεινον, καὶ ὑπερμάχησον τῆς ἡμῶν, Κόρη εὐτελείας, καιρῷ πολέμου δεόμεθα· φωναῖς χαριστηρίοις, ὅπως ἀδιαλείπτως, τὴν θερμήν σου ὑμνῶμεν ἀντίληψιν.

Καταπειθὴς, τῷ πράττειν φαῦλα γενόμενος, ἐκ τοῦ πράττειν, ἦλθον εἰς συνήθειαν· ἐκ συνηθείας δὲ εἰς φιλὴν, διάθεσιν εἶτα, ἐκ διαθέσεως ἔφθασα, εἰς ἕξιν ἡ δὲ ἕξις, οἷα φύσις δευτέρα, ἐγκειμένη τὸ ἔθος ὡς χρέος ζητεῖ.

Ωδὴ, ε΄. Ἵνα τί με ἀπώσω.

Ραθυμίας τῷ ὕπνῳ, καὶ τῆς ἀμελείας τῷ κάρῳ βαρούμενος, ἀναισθήτως ἔχω, καὶ ἐν ζόφῳ παθῶν περιφέρομαι· ἀλλὰ φώτισόν μου, τοὺς ὀφθαλμοὺς φωτὸς ἡ πύλη· ἵνα μὴ ἀφυπνώσω εἰς θάνατον.

Σοὶ προσπίπτω καὶ κράζω, νέκρωσον Πανάμωμε τὴν βασιλεύουσαν, ἐν ἐμοὶ καὶ ζῶσαν, ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μαρτίαν νοὸς ἀῤῥωστήματι· καὶ ζωῆς με θείας, ἐν μετοχῇ ποίησον Κόρη, νεκρωθέντα σαρκὸς τῷ φρονήματι.

Νεανίας ἀφλέκτους, τρεῖς ἐν φλογοτρόφῳ χωρίῳ χορεύοντας, καὶ καταπατοῦντας, ἡδονῶν τὴν παφλάζουσαν κάμινον, τῆς ψυχῆς μου δεῖξον, τὸ τριμερὲς ἡ τῆς Τριάδος, τῆς ἁγίας τὸν ἕνα γεννήσασα.

Ομβροτόκον νεφέλην, ὕδωρ ἐπιῤῥαίνουσαν τῆς ἐπιγνώσεως, καὶ τοὺς ἐκτακέντας, ἀγνωσίας φλογμῷ καὶ ἐκλείποντας, ἀναψυχοῦσάν τε, καὶ δροσερῶς ἀνακτωμένην, σὲ γινώσκομεν Κόρη Πανύμνητε.

Ωδὴ, ς'. Ἱλάσθητί μοι.

Αθέων Ἀγαρηνῶν, τὰ βέλη σύντριψον Δέσποινα, καὶ πᾶσαν ἐπιβουλὴν, δαιμόνων ματαίωσον, λαὸν χριστεπώνυμον, σκέπων καὶ φυλάττων· ἵνα πόθῳ σε δοξάζωμεν.

Μαρία τὸ καθαρὸν, καὶ πάνσεπτον ἐνδιαίτημα, τοῦ πάντων Δημιουργοῦ, ψυχῆς καθαρτήριον, παράσχου μοι δάκρυον, καὶ ἐπάκουσόν μου, τῆς δεήσεως Πανάμωμε.

Παλάτιον νοητὸν, τοῦ βασιλέως γεγένησαι· διό σε ἐκδυσωπῶ, ἀνάδειξον οἶκόν με· τῆς Τριάδος Δέσποινα, τὰ ζοφώδη πάθη, τῆς ψυχῆς μου ἀπελαύνουσα.

Λαμψάτω νῦν ἐπ' ἐμὲ, ἡ ἄφατος εὐσπλαγχνία σου, βυθοῦ με ἁμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Κάθισμα. Τὸ ἀσάλευτον στήριγμα.

Τὸ οὐράνιον σέβασμα τῶν δυνάμεων· καὶ ἐγκόσμιον ὕψωμα τῶν ψυχῶν ἡμῶν, τὴν Μητροπάρθενον Κόρην εὐφημήσωμεν πιστοί· χαῖρε ἡ τὸν Ἀγγέλων Ποιητὴν ἐν μήτρᾳ βαστάσασα· χαῖρε ἡ τῶν πταιόντων ἱλασμὸν, Θεὸν Λόγον σαρκώσασα· χαῖρε νύμφη ἀνύμφευτε.

Ωδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ο καρπὸς Θεοτόκε, τῆς σεπτῆς σου νηδύος ἡμᾶς ἐζώωσε, καρπῷ θανατωθέντας· διό σε κατὰ χρέος, ἀνυμνοῦντες κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Υπὲρ φύσιν καὶ λόγον, τὸν Δεσπότην τῶν ὅλων ἐκυοφόρησας, καὶ τρέφεις ἐκ μαζῶν σου, τὸν πᾶσιν εὐκαιρίας, ἑτοιμάζοντα τράπεζαν· ὃν ἐκτενῶς ἀγαθὴ ὑπὲρ ἡμῶν δυσώπει.

Νηπιόφρονα γνώμην· καὶ ἀβέβαιον φρένα, καὶ λογισμὸν ἀτελῆ, Παρθένε κεκτημένος, τοῦ χείρονος τὸ κρεῖττον, οὐ προκρίνω ὡς νήπιος· αὐτή μοι δὸς ἀνδρικῶς, φρονῆσαι τὸ συμφέρον.

Αειπάρθενε Κόρη, ἡ Θεὸν σαρκωθέντα ἡμῖν κυήσασα, πολλαῖς κυριευθεῖσαν, ἀτόποις ἁμαρτίαις τὴν ψυχήν μου διάσωσον, εὐλογημένη ἁγνή· ἵνα σε μακαρίζω.

Ωδὴ, η'. Ἑπταπλασίως κάμινον.

Γόνυ ποτὲ μὴ κλίναντες, παρανόμῳ σεβάσματι, παῖδες εἰς πυρὰν, τὴν ἐπηρμένην βέβληνται, καὶ μένουσιν ἄφλεκτοι· ταῖς ἡδοναῖς ἐγὼ δὲ πεισθεὶς, μέλλω τῷ πυρὶ, τῷ αἰωνίῳ βληθῆναι· καὶ κόπτεσθαι καὶ κλαίειν· ἀλλὰ φεῖσαί μου Κόρη, διδοὺς ἐπιστροφήν μοι,

ταῖς θείαις σου πρεσβείαις.

Αἱ ἡδοναὶ τοῦ σώματος, καὶ κινήσεις αἱ ἄτακτοι, καὶ παραλλαγαὶ τῆς φυσικῆς συστάσεως, ἀθλίως τελούμεναι, τῷ ἀκαμήτῳ σκώληκι, πέμπουσι τοὺς ταύταις, ἐπιμένοντας πάντη, καὶ μὴ μετανοοῦντας· τί ποιήσω ὁ τάλας! πρὸς σὲ οὖν καταφεύγω· οἰκτείρησόν με Κόρη.

Η δεξαμένη ἄχραντε, πῦρ τὸ θεῖον ἐν σπλάγχνοις σου, φλέξον τῶν παθῶν μου, πᾶσαν ὕλην δέομαι· τὸν νοῦν μου καταύγασον· καὶ τὴν καρδίαν λάμπρυνον· καὶ ἀναβοῶντα, πάσης λύτρωσαι βλάβης· οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ο κατοικήσας Κύριος, τὴν ἀμόλυντον μήτρα σου, ἄλλον οὐρανόν σε, ἐπὶ γῆς ἀνέδειξε, Μαρία Πανύμνητε· ὅθεν πιστῶς κραυγάζω σοι, πάντων τῶν τῆς γῆς με, πειρασμῶν καὶ κινδύνων, διάσωσον καὶ πάσης, προσβολῆς τῶν δαιμόνων, καὶ νόσων καὶ πταισμάτων, ἁγία Θεοτόκε.

Ὁ Εἱρμός.

Επταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς Θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τὸν Δημιουργὸν καὶ λυτρωτὴν ἀνεβόα· οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε.

Ωδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Εν πάσῃ τῇ ζωῇ μου Κόρη ἁγνὴ, ἀντιλαμβανομένη περίθαλπε, τὴν ταπεινὴν, καὶ πολυαμάρτητόν μου ψυχήν· ἐν τῷ καιρῷ δε μάλιστα, τῷ τῆς διαζεύξεως καὶ τομῆς, τῆς ἀπὸ τοῦ δυστήνου, σαρκίου τοῦ ῥοώδους, καὶ λυομένου δίκην κόνεως.

Επίφανόν μοι τότε Μῆτερ Θεοῦ, τὸ τῆς σῆς ἀντιλήψεως πρόσωπον, καὶ τῶν ἐχθρῶν, πρόσωπα ζοφώδη καὶ εἰ δεχθῇ, τῶν συλλαβεῖν θελόντων με, καὶ διασπαράξαι θηριωδῶς, πλήρωσον ἀτιμίας, ὁδῷ τῶν σωζομένων, ἡ ὁδηγός μου ὁδηγοῦσά με.

Γενοῦ μοι προστασία ἐν πειρασμοῖς, ἐν ἡμέρᾳ ὀργῆς ἀπροσμάχητος, πύργος ἁγνὴ· ἐν ἐπιβουλῇ μόνη βοηθὸς, ἐν συμφοραῖς ἀντίληψις, ἔχουσα τὸ δύνασθαι ἀγαθὴ, ὡς Μήτηρ τοῦ ὑψίστου, ἰσχύεις ἀκωλύτως, ὅσα γὰρ θέλεις Θεονύμφευτε.

Υψώθη ἐδοξάσθη γένος βροτῶν, καὶ τιμῆς ἠξιώθη τῆς κρείττονος, διὰ τῆς σῆς, Κόρη συγγενείας καὶ θεϊκῆς, υἱοθεσίας ἔτυχε· τῇ σῇ μεσιτείᾳ καὶ γὰρ Θεὸς, ὡράθη σαρκοφόρος, ἐκ σοῦ ἀῤῥήτῳ τρόπῳ, ἄτρεπτος μείνας τῇ Θεότητι.

Προσόμοια. Ω τοῦ παραδόξου θαύματος.

Χαῖρε πανάγιον τέμενος, τοῦ βασιλέως Χριστοῦ· Χαῖρε βάθος ἀμέτρητον· Χαῖρε ὕψος ἄῤῥητον, καὶ Ἀγγέλοις ἀγνώριστον· τῶν βασιλέων χαῖρε διάδημα· καὶ ἱερέων, καύχημα τίμιον· Χαῖρε ὁλόφωτε· Χαῖρε παν ακήρατε· Χαῖρε πιστῶν, ἀπόρθητον ἔρεισμα, καὶ πύργε ἄσειστε.

Χαῖρε πολύευκτον ὄνομα· Χαῖρε χρυσῆ κιβωτέ· Χαῖρε πένθους ἀναίρεσις· καὶ χαρᾶς ἀνέγερσις, Θεοτόκε Πανύμνητε· τὸ τῶν δακρύων χαῖρε λυτήριον· τῆς εὐφροσύνης χαῖρε ἡ

εἴσοδος· Χαῖρε ἀπείρανδρε· Χαῖρε Μήτηρ ἄνυμφε καταφυγὴ, πάντων καὶ ἀντίληψις, τῶν προστρεχόντων σοι.

Χαῖρε παγκόσμιον καύχημα· Χαῖρε λυχνία χρυσῆ, φωταυγὴς καὶ ὑπέρλαμπρε· Χαῖρε θεία γέφυρα, πρὸς ζωὴν ἡ μετάγουσα, τοὺς νεκρωθέντας τοῖς παραπτώμασι, καὶ πρὸς τὰ πάθη κατολισθήσαντας· Χαῖρε ἀμίαντε· Χαῖρε τὸ ἀκένωτον ῥεῖθρον ζωῆς, πηγὴ ἡ πηγάσασα· Χαῖρε πανθαύμαστε.

Σάρκα λαβὼν ἐξ αἱμάτων σου, ὁ πρὸ αἰώνων Θεὸς, σὲ προστάτιν ἀνέδειξε, τῶν ἀνθρώπων ἄχραντε· διὸ ῥῦσαι τοὺς δούλους σου, πάσης ἀνάγκης καὶ περιστάσεως, καὶ τῶν παγίδων τοῦ πολεμήτορος· καὶ τῆς ἐλλάμψεως, μετασχεῖν ἀξίωσον τῶν ἐκλεκτῶν, πάντας τοὺς δοξάζοντας καὶ προσκυνοῦντας σε.

## ΤΗ ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΦΑΝΟΥΣ ΝΙΚΑΙΑΣ ΤΟΥ ΓΡΑΠΤΟΥ·

Ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ωδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

ΑΠΟ χειλέων ῥυπαρῶν ἐφύμνιον, δέχου Πανάμωμε, ὡς πρὶν ὁ υἱός σου, Θεός μου καὶ Κύριος, τῆς χήρας κατεδέξατο, τὰ λεπτὰ καὶ τὴν λύσιν, τῶν ὀφλημάτων παράσχου μοι· ὅπως κατὰ χρέος γεραίρω σε.

Λόγον Θεοῦ σωματωθέντα τέτοκας, τὸν πρὶν ἀσώματον, θεανδρικῶς κόσμῳ, συναναστρεφόμενον, ὑπερφυῶς Πανάμωμε Θεοτόκε Μαρία· διό σε πάντες γεραίρομεν, καὶ χρεωστικῶς μακαρίζομεν.

Τὸ Θεοτόκον σε κηρύττειν ἄχραντε, πάσης αἱρέσεως· ἀποτροπὴν φέρει· σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως τέτοκας, τὸν ἐπέκεινα φύσει, Θεογεννῆτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Θεοκυῆτορ Μαριὰμ θεώσεως, τετύχηκε διὰ σοῦ, ἡ ταπεινὴ φύσις, τῶν βροτῶν καὶ ῥέουσα· ἐν σοὶ γὰρ νυμφευσάμενος, ὁ Θεός μου τὴν σάρκα, ἐνυποστάτως ἐλάμπρυνε, καὶ εἰς οὐρανοὺς ἀνεβίβασεν.

Ωδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Πύλη ἐδείχθης νοητὴ, ἀνατολῆς τῆς ἐξ ὕψους, ἐν τῇ γῇ φανερωθείσης Παρθένε· διὰ σοῦ γὰρ πρὸς ἡμᾶς, ὁ λόγος εἰσελήλυθεν, ἐπὶ τῷ σῶσαι πάντας, τῆς ἀλογίας Πανάχραντε.

Ῥάβδον βλαστήσασαν Χριστὸν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάν-

πες, σὲ γινώσκομεν ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα Θεοχαρίτωτε.

Σωτηριώδους δι' ἡμᾶς, τοῦ Λόγου οἰκονομίας, φωτεινὴ σὺ Μητροπάρθενε πύλη, ἐγνωρίσθης ἀληθῶς· σὺ γὰρ ἡμῖν εἰσήγαγες, τὴν νοητὴν ἀκτῖνα, τῆς ὑπερθέου Θεότητος.

Ἐπὶ τὴν ἄχραντον νηδύν, ὡς ὑετὸς ἐπὶ πόκον, σοῦ κατέβη ὁ Θεός μου Παρθένε, καὶ ἐδρόσισεν ἡμᾶς τοὺς ἐκτακέντας καύσωνι, τῆς ἁμαρτίας δρόσῳ, φιλανθρωπίας καὶ χάριτας.

Ὠδή, δ'. Σύ μου ἰσχύς.

Σὺ ἀληθής, τῆς σωτηρίας ὑπόθεσις, Θεομῆτορ μόνη ἐχρημάτισας, τῷ Ποιητῇ καὶ Δημιουργῷ, ἐκ τῶν σῶν ἀχράντων, αἱμάτων σάρκα δανείσασα· δι' ἧς αἱ τοῦ θανάτου, συνετρίβησαν πύλαι, καὶ ζωὴ τοῖς ἀνθρώποις δεδώρηται.

Νεοθαλής, ἀθανασίας Παράδεισος, καὶ ὡραῖος ὄντως ἀναδέδειξαι, ξύλον ζωῆς ἐν σοὶ φυτευθέν, θεαρχικωτάτως, κυοφοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

Δαβιτικῆς, ἐκ βασιλίδος βλαστήσασα, συγγενείας τὸν παμβασιλεύοντα, καὶ πρὸ αἰώνων ἐκ τοῦ Πατρός, λόγον ἀπορρήτως, καὶ ὑπὲρ νοῦν ἀναλάμψαντα· ἐγέννησας Παρθένε· Θεοτόκον διό σε, θεοφρόνως πιστοὶ καταγγέλλομεν.

Ὁ Πλαστουργός, ἐκ τοῦ αἰῶνός σε εὕρατο, ἐν κοιλάδι, κρῖνον καθαρώτατον, ταῖς ἀρεταῖς λάμπουσαν σεμνή· βάθει τῆς ἁγνείας, εὐρύτητι τῆς σεμνότητος, καὶ ὕψωσεν ἐν γένει, τῶν ἀνθρώπων διό σε, ὡς Μητέρα τοῦ Κτίστου δοξάζομεν.

Ὠδή, ε'. Ἵνα τί με ἀπώσω.

Στρατηγίαι τῶν ἄνω, Πάναγνε Δυνάμεων σὲ μακαρίζουσι· γενεαὶ δὲ πᾶσαι, τῶν ἀνθρώπων ἀξίως δοξάζουσι· διὰ σοῦ γὰρ μόνης, οἱ ἐπὶ γῆς τοῖς οὐρανίοις, συναφθέντες ὑμνοῦμεν τὸν τόκον σου.

Τὴν ἀθάνατον φύσιν, ἡ θνητὴ παρέδραμεν εἰς ἁγιότητα, καὶ Παρθένος Κόρη, τοὺς ἀσάρκους Ἀγγέλους παρήλασεν· ὡς Θεὸν τεκοῦσα, τὸν βασιλέα τῶν Ἀγγέλων· ᾧ προσβλέπειν ἐκείνοις ἀδύνατον.

Τῶν πιστῶν ἡ προστάτις, τεῖχος ἀκατάλυτον τῶν εὐφημούντων σε· ἡ παντὶ τῷ γένει, τῶν ἀνθρώπων φανεῖσα σωτήριος, ὡς Θεὸν τεκοῦσα, σωματικῶς ἐπιφανέντα, τὴν ψυχήν μου διάσωσον Πάναγνε.

Φωτεινήν σε νεφέλην, φέρουσα τὸν ἄδυτον ἥλιον Δέσποινα, οἱ βροτοὶ εἰδότες, ἀνυμνοῦμεν καὶ πόθῳ γεραίρομεν· τὴν γὰρ ἀμορφίαν, τὴν ἐν Ἀδὰμ ἀμαυρωθεῖσαν, ἀνεμόρφωσας θείαις λαμπρότησιν.

Ὠδή, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ὁ θρόνος ὁ τοῦ Θεοῦ, τῶν Χερουβὶμ ὁ ὑπέρτερος· νεφέλη ἡ τοῦ φωτός, ψυχῆς μου τὰ ὄμματα, Παναγία φώτισον, καὶ παθῶν ἀχλύος, τὴν καρδίαν μου καθάρισον.

Ἡ μήτηρ τοῦ λυτρωτοῦ· καὶ τῶν κτισμάτων βασίλισσα, αἰχμαλωσίᾳ δεινῇ, ληφθέντα με

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λύτρωσαι, Μαρία Πανάμωμε· καὶ τῆς βασιλείας, τοῦ υἱοῦ σου καταξίωσον.

Η κλῆσίς σου ἀληθῶς, ψυχῶν ὑπάρχει καθάρσιον· καὶ ῥυπαρῶν λογισμῶν, ἐστιν ἐλατήριον, καὶ φυγαδευτήριον, πονηρῶν πνευμάτων, Θεοτόκε ἀειπάρθενε.

Ασμάτων ᾆσμα σὺ εἶ, Θεοχαρίτωτε Δέσποινα· Ἀγγέλων ἡ καλλονή· βροτῶν ἡ ἀνάπλασις· Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον, τὸν τὰς φύσεις μεταλλάττοντα.

Κάθισμα. Τὴν σοφίαν καὶ λόγον.

Δεῦτε πάντα τὰ ἔθνη Θεοπρεπῶς, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, ὑμνήσωμεν λέγοντες· χαῖρε θρόνε πυρίμορφε, τοῦ Δεσπότου τῶν ὅλων, Χριστοῦ τοῦ Παντάνακτος· χαῖρε μόνη Κυρία, ἁπάσης τῆς Κτίσεως· χαῖρε τὸ δοχεῖον, τῆς ἁγίας Τριάδος· Πατρὸς Υἱοῦ καὶ Πνεύματος, τὸ λαμπρὸν καὶ ἀκήρατον, Μαριὰμ Θεοδόξαστε· πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς σοὶ προστρέχουσι πίστει, καὶ πόθῳ ὑμνοῦσί σε.

Ωδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ θείου διὰ σοῦ Πάναγνε· σὺ γὰρ πύλη ἐφάνης, δι' ἧς τῷ κόσμῳ Θεὸς ὡμίλησε, καταφωτίζων τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Συνέλαβες ἄχραντε, τὸν ἐπὶ πάντων Θεὸν καὶ Κύριον, εὐδοκήσαντα σῶσαι, τὸ τῶν ἀνθρώπων γένος θανάτου φθορᾶς· ὃν ἐπαξίως ὑμνοῦντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Παλάτιον ἔμψυχον, τοῦ βασιλέως Χριστοῦ Πανύμνητε· χαῖρε στάμνε τὸ Μάννα, ἐν τῇ γαστρί σου θείως βαστάσασα, τὸ διατρέφον τοὺς πόθῳ κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νυμφῶνα πανάχραντον, τῆς ὑπὲρ λόγον θείας σαρκώσεως, καὶ παστάδα καὶ θρόνον, ὀρθὰ φρονοῦντες σὲ ὀνομάζομεν· καὶ γεγηθότες τῷ τόκῳ σου ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς ὁ ὁ τῶν Πατέρων ἡμῶν,

Ωδὴ η'. Ἑπταπλασίως.

Θεογεννῆτορ Δέσποινα, τῶν πιστῶν τὸ κραταίωμα· ταῖς πρὸς τὸν υἱόν σου, μητρικαῖς δεήσεσιν, αὐτόν μοι ἱλέωσον, τὸν ἀληθῶς εὐΐλατον· καὶ ἁμαρτιῶν μου, τὸ χειρόγραφον ῥῆξον· καὶ δεῖξον Παναγία, σωζομένων με κλήρου· ἵνα σε μεγαλύνω εἰς πάντας τοὺς αἰῶνας.

Η ἐν ἀνάγκαις σώζουσα, καὶ θερμῶς προστατεύουσα, πάντων τῶν ἐν θλίψει, Παναγία Δέσποινα, σπλαγχνίσθητι σῶσόν με, καὶ πεπτωκότα ἔγειρον, χεῖρα βοηθείας, πρὸ τοῦ τέλους διδοῦσα· μὴ νύξ με τοῦ θανάτου, καταλάβῃ ὑπνοῦντα, ἵνα σε κατὰ χρέος δοξάζω εἰς αἰῶνας.

Αλλην ἐκτός σου Δέσποινα, βοηθὸν οὐκ ἐπίσταμαι· πλήν σου πρὸς Θεὸν, καταλλαγὴν οὐ κέκτημαι· ἐλέησον ἄχραντε, ἐμὲ τὸν ἀπολλύμενον, διὰ τὰς ἐκ βρέφους, ἀθεμίτους μου πράξεις· καὶ σῶσόν με βοῶντα χαῖρε εὐλογημένη· χαῖρε δεδοξασμένη εἰς πάντας τοὺς αἰῶνας.

Οὐρανομήκη κλίμακα, νοητήν σε γινώσκομεν· δι᾽ ἧς καταβὰς, μετὰ σαρκὸς ὁ ὕψιστος, ἀνθρώποις ὡμίλησε, καὶ ταπεινοὺς ἀνύψωσε, πρὸς τὴν ὑψηλὴν, τῶν οὐρανῶν πολιτείαν· ἐντεῦθεν ἀνωτέραν, οὐρανῶν καὶ Ἀγγέλων, καὶ πάντων ποιημάτων κηρύττομέν σε Κόρη.

ὁ Εἱρμός.

Επταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τὸν Δημιουργὸν καὶ λυτρωτὴν ἀνεβόα. οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε· λαὸς

Ωδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Τὸν θρόνον τοῦ Δεσπότου τὸν ὑψηλὸν· τὴν καθέδραν Χριστοῦ τὴν περίδοξον· τὸν εὐαγῆ, θάλαμον τὸ πάγχρυσον ἱερὸν, τὸ Θεοδόχον τέμενος, τὴν παντοβασίλισσαν Μαριάμ· τὴν δόξαν τῶν Ἀγγέλων· βροτῶν τὴν σωτηρίαν, πάντες πιστοὶ ἀνευφημήσωμεν.

Τὸν πάντων Βασιλέα καὶ Ποιητὴν, συλλαβοῦσα Παρθένε ἐκύησας· καὶ νῦν ἰδοὺ, οἷά περ βασίλισσα δεξιᾷ, τούτου ἁγνὴ παρίσταται· ὅθεν δυσωπῶ σε ἀριστερᾶς, μερίδος λύτρωσαί με, ἐν ὥρᾳ τῇ τῆς δίκης· καὶ δεξιοῖς προβάτοις σύνταξον.

Ἀΰλων ἐκ λειμώνων τῶν τῆς ψυχῆς, τῶν ᾀσμάτων τὰ ἄνθη δρεψάμενος, καὶ τῇ ῥοῇ, μίξας τῶν δακρύων μου ἐν πυρὶ, τῷ τῆς καρδίας ἕψησα, Δέσποινα καὶ μῦρον ἐσκευακὼς, τὸν ὕμνον ὡς ἡ πόρνη, τοὺς σοὺς ἀχράντους πόδας, ἐν τούτῳ βρέχω κράζων σῶσόν με.

Σωτήριος γενοῦ μοι πύργος ἁγνὴ, τῶν δαιμόνων ἀπείργων τὰς φάλαγγας, καὶ πειρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν· καὶ τῶν παθῶν τὴν ἔφοδον, πόῤῥω ἀπελαύνων καὶ καθαρὰν, διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων, τὴν ἀφθονίαν παρεχόμενος.

Προσόμοια. Ω τοῦ παραδόξου θαύματος.

Χαῖρε πηγὴ ἡ ζωῤῥύτος· χαῖρε λαβὶς νοητὴ, ἡ τὸν θεῖον καὶ ἄσβεστον, ἐν κοιλίᾳ φέρουσα, Ἡσαΐας ὃν ἔβλεψε, Θεογεννῆτορ ἄνθρακα ῥύπτοντα, παντὸς τοῦ κόσμου τὰ ἁμαρτήματα· Χαῖρε περίδοξον, ἄκουσμα καὶ λάλημα, χαῖρε σεμνή· Χαῖρε θεῖον οἴκημα, καὶ ὄρος ἅγιον.

Χαῖρε Παρθένε Πανάμωμε· Χαῖρε ζωῆς θησαυρέ· Χαῖρε ὄρος κατάσκιον· Χαῖρε στύλε πύρινε, καὶ νεφέλη ὑπέρφωτε· παντὸς ῥυπώδους χαῖρε καθαίρεσις· χαῖρε τοῦ κόσμου ἡ ἀνακαίνισις· Χαῖρε ἀνύμφευτε· Χαῖρε Μήτηρ ἄχραντε· Χαῖρε φλογμὸν, σβέσασα τῷ τόκῳ σου· Χαῖρε ἡ πάντων ἐλπίς.

Χαῖρε ἁγνείας θησαύρισμα· Χαῖρε φωτὸς καθαρὸν, καὶ φαιδρὸν ἐνδιαίτημα· Χαῖρε στάμνε πάγχρυσε· καὶ παλάτιον ἔμψυχον, τοῦ βασιλέως θρόνε πυρίμορφε· εὐλογημένη χαῖρε ἀπείρανδρε· Χαῖρε πανάσπιλε· Χαῖρε καταφύγιον· Χαῖρε ἁγνή· Χαῖρε Θεοδόξαστε· χαῖρε ἡ πάντων χαρά.

Σῶμα ψυχὴν καὶ τὸ πνεῦμά μου, πάσαις δειναῖς ὁ δεινὸς, ἐργασίαις ἐμόλυνα, τὸ μὲν σῶμα πάθεσι, παραδοὺς τῆς αἰσχρότητος· ψυχὴν δὲ πᾶσιν ἐπιτηδεύμασι, πονηροτάτοις οἷς περ συνέζησα· αὖθις τὸ πνεῦμα δὲ, ἐπηρμένοις ἤθεσι καὶ σκολιοῖς, Δέσποινα φρονήμασιν· ἐξ ὧν με λύτρωσαι.

# ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ·

Οὗ ἡ ἀκροστιχίς·

Θρῆνος βροτοῖς πέφυκεν ἐκ Θεοῦ χάρις.

Ὠδὴ, α΄. ἦχος πλ. δ΄, Ὑγρὰν διοδεύσας.

ΘΡΗΝΩΔΗ τὸν βίον Μῆτερ Θεοῦ, στενὸν καὶ πικρόν τε, καὶ δακρύων πλήρη μοι δός· ὅπως ἀποπλύνω μου τὸν ῥύπον, καὶ καθαρὸς τῷ Κριτῇ παραστήσωμαι.

Ῥευστῆς καὶ γεώδους καὶ ῥυπαρᾶς, τυχὼν συζυγίας, οὐκ ᾐδέσθην τὸ τῆς ψυχῆς, λαμπρότατον κάλλος Θεομῆτορ, ἀλλ' ἡδοναῖς ἠχρειώθην τοῦ σώματος.

Ἡ πύλη τῆς θείας ἀνατολῆς, ἄνοιξόν μοι πύλας, μετανοίας καὶ ἐκ πυλῶν, τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαί με Δέσποινα.

Νηστείᾳ καὶ δάκρυσι καὶ κλαυθμῷ, Θεὸς ἱλεοῦται, Θεομῆτορ τοῖς κατ' ἐμὲ, ἀφρόνως αὐτὸν λελυπηκόσιν, ὅν μοι πρὸ τέλους ἱλέωσαι Δέσποινα.

Ὠδὴ, γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανίων Ἀγγέλων, λειτουργικὰ πνεύματα, ἐπὶ τῇ ἐμῇ καταπτώσει πικρῶς ἐθρήνησαν· καὶ ἐπεγέλασαν, τῶν ἀερίων δαιμόνων, τὰ ζοφώδη πνεύματα Θεογεννήτρια.

Συμμετρίᾳ τῶν πόνων τοῖς ταπεινοῖς ἄχραντε, τὸ τῆς ἀρετῆς γεωργεῖται μέλι πανθαύμαστον· διὸ ἐνίσχυσον, τὴν παναθλίαν ψυχήν μου, ταπεινῷ φρονήματι ἐμπολιτεύεσθαι.

Βασιλέως θυγάτηρ καὶ ἀληθῶς Δέσποινα, καὶ παμβασιλέως Δεσπότου Μήτηρ ὑπάρχουσα, τὴν βασιλεύουσαν, νῦν ἐπ' ἐμοὶ ἁμαρτίαν, οἷα δούλην ἄτιμον μακρὰν ἐξόρισον.

Ῥαντισμῷ τῶν δακρύων τὸ δυσειδὲς Δέσποινα, τῶν ἁμαρτιῶν μου καθάρισον καὶ ἀπόπλυνον, τὰ σεσηπότα μου, καὶ ἀποζέσαντα ἕλκη, καὶ ὑγείαν δέομαι δός μοι τῷ δούλῳ σου.

Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Οἱ πεσόντες ἀνάστητε· ὁ Χριστὸς κελεύει μὴ ἀντιτείνωμεν· ἀλλὰ μᾶλλον προσληψώμεθα, τὴν αὐτοῦ Μητέρα πρὸς συμπάθειαν.

Τίς τὸν Πέτρον διέσωσε; πάντως ἡ μετάνοια Θεονύμφευτε, καὶ λῃστὴν πόρνην καὶ ἄσωτον· οὓς με μιμηθῆναι καταξίωσον.

Ὁ τοῖς πᾶσιν ἀχώρητος, Πάναγνε χωρεῖται ἐν τῇ νηδύϊ σου, διασώζων με χρηστότητι, τὸν βεβυθισμένον ἁμαρτήμασιν.

Ἱκετεύω σε Δέσποινα, μὴ ἐγκαταλίπῃς με ὥρᾳ θλίψεως, ἀλλὰ ἵλεώς μοι φάνηθι, καὶ τῆς

τῶν δαιμόνων ῥῦσαι τρώσεως.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Στολὴν τὴν τοῦ βαπτίσματος ἀχρειώσαντι, πολλῶν τῶν δακρύων μοι, χρεία τοῦ ταύτην καθάρασθαι.

Πλανώμενον τὸν νοῦν μου τοῦ κόσμου τῇ φαντασίᾳ, σὺ τοῦτον ἐπίστρεψον, φόβῳ κολάσεως Δέσποινα.

Ἐπίβλεψον εἰσάκουσον δέομαι, τῆς φωνῆς μου καὶ πάσας ἐξάλειψον, τὰς ἁμαρτίας μου Πάναγνε.

Φωτὶ τοῦ σοῦ προσώπου με λάμπρυνον, τὸν σὸν δοῦλον νύμφη ἡλιόμορφε, ἐσκοτισμένον τοῖς πάθεσιν.

Ὠδὴ ς΄. Χιτῶνα μοι παράσχου.

Ὑμνεῖν ἀδιαλείπτως τὸν Θεόν, Παρθένε ὀφείλομεν, καρδίᾳ καὶ στόματι· ἀλλ᾽ ἡμεῖς τῇ ῥαθυμίᾳ κρατούμεθα.

Κινδύνων πολυπλόκων καὶ δεινῶν, ἁγνὴ περιστάσεων, νῦν τῶν λυπούντων με, ἐξελοῦ τὸν ἀθλιώτατον δοῦλόν σου.

Ἐν ὥρᾳ τοῦ θανάτου μου σεμνή, βοήθεια φάνηθι· καὶ ῥῦσαι δαιμόνων με πονηρῶν τῶν ἐκζητούντων ἁρπάσαι με.

Νηστεύσωμεν ὡς ἔχομεν καιρόν· κλαύσωμεν πενθήσωμεν· ἵνα τρυφήσωμεν, καὶ χορεύσωμεν ἐκεῖσε αἰώνια.

Κάθισμα. Ἀνέστης ἐκ νεκρῶν.

Ὁ Λόγος τοῦ Πατρός, ἐν τῷ κόσμῳ κατῆλθε· καὶ Ἄγγελος φωτός, τῇ Παρθένῳ ἐβόα· χαῖρε εὐλογημένη, ἡ παρθενίαν μόνη φυλάξασα· χαῖρε ἡ συλλαβοῦσα, τὸν πρὸ αἰώνων Θεὸν καὶ Κύριον· ἵνα τῆς πλάνης σώσῃ ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐκ χειμῶνος τὸ ἔαρ· καὶ ἐκ ζάλης γαλήνη ἁγνὴ προέρχεται· ἐκ ζόφου δὲ πταισμάτων, τὸ φῶς τῆς ἀπαθείας, μετανοίᾳ εἰσέρχεται· οἱ ἐμπαθεῖς τοιγαροῦν θαῤῥῶμεν μεταγνόντες.

Κυριώνυμε Κόρη, ἡ Θεὸν σαρκωθέντα ἡμῖν κυήσασα, πολλαῖς κυριευθεῖσαν, ἀτόποις ἁμαρτίαις, τὴν ψυχήν μου διάσωσον, εὐλογημένη ἁγνή, ἵνα σε μακαρίζω.

Θρόνος πύρινος ὤφθης· καὶ παλάτιον θεῖον τοῦ παντοκράτορος· τοῦ Κόσμου σωτηρία· καὶ σκέπη τοῖς βοῶσι, τῷ υἱῷ σου Πανάμωμε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐξ ἱδρώτων καὶ κόπων, στεναγμῶν τε καρδίας Θεογεννήτρια, συναίσθησις γεννᾶται· ἀπάθεια δ᾽ ἐκ ταύτης· ἧς καὶ φθᾶσαι τοὺς πρόποδας, ἀξιωθείην ἐγώ, ὁ πταίσας ὑπὲρ πάντας.

Ὠδὴ, η΄. Τὸν βασιλέα.

Ὁ βασιλεύς, μὲν τῶν οὐρανῶν θέλει πάντας, τὴν αὐτοῦ πληρῶσαι βασιλείαν· ἡμεῖς δὲ Παρθένε τὴν γέενναν ποθοῦμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Υπὲρ τὴν κτίσιν, Κόσμου παντὸς Θεομῆτορ, τοῦ παντὸς ὁ Κτίστης τῶν ἀνθρώπων, τῶν ἁμαρτανόντων ποθεῖ τὴν σωτηρίαν.

Χριστοῦ παθόντος, ὑπὲρ ἡμῶν χρεωστοῦμεν, καὶ ἡμεῖς παθεῖν ὑπὲρ ἐκείνου, καὶ πάθη νεκρῶσαι, πιστοὶ τὰ ψυχοφθόρα.

Αγνὴ Παρθένε, χριστιανῶν ἡ προστάτις, ἐξελοῦ ἡμᾶς πάσης ἀνάγκης· ἵνα σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Τὸν βασιλέα, τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε,

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ρανίδα μοι ἐλέους, στάξον Θεομῆτορ, καὶ τῆς ἀγνοίας τὸν ζόφον ἀπέλασον· σὺ γὰρ ἐκύησας μόνη βροτῶν τὴν λύτρωσιν.

Ιλύϊ τῶν παθῶν με, συγκεκαλυμμένον, καὶ ἡδονῶν τῷ βορβόρῳ σπιλούμενον, ὡς ἀγαθή μου προστάτις κάθαρον Δέσποινα.

Σταυροῦ τῇ πανοπλίᾳ, κράτυνον τὴν πίστιν, τῶν φιλοχρίστων Ἀνάκτων φιλάνθρωπε, τῆς σὲ τεκούσης πρεσβείαις ὡς πολυέλεος.

Σεισμοῦ λιμοῦ πυρός τε, καὶ αἰχμαλωσίας, καὶ ἐμφυλίου πολέμου ἐκλύτρωσαι, τὴν σὲ γεραίρουσαν ποίμνην Θεοχαρίτωτε.

Προσόμοια. Τί ἡμᾶς καλέσωμεν.

Χαῖρε ἀειπάρθενε Δέσποινα, ἡ τὸν φύσει ἀγαθὸν ἐκμιμουμένη ἀγαθή, καὶ προσόντων τῶν αὐτοῦ, πρῶτον καὶ ἔξοχον ἁγνή, πλουτοῦσα, Μητρικῶς τὴν ἀγαθότητα· διὸ καὶ ἀγαθύνεις τοὺς ὑμνοῦντάς σε, ὡς συμπαθὴς καὶ φιλάγαθος· καὶ ὁδηγεῖς πρὸς ἀπόλαυσιν, Πανάχραντε, ἀγαθῶν τῶν αἰωνίων αὐτούς.

Χαῖρε Θεοῦ σκήνωμα ὄλβιον· βασιλέως ὑψηλὸν, λαμπρὸν ἀνάκτορον ἁγνὴ, ἀχειρόπλοκος νυμφὼν· χρυσοπορφύρωτος παστὰς· ὁ θάλαμος, ὁ εὔοσμος καὶ πάντιμος· τὸ ἔμπνουν, λιθομάργαρον Παλάτιον· χαῖρε ὁ θρόνος ὁ πάγχρυσος, ἀνθρακοφόρος πυράγρα τε, καὶ ἔμψυχος, τοῦ ἀΰλου πυρὸς ἄχραντε.

Χαῖρε Μαριὰμ Κυριώνυμε· ἡ Κυρία παντὸς Κόσμου, χρηματίσασα Σεμνὴ, ὡς τὸν Κύριον Κυρίων ἀποτέξασα Χριστόν· κυρίως, οὖσα ἀειπάρθενος, ἁγνείας, παγκτησίαν ὑπερτέλειον, κεκυρωμένως πλουτίσασα, νοὸς ψυχῆς τε καὶ σώματος· ἡ σύμπαντα, ὡς Κυρία δοῦλα γέγονεν.

Δός μοι διανύειν τὸν βίον μου, διὰ πάντων τῶν σεπτῶν, τοῦ σοῦ υἱοῦ μακαρισμῶν, τοῦ πτωχεύειν τῷ νοΐ, πενθεῖν πραΰνεσθαι πεινῆν, διψῆν τε μετ' ἐφέσεως τὸ δίκαιον· ὑπάρχειν, καθαρὸν καὶ ἐλεήμονα· ποιεῖν εἰρήνην διώκεσθαι, ὑπὲρ Θεοῦ Παναμώμητε· καὶ χαίρειν με, ἐπὶ τούτοις ἀγαλλόμενον.

# ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ.

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ ΣΜΥΡΝΗΣ.

Οὗ ἡ ἀκροστιχίς.

Νῦν ὀκτάκις μέλπω σε σὸς Μητροφάνης.

Ωδὴ, α΄. ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

ΝΑΜΑΤΩΝ πηγήν σε πρεσβευτικῶν, γινώσκοντες πάντες, ἀναβλύζουσαν τοῖς πιστοῖς, τῶν ψυχῶν τὴν ῥῶσιν καὶ σωμάτων, Θεοκυῆτορ ἀπαύστως δοξάζομεν.

Υπὲρ φύσιν λόγον Θεαρχικὸν, τέτοκας Παρθένε, καὶ τὴν φύσιν ἐκ τῆς φθορᾶς, ἐῤῥύσω διό με τῶν ἀλόγων, καὶ παρὰ φύσιν παθῶν ἐλευθέρωσον.

Νομάδες παθῶν με τῶν σαρκικῶν, νῦν περικυκλοῦσι, καὶ συσφίγγουσι χαλεπῶς· ἐπίσκεψαι τάχει τὸν σὸν δοῦλον, καὶ τῶν κακούντων Παρθένε διάσωσον.

Ο πᾶσαν τὴν κτίσιν ἡνιοχῶν, καὶ φέρων καὶ σώζων, ἐν ἀγκάλαις ἁγνὴ ταῖς σαῖς, περιγεγραμμένος ἀπεράνθη, καὶ τῶν ἀνθρώπων τὸ γένος ἀνέπλασε.

Ωδὴ, γ΄. Σὺ εἶ τὸ στερέωμα.

Κοίμισον τὸν τάραχον, τῆς συνεχούσης με Δέσποινα, νῦν χαλεπῆς, νόσου καὶ πταισμάτων, καὶ παθῶν ἐλευθέρωσον.

Τάχυνον ἐπίσκεψαι, νοσηλευόμενον ἄχραντε, καὶ τῆς δεινῆς, ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

Αφατον τὸ πέλαγος, τῶν οἰκτιρμῶν τῶν σῶν ἄχραντε, δι᾿ ὧν κἀμὲ τῶν ἁμαρτημάτων, καὶ τῶν νόσων ἐξάγαγε.

Κράτυνον τὸ ἔλεος, καὶ τὴν ἀντίληψιν ἄχραντε, σῶν πρεσβειῶν, ἐπ᾿ ἐμοὶ καὶ ῥῦσαι, πειρασμῶν τε καὶ θλίψεων.

Ωδὴ, δ΄. Εἰσακήκοα.

Ιλαστήριον πάντοτε, τὴν ἐμὴν καρδίαν δεῖξον Πανάχραντε, τῶν ἁγίων ἐνθυμήσεων, καὶ πλημμελημάτων καθαρτήριον.

Σωτηρίαν παράσχου μοι, τὴν κατὰ ψυχὴν καὶ σῶμα Πανάμωμε· καὶ νοσοῦντι δὸς τὴν ἴασιν, καὶ τῶν ὀδυνῶν τὴν ἀπολύτρωσιν.

Μεθοδείας κατάργησον, τῶν πονηροτάτων δαιμόνων ἄχραντε, καὶ παθῶν τὴν ἐπανάστασιν, καὶ τοῖς ἀσθενοῦσι ῥῶσιν δώρησαι.

Εκ τῆς μήτρας σου Πάναγνε, τῆς δικαιοσύνης ἥλιος ἔλαμψε, καὶ τὸν κόσμον κατελάμπρυνεν· οὗ ταῖς θείαις, αἴγλαις κἀμὲ φώτισον.

Ωδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Λέλυνται τῷ σῷ τόκῳ, τὰ δεσμὰ τοῦ θανάτου καὶ ἀπελήλαται, τῆς φθορᾶς τὸ κράτος, Παναγία Παρθένε Πανύμνητε· διὸ λῦσον τάχει, καὶ τῶν ἐμῶν ἁμαρτημάτων, τὰς σειρὰς καὶ τὰ βάρη τῶν θλίψεων.

Πονηρίας δαιμόνων, καὶ κακίας ἀνθρώπων ῥῦσαί με Δέσποινα· καὶ ψυχῆς τὴν νόσον, καὶ τοῦ σώματος θᾶττον θεράπευσον, ἡ τεκοῦσα μόνη, πάσης σαρκὸς καὶ τῶν πνευμάτων, Ἰατρὸν καὶ Σωτῆρα καὶ Κύριον.

Ὡς λαβίδα τοῦ θείου, ἄνθρακος Πανάχραντε καθικετεύω σε, καταφλέξαι πᾶσαν, ἐμπαθῆ τοῦ σοῦ δούλου διάθεσιν, καὶ τὰς ἀσθενείας, τὰς χαλεπὰς καὶ δυσφορήτους, καὶ ξηρᾶναι χειμάῤῥους τῶν θλίψεων.

Σωτηρίαν σε πᾶσιν, ὁ υἱός σου παρέσχε πάναγνε Δέσποινα, τοῖς πεπιστευκόσιν, εἰς αὐτὸν καὶ Θεὸν καταγγέλλουσι, σεσωματωμένον, ἐκ σοῦ σαφῶς διό με σῶσον, ἐκ ποικίλων κινδύνων καὶ θλίψεων.

Ωδὴ, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἐπίβλεψον ἐπ' ἐμὲ, ἱλέῳ ὄμματι Δέσποινα, καὶ νοσημάτων δεινῶν, ἐκλύτρωσαι τάχιον, καὶ πάσης κακώσεως, νῦν προσδοκωμένης, καὶ παγίδος καὶ συμπτώσεως.

Σκαιότητος γνωμικῆς, καὶ φυσικῆς ἐμπαθείας με· καὶ φθόνου τῶν δυσμενῶν, καὶ πάσης φαυλότητος, Παναγία Δέσποινα, καὶ κακίας ῥῦσαι, τῆς τοῦ βίου σαῖς δεήσεσιν.

Ὁ διαπλάσας ἡμᾶς, ἐν σοὶ Παρθένε διέπλασται, τὴν φύσιν ἐκ τῆς φθορᾶς, τῶν βροτῶν ῥυόμενος· κἀμὲ τοίνυν λύτρωσαι, τῶν περιτυχόντων, πειρασμῶν ταῖς σαῖς δεήσεσιν.

Ὁ φλογερὸς οὐρανὸς· καὶ θρόνος ὄντως πυρίμορφος· ὁ ἔμψυχος τοῦ Χριστοῦ, Παράδεισος ἄχραντε· ἡ στάμνος ἡ πάγχρυσος, τῆς ζωῆς τὸ μάννα· ζωῆς θείας με ἀξίωσον.

Κάθισμα. Τὸ προσταχθέν.

Τὸ ἀλατόμητον πιστοὶ καὶ θεῖον ὄρος· τὸ καθαρώτατον παλάτιον τοῦ Λόγου· τὸν πυρίμορφον θρόνον τοῦ παμβασιλέως· τὴν τράπεζαν, καὶ λυχνίαν τὴν χρυσαυγῆ· τὴν γέφυραν τὴν μετάγουσαν πρὸς ζωὴν, τὴν οὐράνιον κλίμακα· τὴν Θεοτόκον Μαριὰμ, ὑμνήσωμεν κραυγάζοντες· Χαῖρε νύμφη ἀνύμφευτε.

Ωδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Στάμνος ἄψυχος πάλαι, σὲ τὴν ἔμψυχον στάμνον ἐδήλου Δέσποινα· ζωῆς γὰρ μάννα φέρεις, Χριστὸν τὸν τοῦ θανάτου, τὴν πικρίαν ἀμβλύναντα, τὸν ἀληθῆ γλυκασμὸν καὶ φωτισμὸν τοῦ κόσμου.

Μὴ ἁρπάσῃ ὡς λέων, ὁ ἐχθρὸς τὴν ψυχήν μου ὁ θηριότροπος, μὴ ὄντος λυτρουμένου, καὶ σώζοντος Παρθένε· λυτρωτὴν γάρ σε κέκτημαι, τὴν τὸν Σωτῆρα Χριστὸν καὶ λυτρωτὴν τεκοῦσαν.

Μακαρία Παρθένε, καταφύγιον πάντων τῶν θλιβομένων πιστῶν, παντοίας ἐπηρείας, καὶ λύπης καὶ κακίας, τῶν φθονούντων με λύτρωσαι, καὶ τῶν πταισμάτων πολλῶν, καὶ τῶν ποικίλων νόσων.

Ἡ τὸν βότρυν τεκοῦσα, τῆς ζωῆς Θεοτόκε τὸν ἀγεώργητον, ἀξίωσον καρπούς με, προσφέρειν μετανοίας, τῷ υἱῷ σου κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ. η'. Ἑπταπλασίως.

Τὰ μεγαλεῖα Πάναγνε, τῶν ποικίλων θαυμάτων σου, πάντες ἐκβοῶμεν, οἱ πιστῶς προστρέχοντες, ταῖς σαῖς ἀντιλήψεσιν· ἀλλὰ καὶ νῦν με νόσου δεινῆς, καὶ τῶν ψυχικῶν, καὶ σαρκικῶν ἀλγημάτων, ἀπάλλαξον καὶ δεῖξον ἐῤῥωμένον κατ' ἄμφω, δοξάζειν τὸν υἱόν σου Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥαγδαιοτάτως ἔπνευσαν, τῶν φθονούντων οἱ ἄνεμοι· καὶ τῶν δυσχερῶν οἱ ποταμοὶ προσέκρουσαν, σφοδρῶς τῇ οἰκίᾳ μου, τῇ νοητῇ Παρθένε ἁγνή· ἀλλ' ὥσπερ ἀφρὸν, κυμαινομένης θαλάσσης, διάλυσον τὴν ῥύμην τῶν λυπούντων ἁπάντων· καὶ δός μοι σαῖς πρεσβείαις, γαλήνην εἰς αἰῶνας.

Ὁ διαπλάσας πήλινον, ἀνδριάντα τὸν ἄνθρωπον, εἶτα καὶ ψυχὴν, αὐτῷ ἐνθεὶς ἀθάνατον, ἐν σοὶ διαπλάττεται, καὶ ἀναπλάττει πάλιν αὐτόν· ὅν μοι εὐμενῆ, καὶ εὐδιάλλακτον δεῖξον, Παρθένε σαῖς πρεσβείαις, καὶ τὴν ῥῶσιν παράσχου, καὶ πάντων τῶν θλιβόντων τὴν λύτρωσιν συντόμως.

Φωτοβολεῖς ἑκάστοτε, τοῖς τὸ φῶς τὸ ἀνέσπερον, ἀνατεταλκέναι ἐκ τῆς σῆς Παναχραντε, νηδύος δοξάζουσι, καὶ ἀπὸ φόβου νυκτερινοῦ, καὶ δαιμονικῆς, καὶ σκοτεινῆς ἀπαλλάττεις, ἐνέδρας τοὺς σοὺς δούλους· ἐξ ὧν ῥῦσαι καὶ σῶσον, κἀμὲ τῶν συνεχόντων δεινῶν ταῖς σαῖς πρεσβείαις.

Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τὸν Δημιουργὸν καὶ λυτρωτὴν ἀνεβόα, οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε.

Ὠδὴ, θ'. Κυρίως Θεοτόκον.

Ἀνύψωσον τὸ κέρας, τὸ τῆς Ἐκκλησίας, καὶ τοῖς πιστοῖς κατ' ἐθνῶν δὲ παράσχου ἰσχὺν· καὶ βασιλέων τὰ σκῆπτρα ἁγνὴ κραταίωσον.

Νωθεῖς καὶ παρειμένας, καὶ νενικημένας, παρεμβολὰς ἀλλοφύλων Παρθένε ἁγνὴ, τὰς τοὺς πολέμους θελούσας θᾶττον ἀπόφηνον.

Ἡ μόνη συμμαχία, τῶν σὲ γεραιρόντων, χριστιανῶν ὀρθοδόξων πρεσβείαις ταῖς σαῖς, Ἀγαρηνοὺς ὁπλοφόρους τάχει καταίσχυνον.

Συνέτισον Παρθένε, τῶν πιστῶν χορείας, καὶ κατ' ἐχθρῶν ἀοράτων καὶ τῶν ὁρατῶν, κατευοδώσασα σῶσον ἐκ πάσης θλίψεως.

Προσόμοια. Ω τοῦ παραδόξου.

Χαῖρε πυρίμορφον ὄχημα· Χαῖρε αὐγὴ μυστικὴ, ἐν τῷ κόσμῳ ἡ τέξασα, τὸν λαμπρὸν καὶ ἄδυτον, καὶ ἀνέσπερον ἥλιον· Χαῖρε κογχύλη πορφύραν βάψασα, ἐκ σῶν αἱμάτων τῷ βασιλεῖ τοῦ παντός· Χαῖρε Πανάχραντε· Χαῖρε φυλακτήριον πάντων πιστῶν, τῶν προσκαλουμένων σε, ἐν πεποιθήσει ψυχῆς.

Χαῖρε πεσόντων ἀνόρθωσις· Χαῖρε πεινώντων τροφή· Χαῖρε πλοῦτε ἀσύλητε, καὶ πενόντων ἄχραντε, θησαυρὸς ὁ ἀκένωτος· τῶν ἀσθενούντων χαῖρε ἐπίσκεψις· τῶν θλιβομένων, χαῖρε παράκλησις· Χαῖρε βοήθεια, τοῖς προσκαλουμένοις σε καὶ ἀῤῥαγὲς, ὅπλον καὶ ὀχύρωμα, καὶ τεῖχος ἄῤῥηκτον.

Χαῖρε μυστικὲ Παράδεισε, ξύλον ζωῆς τὸν Χριστὸν, ἐν κοιλίᾳ σου φέρουσα, καὶ τεκοῦσα ἄφθορε, εἰς ἡμῶν ἀναβίωσιν, τῶν νεκρωθέντων, γεύσει τοῦ ξύλου ποτὲ, καὶ τῷ θανάτῳ ὑποκυψάντων κακῶς· χαῖρε παμπόθητε, καὶ παντομνημόνευτε χαῖρε βροτοῖς, θείαν ἀγαλλίασιν παρεχομένη ἀεί.

Σῶσόν με πάναγνε Δέσποινα, ἡ τὸν Σωτῆρα Χριστὸν, ἀποῤῥήτως γεννήσασα· σὲ γὰρ μόνην κέκτημαι, προστασίαν ὁ δοῦλός σου, τεῖχος καὶ σκέπην καὶ ἀγαλλίαμα, καὶ τῆς ψυχῆς μου θείαν παράκλησιν· σὺ οὖν με λύτρωσαι, ἀκοιμήτου σκώληκος καὶ τοῦ πυρὸς, τοῦ διαιωνίζοντος Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

## ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΚΑΛΛΙΝΙΚΟΥ ΗΡΑΚΛΕΙΑΣ.

Οὗ ἡ ἀκροστιχίς·

Γῇ ὑπεράγνῳ, προστρέχω καὶ Παρθένῳ.

Ὠδὴ, α'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

ΤΗΝ σηπεδόνα τῆς ψυχῆς μου ξήρανον, καὶ τῶν τραυμάτων οὐλὰς, δραστικῷ φαρμάκῳ, τοῦ Υἱοῦ σου Πάναγνε· εἰς σὲ γὰρ τὴν ἐλπίδα μου, ἀνατίθημι πᾶσαν, καὶ σὲ μεσίτιν προβάλλομαι, πρὸς τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν.

Ημελημένως καὶ ῥαθύμως Δέσποινα, ὅλον τὸν βίον ἐγὼ, καταδαπανήσας, τὸν ἐμὸν ὁ ἄσωτος, εἰς ἐμαυτὸν γενόμενος, τῇ σῇ σκέπῃ προστρέχω, καὶ μετὰ πίστεως κράζω σοι, σῶσόν με πρεσβείαις σου Πάναγνε.

Υπὲρ τὴν ψάμμον ἀληθῶς ἠρίθμηνται, αἱ ἀνομίαι μου, καὶ αἱ ἁμαρτίαι, ἃς ἀναίδην ἔπραξα, καὶ ἐμαυτὸν ἐμόλυνα, καθυβρίσας ὁ τάλας, τὸ κατ' εἰκόνα Πανάμωμε, ἀλλ' ὡς πολυεύσπλαγχνος σῶσόν με.

Προσπεφευγότα νῦν εἰς σὲ σὺν δάκρυσι, καὶ ἐν πολλῷ στεναγμῷ, καὶ καρδίας θλίψει, μὴ παρίδῃς δέομαι· ἀλλὰ τῇ μεσιτείᾳ σου, ἐν ἡμέρᾳ τῆς δίκης, τὸν σὸν Υἱὸν ἐκδυσώπησον, ὅπως λυτρωθῶ τῆς κολάσεως.

Ωδὴ, γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἐμῶν δακρύων σταλαγμούς, καὶ στεναγμοὺς τῆς καρδίας, καὶ χειρῶν ἐκτεταμένων ἐπάρσεις, καθορῶσα συμπαθῶς, οἰκτείρησον τὸν δοῦλόν σου· καὶ γὰρ οὐκ ἔχω πλήν σου, Δέσποινα ἄλλην βοήθειαν.

Ῥοώδη φύσιν τὴν ἐμὴν, γινώσκουσα Θεοτόκε, καθ᾽ ἑκάστην ὀλισθαίνουσαν οἴμοι! πρὸς τὰ χείρω ἀκρατῶς· ἀντιλαβοῦ καὶ σῶσόν με· καὶ γὰρ οὐκ ἔχω πλήν σου, Δέσποινα ἄλλην βοήθειαν.

Ἀνερευνήσας ἐμαυτὸν, εὑρίσκω πάντας ἀνθρώπους, ὑπερβάντα ταῖς κακίαις Παρθένε, καὶ ποῦ φύγω ὁ δεινὸς εἰ μὴ πρὸς σὲ τὴν εὔσπλαγχνον· ὅτι οὐκ ἔχω πλήν σου, Δέσποινα ἄλλην βοήθειαν.

Γυμνὸς καὶ ἔρημός εἰμι, καὶ πάντων ἐστερημένος, τῶν καλῶν ὧν ἐσυλήθην ὁ τάλας, τῇ κακίστῃ συμβουλῇ· ὅθεν πρὸς σὲ κατέφυγον· καὶ γὰρ οὐκ ἔχω πλήν σου, Δέσποινα ἄλλην βοήθειαν.

Ωδὴ, δ΄. Σύ μου ἰσχύς·

Νινευϊτῶν, τοὺς στεναγμοὺς καὶ τὰ δάκρυα, ὁ Υἱός σου πάλαι προσδεξάμενος, τὴν ὀφειλὴν τῶν ἁμαρτιῶν, πᾶσαν τὴν ἐκείνων, ἀφῆκεν ὡς πολυέλεος· διό σε ἱκετεύω, ἐξιλέωσαι τοῦτον, παραβλέψαι κἀμοῦ τὰ ἐγκλήματα.

Ὢ τῆς ἐμῆς, φρενοβλαβείας Πανύμνητε· ὅτι θέλων τοῖς κακοῖς συμπέφυρμαι, ἀναισθητῶν ὅλως ἀμελῶν, καὶ ἐμματαιάζων, ταῖς ἀνυπάρκτοις ὀρέξεσι· διὸ ὁδήγησόν με, πρὸς ὁδὸν μετανοίας, ἐπιστρέφουσα καὶ συνετίζουσα.

Πανευλαβῶς, πρὸ τῆς εἰκόνος παρίσταμαι; τῆς Ἀχράντου τῆς σῆς Παναμώμητε, ἐκλιπαρῶν καὶ παρακαλῶν, μή με ἀποῤῥίψῃς, τοῦ σοῦ προσώπου τὸν ἄθλιον· ἀλλ᾽ οἴκτειρον καὶ σῶσον, ἐκ παντοίας με βλάβης, καὶ κινδύνων καὶ πάσης κακώσεως.

Ῥῶσιν ψυχῆς, ῥῶσίν μοι σώματος δώρησαι· ἵνα πράττω καὶ ποιῶ τὸ θέλημα, τοῦ σοῦ Υἱοῦ φόβῳ καὶ χαρᾷ· καὶ γὰρ ἐξισχύεις, ὡς Μήτηρ οὖσα τοῦ Κτίστου σου· καὶ πράττεις ὅσα θέλεις, τοῖς ἐν πίστει καὶ πόθῳ, τῷ ναῷ σου Παρθένε προστρέχουσιν.

Ωδὴ, ε΄. Ἵνα τί με ἀπώσω.

Ὅλος γέγονα φεῦ μοι! ταῖς ἀθέσμοις πράξεσι καὶ ἀνομήμασι, βορβορώδης Κόρη, καὶ αἰσχρῶν ἀληθῶς καταγώγιον· καὶ μεμισημένος, ὑπὸ Ἀγγέλων καὶ ἀνθρώπων· ἀλλ᾽ οἰκείοις ἀπόπλυνον δάκρυσι.

Συνεχόμενον πλείστοις, πειρασμοῖς Πανάχραντε καὶ περιστάσεσι, πανταχόθεν οἴμαι! καὶ κλονούμενον ζάλαις καὶ θλίψεσι, περιφρούρησόν με, ὑπὸ τὴν σκέπην σου τὴν θείαν, λυτρουμένη καὶ σώζουσα πάντοτε.

Τῇ θερμῇ σου πρεσβείᾳ, τῇ πρὸς τὸν Υἱόν σου κεχρημένη Πάναγνε, ὑπὲρ τοῦ ἀχρείου, καὶ πολλὰ ἐπταικότος οἰκέτου σου· ὅπως εὕρω λύσιν, ἁμαρτιῶν μου τὸν Σωτῆρα, ἐκδυσώπησον πρὸ τῆς ἐτάσεως.

Ῥυομένη μὴ παύσῃ, ἐξομολογούμενον τὰς ἁμαρτίας μου, καὶ τὰς ἀνομίας, ἃς ὁ τά-

λας ἐν γνώσει ἠνόμησα· διὰ τοῦτο κράζω, ἐν στεναγμοῖς καθικετεύων, μὴ ἀπώσῃ τὸν δοῦλόν σου Δέσποινα.

Ὠδὴ, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἐγένοντο ψαλμικῶς, αἱ ἀνομίαι μου Δέσποινα, ὡσεὶ φορτίον βαρὺ, ἐπ' ἐμὲ βαρούμεναι· καὶ ψυχῆς αἱ μώλωπες, διὰ ἀφροσύνην, προσώζεσαν καὶ ἐσάπησαν.

Χρεωστικῶς τῷ ναῷ, τῷ ἱερῷ σου προσέδραμον· καὶ ὡς ἱκέτης οἰκτρὸς, παρίσταμαι Δέσποινα· τὰ δάκρυα δέξαι μου, ὡς τῆς χήρας τότε, τὰ λεπτὰ Χριστὸς ὁ Κύριος.

Ὢ πῶς βαστάζει ἡ γῆ, ἐμὲ τὸν αὐτοκατάκριτον, τὸν παρὰ πάντας βροτοὺς, ἀσώτως βιώσαντα, καὶ οὐ καταπίνει με! ἀπορῶ καὶ φρίττω· ἀλλὰ σὺ ἡ διασώζουσα.

Κατάσβεσον ἀγαθὴ, τῷ δροσισμῷ τοῦ ἐλέους σου, τὰ βέλη τὰ κατ' ἐμοῦ, δολίως κινούμενα, νυκτὸς καὶ ἡμέρας τε, τὰ πεπυρωμένα, τοῦ ἐχθροῦ τοῦ πολεμοῦντός μου. με.

Κάθισμα. Τὴν σοφίαν καὶ λόγον.

Τὸ πολύφωτον ὄχημα τοῦ Θεοῦ, θείου φέγγους λυχνία χρυσοφαὴς, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα· τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι· καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας καὶ δάκρυσιν· ἵνα πόθῳ κραυγάζω σοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀνατείνω τὸ ὄμμα, τῆς ἐμῆς παναθλίας καὶ ταλαιπώρου ψυχῆς, πρὸς σὲ καὶ ἀνακράζω, ἐν πίστει τῷ Υἱῷ σου, τῷ Σωτῆρι καὶ πλάστῃ μου, ταῖς τῆς Μητρός σου Χριστὲ, πρεσβείαις οἰκτειρόν με.

Ἰαμάτων πελάγη, κεκτημένη Παρθένε ὡς τετοκυῖα Χριστὸν, ἐπέχεε ἀφθόνως, κἀμοὶ τῷ σῷ οἰκέτῃ, ἀσθενοῦντι ῥανίδα σου, τῷ πανταχόθεν δεινῶς ἐκτετραυματισμένῳ.

Παναγία Παρθένε, κατανύξεως πλῆσον τὴν ταπεινήν μου ψυχὴν, τὸν θεῖον ὅπως βρέχω, ναόν σου Θεοτόκε, ταῖς ῥοαῖς τῶν δακρύων μου, καὶ ἀποπλύνω ἁγνὴ τὸν ῥύπον τῶν παθῶν μου.

Ἀπειρόγαμε νύμφη, περιφρούρησον πάντας, τοὺς πεφευγότας εἰς σέ· καὶ γὰρ εἰ μὴ φρουρήσῃς, τοὺς δούλους σου Παρθένε, ἀπολώλαμεν ἅπαντες, καὶ ἐγενήθημεν ἂν κατάβρωμα δαιμόνων.

Ὠδὴ, η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Ῥῦσαι τότε, Μαρία Θεοτόκε τοὺς σοὺς δούλους, ἡνίκα ὁ Υἱός σου, τοῦ κρῖναι ἔλθῃ γένος τὸ ἀνθρώπινον, καὶ διαχωρῖσαι, ἀπ' ἀλλήλων οἴμοι! δικαίους καὶ ἀδίκους.

Θαῦμα μέγα, πῶς γαλουχεῖς Παρθένε! καὶ Παρθένος ἐδείχθης μετὰ τόκον! ὄντως τὰ σὰ μυστήρια παράδοξα· διὸ προσκυνοῦμεν, καὶ ὑπερυψοῦμεν τὸν ἄφραστόν σου τόκον.

Ἐμακρύνθην, ἐκ σοῦ καὶ ἐβδελύχθην, τοῖς κακοῖς μου· διὸ καὶ ἐγενήθην, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ μου· ἀλλὰ μὴ παρίδῃς, δέομαι Παρθένε εἰς τέλος τὸν σὸν δοῦλον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Νεκρωθέντα, τοῖς δήγμασι τοῦ πλάνου, ζώωσόν με ἡ τὴν ζωὴν πάντων τεκοῦσα, καὶ μὴ ἐάσῃς ἔτι τοῦτον κατ' ἐμοῦ, καταδυναστεῦσαι, ἐξηπορημένου, καὶ τεταπεινωμένου.

Αἰνοῦμεν. Ὁ Εἱρμός.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα· καὶ ἐν βάτῳ, τόκον τὸν τῆς ἀειπαρθένου, τῷ Μωσῇ μυστήριον γνωρίσαντα· Κύριον ὑμνεῖτε· καὶ ὑπερυψοῦτε

Ωδὴ, θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ηγέρθη κέρας εὐσεβῶν, ὑψωθέντος ἐπὶ ξύλου Πανάμωμε, τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ, ἐν ᾧ διέῤῥηξε τὸ χειρόγραφον· καὶ κατηργήθη ὁ ἐχθρὸς εἰς τέλος καὶ πέπτωκε· διό σε ἄχραντε, ὡς αἰτίαν τούτων πάντων δοξάζομεν.

Ροὴν δακρύων τῶν ἐμῶν, καθορῶσα συμπαθῶς εὐσπλαγχνίσθητι, ἐπ' ἐμοὶ Δέσποινα, τῷ σῷ ἐλέει τὴν ταπεινήν μου ψυχὴν, καθιλαρύνουσα ἀεὶ, φυλάττουσα σκέπουσα καθαγιάζουσα, καὶ δαιμόνων ἐκ χειρὸς ἀφαρπάζουσα.

Κράτος Ἀνάκτων εὐσεβῶν, Προφητῶν καὶ ἀποστόλων τὸ καύχημα· Ἱεραρχῶν καλλονή· Μαρτύρων Κόρη τὸ ἐγκαλλώπισμα· καὶ τῶν Ὁσίων χαρμονή· Δικαίων ἐντρύφημα· καὶ θλιβομένων χαρά· μὴ παρίδῃς τὰς δεήσεις τῶν δούλων σου.

Λαοὶ καὶ γλῶσσαι καὶ φυλαὶ, νεανίσκοι σὺν παρθένοις προσέλθωμεν, ἐν καθαρῷ τῷ νοΐ· ὀρθοδοξίας πάντες οἱ τρόφιμοι, καὶ τῇ Παρθένῳ καὶ ἁγνῇ, Μητρὶ τοῦ Θεοῦ ἡμῶν, θερμῶς βοήσωμεν· Παναγία σῶσον πάντας πρεσβείαις σου.

Προσόμοια. Ω τοῦ παραδόξου θαύματος.

Χαῖρε Παρθένε Θεόνυμφε· Χαῖρε πιστῶν ἡ ἐλπίς· Χαῖρε κόσμου καθάρσιον· Χαῖρε πάσης θλίψεως, ἡ τοὺς δούλους σου σώζουσα· ἡ τοῦ θανάτου χαῖρε κατάλυσις· ὁ ζωηφόρος χαῖρε Παράδεισος· Χαῖρε ἀντίληψις, τῶν προσκαλουμένων σε· Χαῖρε Θεοῦ, θεῖον ἐνδιαίτημα καὶ ὄρος ἅγιον.

Χαῖρε Θεοτόκε Πάναγνε· Χαῖρε πηγὴ τῆς ζωῆς· Χαῖρε κλίμαξ οὐράνιε· Χαῖρε πάσης Δέσποινα, καὶ Κυρία τῆς Κτίσεως· εὐλογημένη χαῖρε Πανάμωμε· δεδοξασμένη χαῖρε ἀμόλυντε· Χαῖρε Πανύμνητε· Χαῖρε θεῖον σκήνωμα· Χαῖρε σεμνή· Χαῖρε Μητροπάρθενε, νύμφη ἀνύμφευτε.

Χαῖρε Μητρόθεε Δέσποινα· Χαῖρε ἡ μόνη ἐλπὶς, τῶν βροτῶν καὶ ἀντίληψις· Χαῖρε καταφύγιον· Χαῖρε λυχνία φωτός· ἠγλαϊσμένον χαῖρε παλάτιον· τὸ φωτοφόρον χαῖρε λαμπάδιον· Χαῖρε ἀμόλυντον, παρθενίας καύχημα· Χαῖρε πηγὴ, βρύουσα ἰάματα τοῖς προσιοῦσί σε.

Δέξαι μου ταύτην τὴν δέησιν, καὶ μὴ παρίδῃς ἁγνή, τὸν κλαυθμὸν καὶ τὰ δάκρυα, μηδὲ ἀποῤῥίψῃς με, τοῖς δεινοῖς κινδυνεύοντα· εἰς σὲ γὰρ πᾶσαν τὴν προσδοκίαν μου, ἐθέμην μόνην Θεοχαρίτωτε· δεῖξον ἐλεύθερον, πάντων τῶν λυπούντων με δεῖξον ἁγνή· καὶ χαρὰν μοι δώρησαι ὡς χαροπάροχος.

# ΤΗ ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ

## ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΠΟΙΗΜΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΥΛΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΜΟΡΙΟΥ.

Οὗ ἡ ἀκροστιχίς.

Τέλος με σῶσον τὸν ἀνάξιον Κόρη Παῦλον.

Ωδὴ, α΄. ἦχος πλ. δ΄. Αρματηλάτην Φαραώ.

ΤΗΣ πρὸς ἐμέ σου συμπαθείας ἄχραντε, τὴν ὑπερβάλλουσαν, πῶς δυνηθῶ χάριν, ἀνυμνῆσαι Δέσποινα; ἢ πῶς σου τὸ ἐξαίρετον, τῆς προνοίας δοξάσω, ὅτι θανάτου διέσωσας, τὸν πολλάκις τούτου με ἄξιον;

Εν ἀνομίαις συλληφθεὶς ὁ ἄθλιος, ὅλος γεγένημαι, ἁμαρτιῶν πλήρης, μὴ εἰδὼς τι ἕτερον· μόνος γὰρ ἐγὼ γέγονα, σκεῦος ἄχρηστον πάντη, τῷ φιλανθρώπως με πλάσαντι· Δέσποινα τοῦ κόσμου βοήθει μοι.

Λῦσον παθῶν μου τὴν ὁμίχλην Πάναγνε, φωτὶ τοῦ τόκου σου, τὰ ζοφερὰ νέφη, τῶν ἐμῶν προλήψεων, πόρρω που ἀπελαύνουσα, τῆς ἐμῆς διανοίας, καὶ καθαρὸν ἀπαθείας μοι, φέγγος τῷ σῷ δούλῳ ἀνάτειλον.

Οἴμοι τῷ φαύλῃ συνηθείᾳ Δέσποινα, συνεχομένῳ δεινῶς! οἴμοι βροτῶν μόνῳ, τῷ κατολισθήσαντι, εἰς ἀπωλείας βάραθρα, καὶ παθῶν δυσωδίας, ἀνεχομένῳ καὶ μένοντι, τὴν ἐκ τοῦ πυρὸς τούτων ἔκτισιν!

Ωδὴ, γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Σύνδρομον ἔχω ἀληθῶς, τῇ τῆς σαρκός μου γεννήσει, τὸ τοῖς πάθεσιν αὐτοῖς ὑπαχθῆναι, καὶ ἀλόγως τοῖς αὐτῶν, ὑπηρετῆσαι πράγμασι· φεῦ μοι τῷ ταλαιπώρῳ! Δέσποινα πάντων βοήθει μοι.

Μίαν ἡμέραν τῷ Θεῷ, μετανοῶ τὰς δὲ πάσας, παροργίζω τὴν αὐτοῦ εὐσπλαγχνίαν, ὁ ἀναίσθητος ἐγὼ, καὶ τὴν ψυχὴν ἀμείλικτος· ἀλλὰ μακροθυμεῖν μοι, τοῦτον δυσώπει Πανάχραντε.

Εταλαιπώρησα δεινῶς, καὶ κατεκάμφθην εἰς τέλος, βαρυτάτοις τῶν κακῶν μου φορτίοις, οἷς ὑπέκυψα ἑκὼν, ἐκ παίδων ὁ ἀνόητος· ἀλλὰ μή με παρίδῃς, τούτοις ἁγνὴ ἀπολλύμενον.

Σῶμα καὶ πνεῦμα καὶ ψυχὴν, μεμολυσμένος ὑπάρχων, περιέρχομαι σπιλῶν τὸν ἀέρα· καὶ τοῖς ἔργοις μου τὴν γῆν, μιαίνων ὁ ταλαίπωρος· ἀλλὰ μεταβολῆς με, τρόποις Παρθένε βελτίωσον.

Ωδὴ, δ΄. Σύ μου ἰσχύς.

Ως ἐν νυκτὶ, μόνος ἐκ πάντων πορεύομαι, ἔργα πράττων, τὰ τοῦ σκότους ἄξια, καὶ τοὺς

βροτῶν λήσειν ὀφθαλμοὺς, ὅλως ἠπειγμένος, Θεὸν λαθεῖν οὐ δεδύνημαι· παρ' οὗ δικαίᾳ κρίσει, ἐκδοθήσομαι σκότει· ἀλλ' ἐντεῦθεν ἁγνή με οἰκτείρησον.

Στένω πικρῶς, ἐκ βάθους νῦν τῆς καρδίας μου, ἐννοῶν μου, τὴν ἀπερινόητον, πληθὺν κακῶν τὴν ὡς ἀληθῶς, ψάμμον τῆς θαλάσσης, τῷ ἀριθμῷ ὑπερβαίνουσαν· διό με Θεοτόκε, πρὸ τοῦ τέλους εὐχαῖς σου, ἐπιστρέψασα σῶσον τὸν δοῦλόν σου.

Οὐκ εὐτονεῖ, γένος βροτῶν προσευχόμενον, ἱλεῶσαι Θεὸν οἷς ἐξήμαρτον, ἐπὶ τῆς γῆς μόνος τὴν ψυχὴν, τῆς δυσωδεστάτης, παθῶν ἐμπλήσας αἰσχρότητος· εἰ μὴ σὺ Θεοτόκε, τοῦ Θεοῦ μου ἡ Μήτηρ, ἐξιλάσῃ καὶ σώσῃς τὸν δοῦλόν σου.

Νῦν ἐπ' ἐμὲ, στένει τῆς γῆς τὰ πληρώματα, τὴν τοῦ Κτίστου ἄγαν ἐκπληττόμενα, μακροθυμίαν καὶ ἀνοχὴν, ἐπὶ τοῖς πολλοῖς μου, καὶ ὀλεθρίοις συμπτώμασι· καὶ γὰρ τὴν Κτίσιν Κόρη, συνεκίνησα πᾶσαν, τὰ δεινὰ θαμβουμένην μου πταίσματα.

Ωδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Τῶν ἀψύχων τὴν φύσιν, Κόρη ἐν οἷς μόνοις οὐκ ἔδει ἐκμιμησάμενος, ἐν οἷς ἔδει ταῦτα, οὐκ ἐπείσθην ζηλῶσαι ὁ ἄθλιος, παραβὰς τοὺς νόμους, τοὺς φυσικοὺς καὶ παρὰ φύσιν, βιωτεύσας διό με ἐλέησον.

Οἱ τοῦ σκότους προστάται, ἔργων τῶν αὐτῶν ἐν μυήσει με ἔθεντο· καὶ ἑτέρων αὖθις, δι' αὐτῶν ἀσεβῆ με διδάσκαλον· οἴμοι τί ποιήσω! ὁ τοὺς πολλοὺς ἐν τοῖς κακοῖς μου, παγιδεύσας Πανάχραντε σῶσόν με.

Νεκρωθῆναι τῷ κόσμῳ, πᾶσι νομισθεὶς τοῖς εἰδόσι με Πάναγνε, ἐναντίαν Κόρη, τῆς αὐτῶν ὑπολήψεως ἔρχομαι, διοδεύσας τρίβον, ὁ δυστυχὴς ἀλλ' ὄντως φεῦ μοι! εἰ μὴ τάχος αὐτῆς ἀπαγάγῃς με.

Ἁμαρτίαις ἐπαύξω, ἄλλας ἁμαρτίας ὁ τλήμων ἑκάστοτε, καὶ ἐπισυνάγω, τῆς γεέννης τὸ πῦρ τὸ ἀνύποιστον, ἐν τῇ παναθλίᾳ, ἐμοῦ ψυχῇ ἀφ' οὗ με ῥῦσαι, πρὸ τῆς πείρας ἐκείνης Πανάμωμε.

Ωδὴ, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Νεκρὸς ἐκ πάντων καλῶν, ὑπάρχων πάντῃ καὶ ἄχρηστος, ἐν μόνοις φθοροποιοῖς, ἔργοις οὐκ αἰσχύνομαι, ζῶν καὶ ἀγαλλόμενος· ὢ πῶς οὐκ αἰδοῦμαι, τῆς ψυχῆς μου τὸ ἀξίωμα!

Ἁπάσης μὲν ἐντολῆς, ἐξέκλινα ὁ ταλαίπωρος, κατήχθην δὲ ἐν σπουδῇ, πρὸς τὰ ἀπευκτότατα, τῆς κακίας βάραθρα, διὰ ῥαθυμίας· ἀλλ' ἐπίστρεψόν με Δέσποινα.

Ξηρὰ καὶ ἄκαρπος γῆ, καρπῶν τοῦ Πνεύματος γέγονα, χερσομανοῦσα δεινῶς, καὶ ὕλην φλογώσεως τοῦ πυρὸς τοῦ μέλλοντος, βλαστάνουσα Κόρη· ἀλλὰ σύ με μετασκεύασον.

Ἰδού με πᾶσα κακῶν, περιεκύκλωσε θάλασσα, καὶ ποταμοὶ τῶν παθῶν, ἐπῆραν φωνὰς αὐτῶν, ἐπ' ἐμὲ Πανάχραντε, ὧν τῆς καταιγίδος, καὶ ἀτάκτου φορᾶς ῥῦσαί με.

Κάθισμα. Τὴν σοφίαν καὶ λόγον.

Φωτεινήν σε νεφέλην καὶ λογικὴν, θεϊκὴν ὄντως δρόσον καὶ μυστικὴν, ὕδωρ τὸ ἀλλόμενον εἰς ζωὴν τὴν αἰώνιον, καὶ σωτηρίας ὄμβρον, ὀμβρήσασαν Δέσποινα, ἐπεγνωκὼς αἰτοῦμαι, τὴν σὴν ἀγαθότητα· δὸς τῇ κεφαλῇ μου, κατανύξεως ὕδωρ, πηγήν τε βλυστάνουσαν,

ὥσπερ νάματα δάκρυα, ἵνα ἄνωθεν πλύνῃ με, ἐκ τοῦ ῥύπου πταισμάτων μου· καὶ χιόνος δείξῃ με λευκότερον· ἐπὶ σὲ γὰρ ἐλπίζω, ὁ ἀχρεῖος οἰκέτης σου.

Ὠδὴ, ζ΄. Θεοῦ συγκατάβασιν.

Οὐκ ἔχω κατάνυξιν, οὐδὲ ταπείνωσιν ἐν καρδίᾳ μου, οὔτε μὴν ἀγρυπνίαν, οὐ προσευχήν τε οὐδὲ ἐγκράτειαν· οὔ τινος ἄλλου ἀγαθοῦ ἐνέργειαν· διὸ βοῶ δωρεὰν Δέσποινα σῶσόν με.

Νοὸς ἀμαυρότητι, οὐκ ἐκτησάμην ὅλως μετάνοιαν· οὐ μελέτην θανάτου· οὐ σωφροσύνην ὄντως οὐ φρόνησιν· ἀλλ᾽ οὐδ᾽ ἀνδρίαν οὐ δικαιοσύνην τε· διὸ βοῶ δωρεὰν Δέσποινα σῶσόν με.

Κομῶν ἐν τοῖς πάθεσι· καὶ θάλλων πᾶσιν εν αμαρτημασι, προσοχῆς θείου φόβου, καὶ προσεδρίας Θεῷ ἠμέλησα· ἀγάπης πάσης, ἐλπίδος καὶ πίστεως· διὸ βοῶ δωρεὰν Δέσποινα σῶσόν με.

Οὐκ ἔστιν ὃς ἥμαρτεν, ἐν γῇ τις πλέον ἐμοῦ Πανάχραντε· οὐδὲ ἔστιν ὃς οὕτω, παρώργισε τὸν ποιήσαντα, ζήσας ἀσώτως ὡς ἐγὼ ὁ ἄθλιος· διὸ βοῶ δωρεὰν Δέσποινα σῶσόν με.

Ὠδὴ, η΄. Ἑπταπλασίως κάμινον.

Ῥῦσαι κακῶν ἁπάσης με, συνηθείας Πανάχραντε· δός μοι καθαρὰν, ἐπιστροφὴν πρὸς Κύριον, ἁγνείας οἰκείωσιν, τοῖς ὑπερτάτοις κάλλεσι· σώφρονα Παρθένε, ποίησόν μου τὸν βίον· καὶ πᾶσαν ἀγαθῶν μοι, μετουσίαν παράσχου· ὅπως δοξολογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Η φῶς Θεοῦ τὸ ἄφραστον, τοῖς βροτοῖς ἀνατείλασα, φώτισον ψυχῆς μου, τὰς αἰσθήσεις δέομαι, τὸ σκότος διώκουσα τῆς δεινῆς ἀμελείας μου· ἄναψόν μοι πῦρ, ἐν τῇ καρδίᾳ Παρθένε, τοῦ πόθου τοῦ υἱοῦ σου, καὶ τῆς τούτου γλυκείας, πλῆσόν με εὐφροσύνης εἰς πάντας τοὺς αἰῶνας.

Πάσαις καλῶν ἰδέαις με, κατακόσμησον Δέσποινα· πλήρωσον χαρᾶς, πνευματικῆς τὸν δοῦλόν σου· τῷ κύκλῳ στεφάνωσον, τῶν ἀρετῶν Πανάμωμε· ἔμπλησον παντοίας, δωρεῶν μετουσίας, καὶ μέτοχόν με δεῖξον, οὐρανῶν βασιλείας· κἂν μου ὑπὲρ ἀξίαν, τὸ αἰτηθὲν ὑπάρχει.

Ἀνεπιστρόφῳ νεύματι, ἀκλινεῖ τε ὁρμήματι, τὴν πρὸς ἀρετὴν ἀνεμποδίστως στέλλεσθαι, πορείαν εὐόδωσον, καὶ τοῖς πρόσω ἐκτείνεσθαι, τῶν ὄπισθεν ἁπάντων, ἐπιλαθόμενόν με· καὶ θέρμην μετανοίας, καὶ εὐχῶν μοι παράσχου, Παρθένε ἵνα πόθῳ, ὑμνῶ σε εἰς αἰῶνας.

Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τὸν Δημιουργὸν καὶ λυτρωτὴν ἀνεβόα, οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε.

Ὠδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ὑμνῆται πῶς ἰσχύσω τὴν καθαρὰν, ὁ ψυχὴν καὶ καρδίαν ἀκάθαρτος, πῶς τὴν ἁγνὴν λόγοις εὐφημήσω ὁ ἐναγής; πῶς ἣν ὁρᾶν συστέλλονται, τάξεις τῶν Ἀγγέλων βλέπειν ἐγὼ, τολμήσω ἐν εἰκόνι, οὕτω κακῶς ὡς ἔχω; διό μοι Δέσποινα οἰκτείρησον.

Λαβοῦσα δεξιᾶς με Κόρη χειρὸς, βασιλεῖ ἀθανάτῳ οἰκείωσον, τῷ σῷ υἱῷ τὴν τῶν ἐσφαλ-

μένων μοι παρασχεῖν, αἰτοῦσα θείαν ἄφεσιν, καὶ βίου διόρθωσιν παντελῆ· καὶ γάρ σε προστασίαν, ἐλπίδα τε καὶ σκέπην, καὶ ζῶν καὶ θνήσκων ἐπιγράφομαι.

Ο λόγος ὃν ἐλάλησα νῦν πρὸς σέ, οὐ τὸ πᾶν τῶν κακῶν μου ἠρίθμησεν· οὐ τὰ κρυφῆ, αἴσχη ἀπεκάλυψεν ἀλλ' αἰδοῖ, τῆς τῶν ἀνθρώπων γνώσεως, ἔκρυψε τὰ πλείονα συσταλείς· σὺ δέ μου δεχομένη, τὴν πρόθεσιν Παρθένε, δός μοι τελείαν τούτων ἄφεσιν.

Νυμφῶνος ἀθανάτου ἐπιτυχεῖν, καὶ τρυφῆς Παραδείσου ἀξίωσον, τὸν ἐπὶ γῆς, μόνην σε ἐλπίδα μετὰ Θεόν· μόνην πρεσβείαν ἔχοντα· μόνην προστασίαν μόνην ἰσχύν· διὸ ἐνδιαθέτως, τολμῶντα ταῦτα λέγειν, Δέσποινα σῶσόν με τὸν δοῦλόν σου.

Προσόμοια. Κύριε εἰ καὶ κριτηρίῳ παρέστης.

Χαῖρε ἡ λευκοφαῆ μαργαρίτην, καὶ διαυγῆ καὶ πολύτιμον, ἐκ κοκκοβαφῶν σου αἱμάτων, συμπεπηγμένον γεννήσασα, τὸν ταῖς γλυκείαις αὐτοῦ, καὶ φωτοβόλοις λάμψεσι, παντὸς τοῦ κόσμου τὸ ζοφῶδες, καταυγάζοντα Πανύμνητε.

Χαῖρε ἡ βρεφοπρεπῶς ἐν ἀγκάλαις, ταῖς σαῖς Παρθένε βαστάσασα, τὸν ἐφ' ὑψηλοῦ θρόνου δόξης, Θεοπρεπῶς καθεζόμενον· καὶ ἐν τοῖς στέρνοις τοῖς σοῖς, ὑπνώσαντα κρατήσασα, τὸν ἀνύστακτον καὶ πάντα, ἐφορῶν ὄμμα ἔχοντα.

Χαῖρε ἡ ὑπὲρ μέλι γλυκάζον, τὸν αἰσθητὸν Κόρη φάρυγγα· καὶ ὑπὲρ κηρίον ἡδῦνον, γλῶσσαν ἁπάντων καὶ λάρυγγα· καὶ ἀμβροσίας αὐτῆς, μᾶλλον καταγλυκαίνουσα, ἐν τῷ γλυκεῖ ὀνόματί σου, τὰς καρδίας τῶν ὑμνούντων σε.

Ἔκδυσόν με τὸν πενθήρη χιτῶνα, καὶ σωτηρίου με ἔνδυσον, καὶ ἀγαλλιάσεως θείας, καὶ εὐφροσύνης ἱμάτιον· ὅπως μὴ ἐκβληθῶ, γάμου μὴ ἔχων ἔνδυμα, ἐκ τοῦ νυμφῶνος τοῦ υἱοῦ σου, Θεοχαρίτωτε Δέσποινα.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ.

### ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

### ΠΟΙΗΜΑ ΦΩΤΙΟΥ.

Οὗ ἡ ἀκροστιχίς.

Ταύτη καὶ ἡ δέησις ὀγδόη πρέπει· Φωτίου.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Τὸ στόμα μου πλήρωσον γλυκασμοῦ, τοῦ θείου σου Κόρη, καὶ κατάλαμψόν μου τὸν νοῦν, ὅπως ἀνυμνῶ καὶ μεγαλύνω, τῶν οἰκτιρμῶν σου τὸ ἄπειρον πέλαγος.

Ἀσθενοῦσαν πάθεσι χαλεποῖς, τὴν πολυπαθῆ μου καὶ οἰκτρὰν καὶ βαρυαλγῆ, καρδίαν

ἰάτρευσον Παρθένε, τὸν ἰατρὸν τῶν ψυχῶν ἡ γεννήσασα.

Υπέρτερον δεῖξόν με ἡδονῶν, παθῶν σαρκικῶν τε, καὶ μερίμνων βιωτικῶν, τῶν ἄνω ταγμάτων ὑπερτέρα, καὶ λαμπροτέρα ἡλίου Θεόνυμφε.

Τὴν εὐλογημένην ἐν γυναιξὶ, καὶ δεδοξασμένην, ἱκετεύω σε τῆς φωνῆς, τῆς εὐλογημένης ἐπακοῦσαι, τοῦ σοῦ υἱοῦ, καὶ τῆς δόξης αὐτοῦ με τυχεῖν.

Ωδὴ, γ'. Οὐρανίας ἁψῖδος.

Η περίδοξος πόλις, καὶ λογικὴ Δέσποινα, τοῦ παμβασιλέως δυσώπει Θεοχαρίτωτε, τῆς ἄνω πόλεως, οἰκήτορά με γενέσθαι, καὶ μὴ καταισχύνῃς με τῆς προσδοκίας μου.

Καταφύγιον κόσμου, Χριστιανῶν καύχημα, σκέπη καὶ ἀντίληψις πάντων τῶν ἐλπιζόντων εἰς σέ, τὸν πεποιθότα σοι μὴ οὖν κἀμὲ ὑπερίδῃς, ἀλλὰ τῷ ἐλέει σου Δέσποινα σῶσόν με.

Απορία καὶ γνόφος, καὶ λογισμῶν σύγχυσιν, τοὺς τὸν ἀνερμήνευτον τόκον σου ἑρμηνεύοντας, καλύπτει Δέσποινα, ὃν Μωυσῆς γὰρ προεῖδε, γνόφῳ καλυπτόμενος, τοῦτον ἐγέννησας.

Ιεροῦ παραδείσου, καὶ ζωηροῦ χώρου με, βρώσει δελεάσας δολίᾳ, ὄφις ὁ δόλιος, μακρὰν ἐξώρισε, καὶ τῆς φθορᾶς τὸ χωρίον, τῆς Εδὲμ ἀλλάξασθαι, φθόνῳ παρέπεισεν.

Ωδὴ, δ'. Εἰσακήκοα Κύριε.

Η κοιλία σου ἄχραντε, εὐρυχωροτέρα οὐρανῶν γέγονεν, τὸν ἀχώρητον χωρήσασα· ὃν δυσώπει σῶσαι τοὺς ὑμνοῦντάς σε.

Δωρεάν με ἐλέησον, νόσων τε παντοίων Κόρη ἀπάλλαξον, καὶ κολάσεως ἐξάρπασον, ἡ καταφυγὴ καὶ προστασία μου.

Επὶ σοὶ ἀνατίθημι, πᾶσαν προσδοκίαν τῆς σωτηρίας μου, καὶ τοῦ βίου τὴν κυβέρνησιν, κεχαριτωμένη ἀειπάρθενε.

Η ἐλπίς μου καὶ καύχημα, ἡ καταφυγὴ ζωὴ καὶ ἀντίληψις, προστασία καὶ παράκλησις, σὺ ὑπάρχεις Κόρη πανσεβάσμιε.

Ωδὴ, ε'. Ορθρίζοντες.

Σωτῆρα καὶ φιλάνθρωπον Κύριον ἡ τεκοῦσα, τῇ φιλανθρωπίᾳ σου, τῆς σωτηρίας τρίβον μοι γνώρισον.

Ιλέῳ σου ἐν ὄμματι Δέσποινα Θεοτόκε, ἐπὶ τὴν ταπείνωσιν, τὴν ἐμὴν ἴδε καὶ σῶσόν με.

Στεφάνωσον ὡς ὅπλῳ Πανύμνητε εὐδοκίας, ἐν τῇ θείᾳ σκέπῃ σου, τὴν κεφαλήν μου φρουροῦσά με.

Ο ὕψιστος σαρκοῦται ἐν μήτρᾳ σου, καὶ γεννᾶται Θεοτόκε ἄχραντε, καὶ κενουργεῖ τὸ ἀνθρώπινον.

Ωδὴ, ς'. Χιτῶνά μοι παράσχου.

Γαλήνης ἡ κυήσασα Χριστὸν, τὸν αἴτιον Δέσποινα, τὸν ἄγριον κλύδωνα, τῶν παθῶν

μου δυσωπῶ σε ἡμέρωσον.

Δραμεῖν Θεοῦ ὁδὸν τῶν ἐντολῶν, τὴν ἐστενωμένην μου καρδίαν τοῖς πάθεσι, πλατυτέρα οὐρανῶν Κόρη πλάτυνον.

Οὐ κέκτημαι δακρύων ὀχετοὺς, ἵνα ἀποπλύνω μου τὰ ἄπειρα πταίσματα, ταῖς πρεσβείαις σου ἁγνὴ τούτων ῥῦσαί με.

Η Μήτηρ τοῦ ὑψίστου προσλαβοῦ, ἐκ πολλῶν ὑδάτων με παθῶν εἰς μετάνοιαν, ἀποστείλασα, ἐξ ὕψους τὴν χάριν σου.

Κάθισμα. Τὴν σοφίαν καὶ λόγον.

Η νεφέλη ἡλίου τοῦ νοητοῦ, τοῦ νοός μου τὰ νέφη τὰ σκοτεινὰ, διάλυσον Δέσποινα, τῷ φωτὶ τοῦ προσώπου σου, καὶ μετανοίας φέγγει, τὰ ὄμματα φώτισον, τῆς ζοφερᾶς ψυχῆς μου, παθῶν ἀμαυρότησι, τὰ πεπηρωμένα, καὶ τυφλώττοντα πάντη, τῶν φαύλων μου πράξεων, θολεραῖς ἐπιχύσεσιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Ωδὴ. ζ'. Παῖδες ἑβραίων.

Πίστει καὶ πόθῳ σοι προστρέχω, τῶν πταισμάτων ταῖς σειραῖς κατεσφιγμένος, διὰ σπλάγχνα ἐλέους, λῦσόν με βοῶντα, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ρεῖθρον ἰάσεώς μοι βλῦσον, καὶ κατάσβεσον τὴν κάμινον Παρθένε, ἡδονῶν καὶ παθῶν, πταισμάτων τε καὶ νόσων· σὺ γὰρ πηγὴ βλυστάνουσα, ζωῆς θείας γλυκὺ ῥεῖθρον.

Ελαφος διατετρωμένος, Παναμώμητε βολίσιν ἰοβόλοις, τοῦ ἐλέους τοῦ σοῦ, διψῶ πιεῖν ῥανίδα, ὡς τὸν ἰὸν ἐκκρούσωμαι, τὸν ποτὲ θανατηφόρον.

Πᾶσαν εἰς σὲ τὴν προσδοκίαν, ἀνατίθημι Παρθένε τῆς ζωῆς μου· μὴ παρίδῃς διὸ, ἀλλ' οἴκτειρον καὶ σῶσον, καὶ τῆς ἐκεῖ με λύτρωσαι, αἰωνίου καταδίκης.

Ωδὴ, η'. Τὸν βασιλέα τῶν οὐρανῶν.

Εν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ συλλαβοῦσα, Θεομῆτορ ἄχραντε Μαρία, τέτοκας ἀφράστως, Χριστὸν τὸν βασιλέα.

Ινα δοξάζω καὶ προσκυνῶ μετὰ δέους, σοῦ τὸ πάνσεπτον ὄνομα Κόρη, θλίψεώς με πάσης, ἐκλύτρωσαι καὶ βλάβης.

Φέρεις ὡς βρέφος, ἐν ταῖς ἁγίαις χερσί σου, τὸν τὰ πάντα φέροντα τῷ λόγῳ· ὅθεν σὺν αὐτῷ σε, ὑμνοῦμεν εἰς αἰῶνας.

Ως ἀσφαλῆ σε, ἐλπίδα μόνην κατέχων, καθικετεύω, ἁμαρτιῶν καὶ κινδύνων, ἄχραντε Μαρία, ἐκλύτρωσαί με τάχει.

Ωδὴ, θ'. Κυρίως Θεοτόκον.

Τοὺς σοὺς οἰκτροὺς οἰκέτας, οἰκτείρησον Παρθένε, ἀνιαροῦ τε παντὸς ἐλευθέρωσον, ἐπιφορᾶς ἐπιούσας ἀναχαιτίζουσα.

Ιλάσθητι σωτήρ μου, πᾶσι τοῖς τιμῶσι, τὴν ὑπερένδοξον ὄντως Μητέρα σου, καὶ παρα-

δείσου τῆς δόξης, δεῖξον οἰκήτορας.

**Ο**δὸν κακίας πάσης, ἔδραμον εὐτόνως, τῶν ἀρετῶν τὴν ὁδὸν δὲ παρέδραμον· ὁδόν μοι γνώρισον Κόρη, ἐν ᾗ πορεύσομαι.

**Υ**μνον σοι τελευταῖον, πρῶτον τε καὶ μέσον, τοῦ Ἀρχαγγέλου τὸ χαῖρε προσφέρω σεμνή· σοὶ γὰρ κατάλληλον ἄλλον, εὑρεῖν οὐ δύναμαι.

Στιχηρὰ Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος.

**Χ**αῖρε θανάτου καθαίρεσις, Παρθενομῆτορ ἁγνή· χαῖρε ᾅδου ἡ νέκρωσις· τοῦ Ἀδὰμ ἡ ἔγερσις· καὶ τῆς Εὔας ἡ λύτρωσις· Χαῖρε Μαρτύρων σθένος ἀνίκητον· Χαῖρε Ὁσίων, στολὴ Θεότευκτος· Χαῖρε διάσωσμα, κόσμου Παναμώμητε· Χαῖρε χαρά, πάντων τῶν ἐν θλίψεσι, συνεχομένων σεμνή.

**Χ**αῖρε τὸ ἄνθος τῆς πίστεως· Χαῖρε βροτῶν ἡ ἐλπίς· Χαῖρε τεῖχος ἀκράδαντον· Χαῖρε πόλις ἔμψυχε, τοῦ Δεσπότου τῆς κτίσεως· τὸ τῶν μητέρων χαῖρε ὡράϊσμα· καὶ τῶν παρθένων κάλλος παμπόθητον· Χαῖρε πανθαύμαστον, οἰκουμένης καύχημα· Χαῖρε Θεοῦ, θεῖον ἐνδιαίτημα· Χαῖρε Θεόνυμφε.

**Χ**αῖρε ἁπάντων ἐπίλογε, τῶν λόγων Κόρη σεμνή· πάσης βίβλου τελείωσις, παλαιᾶς τε νέας τε· μελῳδῶν τὸ συμπέρασμα· στοιχεῖον πάντων, γραμμάτων κρύφιον· Ἄλφα Ὠμέγα, ἀρχὴ καὶ τέλος τε, μετὰ τὸν τόκον σου, σὺ ὑπάρχεις Δέσποινα· ὅθεν τῇ σῇ δυνάμει τὰ ᾄσματα, ταῦτα τετέλεσται.

**Π**ρόσδεξαι τοῦτον τὸν πόνον μου, τὸν εὐτελῆ ἀγαθή· ὃν ἐγώ σοι προσέφερον, ἀσθενείᾳ σώματος, καὶ σῷ πόθῳ κρατούμενος, τοῦ πόθου ταύτην ὑπερνικήσαντος· καὶ σωτηρίας με καταξίωσον· ἵνα τὸν ὕστατον, καὶ μέσον καὶ πρῶτόν τε, ὕμνον ἁγνή, τοῦ Ἀγγέλου κράζω σοι· Χαῖρε ἡ μήτηρ Θεοῦ.

Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ·

Ψαλλόμενος εἰς πᾶσαν θλῖψιν.

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ.

Ωδὴ, α΄, ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

ΜΥΡΙΑΙΣ βαλλόμεθα συμφοραῖς, σφοδρὰς τὰς ὀδύνας, ὑφιστάμενοι ἐν αὐταῖς· ἀλλ' ἤδη σὺ τούτων Θεομῆτορ, τοὺς ἐπὶ σοὶ πεποιθότας ἐξάρπασον.

Τὰ λίαν ταράττοντα νῦν πολλὰ, πληροῦντα θορύβων, τὰς καρδίας πάντων ἡμῶν. Γαλήνην οὖν δίδου σὺ Παρθένε, τοῖς σὲ προστάτιν πλουτήσασιν ἄμαχον.

Νευροῦσα καὶ φρένας καὶ λογισμοὺς, ἡμῶν τῶν ἀχρείων, ἀναξίων τε δούλων σῶν, ἐνίσχυσον Κόρη σαῖς πρεσβείαις, τὰ δυσχερῆ εὐχερῶς ἀποκρούσασθαι.

Η σώζουσα πάντας τοὺς γηγενεῖς, ἀεί τε κινδύνων, λυτρουμένη τῶν χαλεπῶν· σῶζε νῦν ἐκ βλάβης σοὺς οἰκέτας, κατακρατούσης ἡμᾶς Θεονύμφευτε.

Ωδὴ, γ΄. Οὐρανίας ἀψῖδος.

Καταιγὶς ἀθυμίας, νῦν ἐφ' ἡμᾶς ἔπνευσε, Δέσποινα παράκλησις κόσμου, ταύτην κατεύνασον, ὅρμῳ προσάγουσα, πάντας ἡμᾶς εὐθυμίας, κυβερνοῦσα χάριτι σῆς ἀντιλήψεως.

Επηρείαις δαιμόνων, ὡς τὰ πολλὰ πάσχομεν· ὅθεν καὶ κατώδυνον ὅλην ζωὴν ἀνύομεν· σὺ οὖν βοήθησον, θείας χαρᾶς ἡ αἰτία, τὰ λυποῦντα τάχιστα διασκεδάζουσα.

Μητρικαῖς ἱκεσίαις, τὸν τῶν δεινῶν κλύδωνα, τὸν καταλαβόντα σοὺς δούλους παῦσον Πανάμωμε, κατακοιμίζουσα, τὰς πονηρὰς ἀντιπνεύσεις, ἐναντίαν ζάλην τε πόῤῥω ἐλαύνουσα.

Σὸν υἱὸν δυσωποῦσα, τὸν εὐμενῆ Κύριον, λύσιν σοῖς οἰκέταις παράσχου πάσης κακώσεως, μόνῳ τῷ νεύματι, τὰ λυπηρὰ ἐκδιώκειν, τὴν ἰσχὺν ὡς ἔχουσα Θεογεννήτρια.

Ωδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Τὰ δεινῶς νῦν χειμάζοντα, κύματα τῆς λύπης σὺ καταπράϋνον, ἡ τὸν εὔδιον κυήσασα, τῆς χαρᾶς λιμένα Μητροπάρθενε.

Αλγηδόνων ἀπάλλαξον, ἐπικαμπτομένη οἰκτραῖς δεήσεσι· πᾶσαν ἄχραντε ἐπάχθειαν, ἐπιοῦσαν ἄφνω ἀναστέλλουσα.

Λυπηραῖς περιστάσεσι, κάμνομεν ἐσχάτως ταλαιπωρούμενοι· ἀλλὰ τούτων τὴν δυσχέρειαν, εὐμαρῶς Παρθένε μεταποίησον.

Τὴν ὀδύνην θεράπευσον, τὴν νῦν κατασχοῦσαν ἡμᾶς τοὺς δούλους σου, ἡ ὠδῖνας ἐν τῷ τόκῳ σου, μητρικὰς φυγοῦσα Θεονύμφευτε.

Ὠδὴ, ε΄. Φώτισον ἡμᾶς.

Σκέδασον ἀχλὺν, ἀθυμίας τελεώτατα, τῷ σῷ φωτίζουσα φωτὶ τὰς ψυχὰς, τῶν σοὶ προθύμως προσφευγόντων Παναμώμητε.

Ρῶσον κραταιῶς, τὰς καρδίας τῶν τιμώντων σε, ὡς ἀλγεινῶν τῶν ἐπιόντων βολαῖς, ἀτρώτους μένειν σκεπομένους θείᾳ χάριτι.

Ὄφιν σκολιὸν, σοῖς οἰκέταις ἐπεμβαίνοντα, ἐπιβουλάς τε συσκευάζοντα, παντοίῳ τρόπῳ διολέσασα θανάτωσον.

Ἅπαντα ἐχθρὸν, δυσμενῶς ἐπιτιθέμενον, ἡμῖν τοῖς δούλοις σου Πανάμωμε, θείῳ σου κράτει, συμπατοῦσα ἐξαφάνισον.

Ὠδὴ, ς΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐπέθεντο κραταιοὶ ἐπέθεντο, τοῖς σοῖς δούλοις Θεομῆτορ Παρθένε, οἱ ἐχθρωδῶς ἡμῖν ἔχοντες φύσει, ἐκπολεμοῦντες καὶ θλίβοντες ἄμετρα· σὺ οὖν ἐλπὶς ἡ κραταιὰ, ἐπηρμένην ὀφρὺν τούτων σύστειλον.

Οἱ μώλωπες προφανῶς ὡς ἔοικεν, ἀνιάτρευτοι ἡμῖν συντηροῦνται· διὸ καὶ νῦν ἀνιάτως νοσοῦσι, πρὸς θεραπείαν πληγαὶ ἐπιφέρονται, μαστίζουσαι ὀδυνηρῶς· ἀλλὰ τούτων ἁγνὴ σὺ ἀπάλλαξον.

Τοῦ βίου ταῖς ἡδοναῖς δουλεύοντες, ἀπωθούμενοι ἐγκράτειαν πᾶσαν, κρίσει Θεοῦ ὄντως δικαιοτάτῃ, ἀνιαροῖς τοῖς παροῦσιν ἑάλωμεν· ἀλλ' ἄβυσσον ἡμῶν κακῶν, νικησάτω χρηστότης ἡ ἄπειρος.

Ἐξέχεεν ἐφ' ἡμᾶς ὁ Κύριος, τὴν ὀργὴν αὐτοῦ εὐθείᾳ τῇ ψήφῳ· ὡς γὰρ ὀργῆς χρηματίσαντας τέκνα, καὶ ὁ θυμὸς τῆς ὀργῆς αὐτοῦ ἔλαβε, κατάβρωμα δεινῶς ποιῶν· ἀλλ' αὐτὸν ἡμῖν σὺ ἐξιλέωσαι.

Ὠδὴ, ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σαῖς λιταῖς Θεοτόκε, σὸν υἱὸν ἐκδυσώπει οἶκτον ἐνδείξασθαι, εἰς πταίοντας οἰκέτας, θερμῶς δὲ ἐκβοῶντας, καὶ ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεϊκοῦ νῦν ἐλέους, διὰ σοῦ προσδοκῶντες τεύξασθαι Πάναγνε, φωνὰς τὰς ἱκεσίους, προσάγομεν ἐμπόνως, τὰς δεήσεις πληθύνοντες, καὶ σοῦ εἰκόνι σεπτῇ ὡς ζώσῃ προσλαλοῦντες.

Θησαυρόν σε εἰδότες, μὴ κενούμενον ὅλως καὶ ἀδαπάνητον, προστρέχομεν ἀντλῆσαι, δαψιλοῦς εὐποιΐας, πλουτισμὸν ἀναφαίρετον· μὴ οὖν ἐλπίδων ἡμᾶς τοιούτων νῦν στερήσῃς.

Νόος μικροψυχία, κατεβάρυνεν ὅλως ἡμᾶς Πανάμωμε, εἰς θλίψεις ἐνεγκοῦσα, καὶ δάκρυα καὶ πόνους· ἀλλ' αὐτὴ νῦν ἀνέλκυσον, ὁ τῶν Πατέρων βοᾶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η΄. Τὸν Βασιλέα.

Τὰς κατηφείας τῶν καρδιῶν τίς ἰσχύει, διαλύειν εὐκόλως Παρθένε; εἰ μὴ ὄντως μόνη, ἡ θεία σου πρεσβεία.

Πικρὰς ὀδύνας σῶν οἰκετῶν τίς νῦν παύσει; εἰ μὴ μόνη σὺ Θεοκυῆτορ, ἡ τὸν ἰατῆρα ψυχῶν ἀποτεκοῦσα.

Περιωδύνους ἡμῶν ψυχὰς θεραπεύοις, πειρασμῶν τε ἀχλὴν ἀπελαύνοις, ἄχραντε ἀκτῖσι σεπτῆς σου μεσιτείας.

Τὰς περιστάσεις τὰς χαλεπὰς μεταβάλοις, εἰς χαρὰν ἡ χαρὰν τετοκυῖα, Δέσποινα τοῦ κόσμου πιστῶν ἡ προστασία.

Αἰνοῦμεν. Ὁ Εἱρμός·

Τὸν βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Σαρκὶ ἀποτεκοῦσα, Κύριον ἁπάντων, ἐλευθερίαν δεινῶν ἡμῖν χάρισαι, ταῖς πρὸς αὐτὸν εὐπροσδέκτοις θείαις ἐντεύξεσιν.

Οἰκτείρησον Παρθένε, σοὺς οἰκτροὺς οἰκέτας, ἀνιαροῦ τε παντὸς ἐλευθέρωσον, ἐπιφορὰς ἐπιούσας ἀναχαιτίζουσα.

Χαρᾶς καὶ εὐφροσύνης, πλήρωσον σοὺς δούλους, εἰλικρινῶς σοι προσφεύγοντας ἄχραντε, τῶν καρδιῶν τὰς ὀδύνας ἀποῤῥαπίζουσα.

Θεὸν τὸν εὐεργέτην, πάντων καὶ σωτῆρα, ταῖς μητρικαῖς σου λιταῖς ἐκδυσώπησον, ῥύεσθαι πάντας κινδύνων ἁγνὴ τοὺς δούλους σου.

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

### ΠΡΟΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Εἰς πᾶσαν ἀσθένειαν.

### ΠΟΙΗΜΑ ΤΟΥ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

Οὗ ἡ ἀκροστιχίς.

Τὰς ἀσθενείας ἰάτρευσόν μου Κόρη· μοναχοῦ Ἰωάννου.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην.

ΤΑΣ ἀσθενείας μου καὶ νόσους ἴασαι, Θεογεννήτρια, ὡς τὸν Θεὸν Λόγον ἐν σαρκὶ κυήσασα, τὸν τοῖς αὐτοῦ παθήμασι, τὰς ἡμῶν μαλακίας, καὶ νόσους πάντων βαστάσαντα, καὶ τὰς ἀσθενείας ἰώμενον.

Ἄνευ ὠδίνων ἡ τεκοῦσα Δέσποινα, τὰς ἀλγηδόνας μου, καὶ τοὺς βαρεῖς πόνους, καὶ

τὰς πιεζούσας με, καὶ συνθλιβούσας πάντοθεν, δριμυτάτας ὀδύνας, ἐλάφρυνον ἐπικούφισον, καὶ ἐπισκοπῇ σου θεράπευσον.

Στρέψον ἐμοὶ τὸν κοπετὸν τῆς νόσου μου, εἰς ὑγιείας χαράν· τὸν σκοτεινὸν σάκκον, τὸν τῆς καχεξίας μου, Παρθένε διαῤῥήξασα, τὴν φαιδρὰν εὐεξίας, περίζωσον εὐφροσύνην με, καὶ ἀγαλλιάσεως πλήρωσον.

Αναπτομένη τῶν παθῶν ἡ κάμινος, σπινθῆρας καίοντας, φθοροποιῶν νόσων, καὶ πυρφόρους ἄνθρακας, ἐξῆψε καὶ φλογίζει με, πυρετοῖς λαυροτάτοις· ἀλλ' εἰ δροσίσεις με Δέσποινα, ἴαμα ἡ σὴ δρόσος ἔσται μοι.

Ωδὴ, γ'. Οὐρανίας ἀψῖδος.

Θαυμαστὸν ἐν ἁγίοις, Κόρη Θεὸν τέτοκας· ὅθεν ἐπ' ἐμὲ τὰ ἐλέη τὰ σὰ θαυμάστωσον, ὑπεραγία σεμνὴ, καὶ ἀφορήτοις ὀδύναις, ἤδη νεκρωθέντα με ζώωσον δέομαι.

Επὶ κλίνης ὀδύνης ὀδυνηρῶς κείμενος, σὲ ἐπικαλοῦμαι Παρθένε· κλῖνον τὸ οὖς σου ἐμοί· σπεῦσον τοῦ σῶσαί με· τάχυνον τοῦ ἐξελέσθαι, πυρὸς ὑποσμύχοντος νῦν τὴν καρδίαν μου.

Νηπιόφρονα παῖδα, νέον υἱὸν ἄτακτον, ῥάβδῳ σωφρονίζει παιδεύων πατὴρ φιλόστοργος· οἶδα φιλάνθρωπε· ἀλλ' ἱκανῶς με τυφθέντα, διὰ τῆς τεκούσης σε πάλιν ἐλέησον.

Ισχυράν σε κρηπίδα καὶ ἱερὰν ἄγκυραν, καὶ ἀῤῥαγεστάτην ἐλπίδα Δέσποινα κέκτημαι· διό με κύμασι, κλυδωνιζόμενον νόσων, εἰς ὑγείας ἴθυνον λιμένα εὔδιον.

Ωδὴ, δ'. Σύ μου ἰσχύς.

Σὺ τὴν πηγὴν, τῶν ἰαμάτων ἐπήγασας, νοσημάτων ἄβυσσον ξηραίνουσαν, παρεχομένην τε δωρεὰν, ῥῶσιν τοῖς νοσοῦσιν, ὑγείαν τοῖς κακῶς πάσχουσι· διὸ τὸν δαμασθέντα, χαλεπαῖς ἀῤῥωστίαις, καὶ πικραῖς ἀσθενείας με ἴασαι.

Ινα τὰ σὰ, ἐκδιηγῶμαι θαυμάσια, Θεοτόκε, καὶ τὰ μεγαλεῖα σου ἵνα ἀνθρώπων ἐν τοῖς υἱοῖς, ἐξομολογῶμαι, τὰ σὰ ἐλέη Πανύμνητε, ἐπίβλεψον εὐσπλάγχνως, ἐπ' ἐμὲ τὸν νοσοῦντα, καὶ ὑγείαν τελείαν μοι δώρησαι·

Απαλλαγὴ, τῶν ἀσθενούντων ὑπάρχουσα, καὶ ὑγεία, πρόχειρος καὶ ἴασις, μεταβολὴ καὶ ἀναψυχὴ, τῶν ἐν ἀθυμίαις, καὶ συμφοραῖς τε καὶ θλίψεσιν· ὀδύναις πικροτάταις, ἀνενδότοις με πόνοις, δαπανώμενον οἴκτειρον Δέσποινα.

Τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης οὐσίας Χριστὲ, ὁ φορέσας, διὰ ἀγαθότητα· τὰς ἀσθενείας μου τὰς πολλὰς, καὶ τὰς ἀῤῥωστίας, εὐσπλάγχνως ἴασαι εὔσπλαγχνε, εἰς τοῦτον δυσωποῦσαν, τὴν ἁγνῶς σε τεκοῦσαν, κεκτημένος ἁγνὴν Θεομήτορα.

Ωδὴ, ε'. Ἱνατί με ἀπώσω.

Ραντισμοῖς οἰκτιρμῶν σου, τὸν τῆς ἀσθενείας μου βόρβορον πλύνασα, καθαρᾶς ὑγείας, ἀπολαῦσαι παράσχου μοι Δέσποινα· καὶ γὰρ ἡ ζωή μου, κατὰ μικρὸν προσδαπανᾶται, καὶ ἐλπὶς σωτηρίας οὐκ ἔστι μοι.

Εν ὀδύνῃ τὰ ἔτη, καὶ ἐν στεναγμοῖς ἡ ζωή μου ἐξέλιπον· καὶ ἠσθένησέ μου, ἡ ἰσχὺς ἡ τοῦ σώματος Δέσποινα· καὶ γὰρ ἐταράχθη, πολυημέρῳ κατακλίσει, τὰ ὀστᾶ μου διό με ἐλέησον.

Σὲ θερμὴν προστασίαν, καὶ ἐπικουρίαν ἑτοίμην ἐν θλίψεσι, κεκτημένος Κόρη, πρὸς τὴν σὴν καταφεύγω ἀντίληψιν, τὰς πικρὰς ὀδύνας, τὰς ἀφορήτους ἀλγηδόνας, τὸ βαρύτατον ἄλγος μου κούφισον.

Ωδὴ, ς΄. Ἄβυσσος ἁμαρτιῶν.

Μείζονα πυρκαϊὰν, τῆς πικρᾶς βαβυλωνίας καμίνου, καυστικωτέραν φλόγα, ἐμπιπρῶσαν καὶ τήκουσαν, πυρετοὺς διακαεῖς, ἔνδον ἀνάπτουσαν τῆς καρδίας, ἁμαρτιῶν μου ἡ ὕλη ἐξῆψέ μοι.

Ὄμβρησόν μοι φωτεινὴ, χαριτόβροχε νεφέλη Παρθένε, τῶν ἰαμάτων ῥεῖθρα, καὶ τακέντα μοι καύσωνι, πυρετῶν διακαῶν, δρόσισον δέομαι, καὶ πρὸς τὴν πρώτην παλινδρομῆσαι ὑγείαν παράσχου μοι.

Ὕδατος ζῶντος πηγὴ, τὸ πικρὸν καὶ ἀνυπόστατον ὕδωρ, τῶν ὀδυνῶν καὶ πόνων, καὶ παθῶν τῶν τοῦ σώματος, τὸ χειμάζον με δεινῶς, πράϋνον εὔνασον στῆσον ψῦξον, καὶ τὴν καρδίαν γαληνίασον.

Κοίμισον τῶν ὀδυνῶν, ἀκοιμήτῳ σου πρεσβείᾳ Παρθένε, τὰ συνεχῆ καὶ λίαν ἀγριαίνοντα, περιόδους πυρετῶν, καὶ τὰ σφοδρότατα τούτων ῥίγη παῦσον· καὶ γὰρ τὰ ὀστᾶ καταθλῶσί μου.

Ωδὴ, ζ΄. Παῖδες Ἑβραίων.

Ὅλην ἐν σοὶ τὴν προσδοκίαν, τὴν ἐλπίδα τε τῆς σωτηρίας ὅλην, ἐπιῤῥίπτω διὸ, ὅλη τὴν κοίτην στρέψον, τῆς ἀῤῥωστίας Δέσποινα, τῆς ἐμῆς εἰς εὐῤῥωστίαν.

Ῥεῖθρον ἰάσεώς μοι βλῦσον, καὶ παφλάζουσαν τὴν κάμινον Παρθένε, τῶν σφοδρῶν πυρετῶν κατάσβεσον εἰς τέλος· σὺ γὰρ πηγὴ βλυστάνουσα, ζωῆς θείας γλυκὺ ῥεῖθρον.

Ἤγειρεν ἄσπετόν μοι φλόγα, ἡ τοῦ σώματος πολλὴ κακοχυμία, ἣ καὶ τὴν φυσικὴν ἐτέφρωσεν ἰκμάδα, δίκην δαλοῦ ξηράνασα, τὴν ἀθλίαν μου καρδίαν.

Μόνη χαρὰ τῶν θλιβομένων, ὅτι θλίβομαι ταχὺ ἐπάκουσόν μου· πρόσχες μου τῇ ψυχῇ, καὶ σοῦ μὴ ἀποστρέψῃς, τὸ τοῦ ἐλέους πρόσωπον, ἀπ' ἐμοῦ Θεογεννῆτορ.

Ωδὴ, η΄. Ἑπταπλασίως.

Νέος τελῶν παράλυτος· νεκρὸς ἔμπνους ἡμιθνητος, καταβεβλημένος, ἐπὶ κλίνης βέβλημαι· κἀμοὶ γὰρ ἐγένετο, τύμβος ἡ κλίνη Δέσποινα, χεῖρας παρειμένῳ, γόνατα τοὺς πόδας· καὶ ἀλλ' ὅμως ἐὰν θέλῃς, λόγῳ με σώσεις μόνῳ, ὡς μόνη Θεοῦ Μήτηρ καὶ ἄχραντος Παρθένος.

Ἀνιαροῖς νοσήμασι, χαλεποῖς ἀῤῥωστήμασι, καὶ ἀλλεπαλλήλοις, ἀνιάτοις πάθεσι, δεινῶς χειμαζόμενος, ὥσπερ εἰς ὅρμον εὔδιον, εἰς τὸν γαληνὸν τοῦ σοῦ ἐλέους λιμένα, προσώρμισα Παρθένε· κόπασον ὀδυνῶν μου, τὸν κλύδωνα καὶ παῦσον τὰ κύματα τῶν πόνων.

Χαῖρε πηγὴ χρηστότητος· ἀγαθότητος πέλαγος· καὶ φιλανθρωπίας, καὶ ἐλέους ἄβυσσε· τὴν σὴν ἀγαθότητα, καὶ ἐπ' ἐμοὶ θαυμάστωσον· καὶ τῆς κατεχούσης με, καὶ κατατρυχούσης, ἐσχάτης ἀσθενείας, εὐσπλαγχνίας ῥανίδι, τῆς σῆς Θεοκυῆτορ ἀπάλλαξον ἐν τάχει.

Ὁ ποταμὸς τῆς χάριτος, ὁ λουτὴρ τῶν ἰάσεων· ὁ τῆς εὐφροσύνης, καὶ ἀγαλλιάσεως, κρα-

τὴρ ἀνεξάντλητος, Θεογεννῆτορ Δέσποινα, ἴασαι κἀμὲ, τὸν ἐπὶ κλίνης ὀδύνης, οἰκτρῶς παρεῤῥιμμένον, ὥσπερ ἄψυχον φόρτον· καὶ κέρασόν μοι πόμα παρεκτικὸν ὑγείας.

Ωδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰάτρευσον νοσοῦντά με χαλεπῶν, ὡς Θεὸν Θεοτόκε κυήσασα, ἄνευ σπορᾶς, νόσους τῶν σωμάτων καὶ τῶν ψυχῶν, νεύματι τὸν ἰώμενον· ὅπως ἐν ὑγείᾳ διατελῶν, ὑμνῶ σε γηθοσύνως, γεραίρω χαρμοσύνως· καὶ εὐφροσύνως μεγαλύνω σε.

Ὡς Μήτηρ τοῦ τῶν ὅλων Δημιουργοῦ, συντριβέντα με ὅλον ἀνάπλασον, εἰς χοῦν παθῶν, καὶ καταῤῥαγέντα με πρὸς τὴν γῆν, ὡς ἀγαθὴ ἀνόρθωσον· πάντα γὰρ ἰσχύεις ὡς δυνατὸν, Δεσπότην ἐν ἰσχύϊ, γεννήσασα Παρθένε, καὶ ὅσα θέλεις πάντα δύνασαι.

Ἀνόρθωσις πεσόντων καὶ ἀσθενῶν, ἡ ἰσχὺς καὶ ὑγεία καὶ ἴασις, τὸν ἀσθενῆ, καὶ πολυαμάρτητον ἀληθῶς, καὶ καταπεπτωκότα με, σώματι καὶ πνεύματι καὶ ψυχῇ, ἀνόρθωσον Παρθένε· ἀξίωσον ὑγείας, καὶ σωτηρίαν μοι πρυτάνευσον.

Νοσούντων ὀξυτάτη ἀπαλλαγή· ἀσθενούντων ἑτοίμη παράκλησις, ἀναψυχὴ, τῶν κακοπαθούντων ἐν συμφοραῖς, εἰς τὴν ἐμὴν ἀσθένειαν, καὶ τὴν κακοπάθειαν τὴν πολλὴν, ἐπίβλεψον εὐσπλάγχνως, καὶ πρόσχες φιλανθρώπως, ἐν ἱλαρῷ σου Κόρη ὄμματι.

## ΕΤΕΡΟΣ ΚΑΝΩΝ

### ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Μετὰ τὴν νόσον.

### ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΤΟΥ ΑΥΤΟΥ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

Ωδὴ, α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Η ΠΥΛΗ τῆς θείας ἀνατολῆς, ἤνοιξάς μοι πύλας, συμπαθείας καὶ ἐξ ὁδοῦ, εἰς ᾅδην φερούσης ἐλυτρώσω· διὸ ἀεὶ εὐχαρίστως δοξάζω σε.

Καρδίᾳ καὶ πνεύματι καὶ νοῒ, τεταπεινωμένῳ, ἀνθ᾽ ὧν ἔτυχον τῆς ἐκ σοῦ, ἁγία Παρθένε βοηθείας, εὐχαριστῶ σοι ἀπαύστως ὁ δοῦλός σου.

Τὸ πένθος μετῆλθέ μοι εἰς χαρὰν· ἰδοὺ γὰρ ὁρῶμαι, ὑγιαίνων χάριτι σῇ· διὸ Παναμώμητε Μαρία, εὐχαριστῶ σοι καὶ πίστει δοξάζω σε.

Ναῷ σου τῷ θείῳ προσπεφευγὼς, ὀδύναις παντοίαις, χειμαζόμενος χαλεπῶς, ὁ δοῦλός σου ἔτυχε γαλήνης· καὶ διὰ τοῦτο Παρθένε δοξάζει σε.

Ωδὴ, γ΄. Οὐρανίας ἁψῖδος.

Ἁμαρτίας βυθός με, εἰς ἀχανὲς πέλαγος, ὤθησεν ἁγνὴ ἀσθενείας· ἀλλὰ προσέδραμον, εἰς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γαληνότατον τῶν οἰκτιρμῶν σου λιμένα, καὶ τυχὼν ἰάσεως πόθῳ δοξάζω σε.

Τῆς ἐμῆς ἀσθενείας, ἀναψυχὴ γέγονας, καὶ τῆς συνεχούσης ὀδύνης θᾶττον ἀπήλλαξας, Θεοχαρίτωτε· εὐχαριστίας φωνάς σοι, διὰ τοῦτο φθέγγομαι πίστει ὁ δοῦλός σου.

Τὴν ἐμὴν οὐ παρεῖδες, ὀδυνηρὰν δέησιν· βρύεις γὰρ πηγὴν συμπαθείας, εὔσπλαγχνε Δέσποινα· ὅθεν τὸ ἄλγος μου, καὶ τῆς ψυχῆς τὴν ὀδύνην, θείᾳ ἐπισκέψει σου θᾶττον ἐκούφισας.

Ἀπὸ κλίνης ὀδύνης, ἀπὸ πυλῶν ᾅδου με, ἀπὸ στενωτάτης κακώσεως ἐπανήγαγες, πρὸς φῶς ἀνέσεως· εἰς πλατυσμὸν εὐῤῥωστίας· ἀνθ' ὧν μεγαλύνω σε ἄχραντε Δέσποινα.

Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.

Τοῦ συνέχοντος καύσωνος, δρόσῳ τοῦ ἐλέους σου ἠλευθέρωσας, τὴν πυρέττουσαν καρδίαν μου· διὰ τοῦτο Κόρη μακαρίζω σε.

Ἐπ' ἐμοὶ ἐθαυμάστωσας, ἄχραντε Θεόνυμφε τὰ ἐλέη σου, ῥυσαμένη με κακώσεως, καὶ τῆς κατεχούσης ἀπογνώσεως.

Τῆς φωνῆς μου ἀκούσασα, πᾶσαν ἀπ' ἐμοῦ ἀφεῖλες δυσχέρειαν· διὸ πάντοτε δοξάζω σε, τὴν δεδοξασμένην ἀειπάρθενε..

Συμπαθείας ἠξίωσας, τὸν ἀσυμπαθῆ με καὶ ἐπεσκέψω με, περιστάσεσι κλονούμενον, Θεοτόκε ὅθεν μεγαλύνω σε.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Ὁ συνέχων με ζόφος, τῇ ἐπισκοπῇ σου ἁγνὴ ἀπελήλατο· αἱ πολλαὶ ὀδύναι, κουφισμὸν ἀοράτως ἐδέξαντο· ὑπὲρ ὧν δοξάζων, εὐχαριστῶ καὶ μεγαλύνω, τὴν θερμήν σου Παρθένε ἀντίληψιν.

Ταπεινώσει καρδίας, ὕμνον χαριστήριον ἁγνὴ προσάγω σοι, ὁ πιστός σου δοῦλος, λυτρωθεὶς τῶν θλιβόντων Πανάχραντε, καὶ βοῶ σοι χαῖρε, καταφυγὴ τῶν ἐν ἀνάγκαις· χαῖρε μόνη ἀνθρώπων βοήθεια.

Τὸν ζοφώδη χιτῶνα, τῆς παρενοχλούσης με νόσου ἀπέδυσας, καὶ τὸν τῆς ὑγείας, φωτεινὸν παρ' ἐλπίδα ἐνέδυσας· διὸ νῦν χορεύω, περιχαρῶς ἐν τῷ ναῷ σου, ἀνυμνῶν σου Παρθένε τὰ θαύματα.

Ἀκοιμήτῳ πρεσβείᾳ, μέλλοντα εἰς θάνατον ὑπνοῦν με ἤγειρας· καὶ τοῖς πόνοις πέρας, ἐπισκέψει σου θείᾳ ἐπέθηκας· καὶ ἀνήγαγές με, ἀπὸ βυθοῦ πολλῆς ὀδύνης· διὰ τοῦτο Παρθένε δοξάζω σε.

Ὠδὴ, ς'. Ἱλάσθητί μοι Σωτὴρ,

Τὸν κοπετὸν εἰς χαρὰν, μετέστρεψας τοῦ οἰκέτου σου· διέῤῥηξας γὰρ ἐμοῦ, τὸν σάκκον πανάμωμε, τῆς πολλῆς κακώσεως· καὶ τὴν τῆς ὑγείας, εὐφροσύνην περιέζωσας.

Παράλυτον ὡς τὸ πρὶν, ὁ σὸς υἱὸς ἐξανέστησε, Θεοκυῆτορ ἁγνὴ, οὕτω με τὸν δοῦλόν σου, ἐκ νόσου ἐξήρπασας, θάνατον γεννώσης· διὰ τοῦτο μεγαλύνω σε.

Τὰ τέλη μου τῆς ζωῆς, ἠλέησας φανταζόμενον· καὶ νῦν Παρθένε ἁγνὴ, ναόν σου τὸν ἅγιον, χαίρων περιέρχομαι, εὐχαρίστῳ γλώσσῃ, καὶ καρδίᾳ μακαρίζων σε.

Ψυχῆς μου τὰς ἐκτροπὰς, θεράπευσον ἀειπάρθενε, ὡς ἔπαυσας τὰς δεινὰς, ὀδύνας τοῦ σώματος· ὅπως ἀμφοτέρωθεν, ὑγιαίνων αἶνον, χαριστήριον προσάξω σοι.

Ωδὴ, ζ'. Παῖδες Ἑβραίων.

Χαῖρε χαρὰ τῶν θλιβομένων· καὶ ἀντίληψις, τῶν καταπονουμένων· χαῖρε σκέπη γυμνῶν· καὶ δόξα τῶν βοώντων· εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ιαμα βρύεις τοῖς νοσοῦσιν, ἐκ παλάμης σου Μαρία Θεοτόκε· τὸν σὸν δοῦλον ἐξ οὗ, ἐπότισας βοῶντα· εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ποίαις φωναῖς σε ἀνυμνήσω; ποίᾳ γλώσσῃ σε Παρθένε μεγαλύνω; ὅτι νόσου πικρᾶς, καὶ πόνων βαρυτάτων, δι' εὐσπλαγχνίαν ἄφατον, ἐλυτρώσω τὸν σὸν δοῦλον.

Εἶδες τὴν θλίψιν μου Παρθένε· καὶ προσέσχες φωνῇ μου καὶ ἐρρύσω, χαλεπῶν με παθῶν, καὶ νόσων καὶ κινδύνων· εὐχαριστῶ σοι Δέσποινα, ἡ ἐλπίς μου ἡ βεβαία.

Ωδὴ, η'. Ἑπταπλασίως

Τοῖς ἀλγεινοῖς στενούμενος· πυρετοῖς τε φλεγόμενος· καὶ τῇ τρικυμίᾳ, τῶν δεινῶν δονούμενος, προσῆλθόν σοι Δέσποινα, εὐλογημένη Πάναγνε· καὶ ὡς συμπαθὴς, οὐκ ἐβδελύξω με ὅλως· ἀλλ' ἔσωσας βοῶντα· ἱερεῖς εὐλογεῖτε· λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῖς συνεχέσι πόνοις με, χαλεπῶς συντριβόμενον, καὶ τῇ ἀπογνώσει, τῆς ζωῆς στενούμενον, ἐπέβλεψας ἄχραντε, εἰς τὴν ἐμὴν ταπείνωσιν, καὶ ἀνεκαλέσω, πρὸς ὑγείαν βεβαίαν, βοῶντα ἐκ καρδίας· Ἱερεῖς εὐλογεῖτε· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Εἰς τὴν ἐμὴν ἐπέβλεψας, Θεομῆτορ ἀσθένειαν· καὶ δι' εὐσπλαγχνίαν, παρ' ἐλπίδα ἔσωσας, τὸν δοῦλόν σου Δέσποινα· καὶ εὐφροσύνης ἔπλησας, ῥώσεως ἐνθέου, καὶ χαρᾶς μελῳδοῦντα· οἱ παῖδες εὐλογεῖτε· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Επιτυχὼν ἰάσεως, Ἐζεκίας τὸ πρότερον, εἰς οἶκον Κυρίου, ταχέως ἀνέδραμε, Θεῷ Παντοκράτορι, εὐχαριστήσων Δέσποινα· ἐγὼ δὲ τυχὼν, τῆς παρὰ σοῦ θεραπείας, τῷ σῷ ναῷ προσῆλθον, ἐκ ψυχῆς καὶ καρδίας, εὐχαριστῶν σοι Κόρη εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ, θ'. Ἔφριξε πᾶσα.

Ποῖόν σοι αἶνον ἀγαθὴ, κατ' ἀξίαν ἀναπέμψω ὁ δοῦλός σου; ἀνθ' ὧν τοιαύτης με, εὐεργεσίας ἁγνὴ ἠξίωσας· καὶ ἐλυτρώσω με παθῶν, τῶν παραπεμπόντων με, εἰς ᾅδου βάραθρα, μεσιτείᾳ σου θερμῇ Παντευλόγητε.

Αγιον σκήνωμα Θεοῦ· χαῖρε μόνη τῶν βροτῶν ἐγκαλλώπισμα· ναὲ πανάγιε, τοῦ βασιλέως καὶ θρόνε πύρινε· ἐν τῇ εὐσπλάγχνῳ σου ῥοπῇ, τὸ βάρος ἐκούφισας τῆς ἀσθενείας μου, καὶ ὑγείας καὶ ζωῆς με ἠξίωσας.

Δεῦτέ μοι πάντες ἀδελφοὶ, συνευφράνθητε κοινῇ μεγαλύνοντες, τὴν ὑπεράμωμον, Θεοῦ Μητέρα, πηγὴν τὴν ἄφθονον, ἐξ ἧς μοι ῥεῖθρον διαυγὲς, ἰάσεως ἔβλυσε, καὶ τὸν φλογμὸν τῶν ἐμῶν, ἀλγηδόνων παντελῶς ἐξηφάνισεν.

Αχραντε Δέσποινα ἁγνὴ, τῆς καρδίας μου τὰ πάθη θεράπευσον, καὶ τῆς μελλούσης με,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ζωῆς ἐνθέου μέτοχον ποίησον· καὶ τῶν τοῦ βίου δυσχερῶν, πρεσβείαις σου λύτρωσαι· ἵνα δοξάζω σε, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

## ΤΟΥ ΑΥΤΟΥ ΙΩΑΝΝΟΥ ΕΥΧΑΙΤΩΝ.

### Κανὼν ἰαμβικὸς

### ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Οὗ ἡ ἀκροστιχίς.

Λιτὴν δέχου Πάναγνε, τῶν σῶν προσφύγων.

Ὠδὴ, α'. ἦχος α'. Ἔσωσε λαόν.

ΛΟΓΟΙΣ ΣΕ σεμνὴ τὴν ὑπὲρ λόγον μόνην,
Θεὸν τεκοῦσαν τὸν πρὸ αἰώνων Λόγον,
Οὐδεὶς ἀνυμνεῖν Ἀγγέλων, ἢ γηγενῶν,
Σθένει· δέχου δὲ δῶρον ἡμῶν τὸν πόθον,
Λύουσα πασῶν, συμφορῶν καὶ θλίψεων.

Ἴδε κραταιὰ τῶν ἀπωσμένων σκέπη,
Ἡμῶν τὸν ὄγκον τῆς ἀθυμίας ὅτι,
Τοῖς ἐξ ἀναγκῶν οὐ πάρεστι θλιβεροῖς,
Θυμηδίας τις ἐλπὶς οὐ σωτηρία,
Οἴκτειρον ἡμᾶς· λύτρον γὰρ εἶ θλίψεων.

Τρέμουσι τὸν σὸν τῆς βρεφουργίας τρόπον,
Χοροὶ ἀΰλων δημαγωγοὶ τῶν ἄνω·
Τὸν φύντα γὰρ πρὶν, ἀχρόνως ἐκ τοῦ Πατρὸς,
Μόνη φέρεις ὡς υἱὸν· ᾧ καὶ συντόνως,
Πρέσβευε σεμνή· λύτρον γὰρ εἶ θλίψεων.

Ἤστραψεν ἡ σὴ παμφαεστάτη χάρις,
Καὶ πᾶν ζοφῶδες τῆς ἁμαρτίας νέφος,
Ἀφεῖλεν ἁγνὴ, καὶ πόνων ἀπαλλαγὴν,
Ξένην ἔδειξας, πᾶσι καὶ νῦν φωτί σου,
Ἅπασαν ἡμῶν, λῦσον ἀχλῦν θλίψεων.

Ὠδὴ, γ'. Νεῦσον πρὸς ὕμνους.

Νῦν τῇ δεήσει μητρικῇ σου Παντάναξ,
Ἐχθρῶν ὁρατῶν καὶ νοητῶν προσβολῶν,
Φύλαττε πάντας· ἔστι γὰρ αὕτη μόνη,
Τεῖχός τε καὶ καύχημα καὶ θεία σκέπη·

Ἣν ὡς ἀληθῆ προστάτιν δοξάζομεν.

Δέχου τὸν ὕμνον εὐμενῶς ὦ Παρθένε,
Καὶ παῦσον ἐχθρῶν τὴν ἀπειλὴν δυσμενῶν,
Ἣν τοῖς σὲ προσκυνοῦσι βλασφήμοις λόγοις,
Ὑψαυχενοῦντες προσφέρουσιν ἀθέως,
Λέπτυνον αὐτῶν, ὡς κόνιν τὸ φρύαγμα.

Ἔργῳ Προφῆται τὸν Πανάχραντον Λόγον,
Ἐκ σοῦ θεαυγῶς Μητρὸς ἀπειροζύγου,
Πάλαι προκατήγγειλαν ἁγνὴ Παρθένε.
Σὺ γὰρ μεσιτεύσασα τῷ θείῳ τόκῳ.
Δέδωκας ἡμῖν πταισμάτων λυτήριον.

Χριστοῦ δοχεῖον καὶ πυράφλεκτον βάτον,
Ναόν τε σεπτὸν καὶ νοητὴν λυχνίαν·
Ῥάβδον τε καὶ τράπεζαν ἐξ ἧς ὁ τρέφων,
Ἅπαντας ἐβλάστησεν ὦ Θεοτόκε,
Σὲ τῶν θεοπτῶν ἐσκόπει ὁμήγυρις.

Ωδὴ, δ΄. Γένους βροτείου.

Οἷς ἐστι γλῶσσα ῥητορεύειν ἐνθέως,
Τοῖς σοῖς ἑαυτοὺς τρανοποιοῦντες κρότοις,
Ὅλην σε δεικνύουσι Χριστοῦ πλησίον,
Ἄμωμον ὡραίαν τε σεμνὴν Παρθένον,
Πάντων ἱλασμὸν, πρὸς Θεὸν σωτήριον·

Ὕπνον ἀφεῖλες τῆς ἐμῆς ῥαθυμίας,
Ἄγρυπνος οὖσα πρὸς τὸ σώζειν Παρθένε·
Ἐχθροῦ γὰρ ὄντως ἡ ζοφουργὸς αἰτία,
Κόρας ἔμυσε καρδίας μου παγκάκως·
Ἀνύκτερον φῶς, σαῖς λιταῖς μοι προξένει.

Πρόστηθι πάντων τῶν τελούντων ἐν πόνοις,
Σκέπουσα πάσης προσβολῆς ἐναντίας·
Ἰδοὺ γὰρ ὥσπερ ἐν πολυκλύστῳ ζάλῃ,
Συνεσχέθημεν ἐκ βρόχων ἁμαρτίας,
Γενοῦ βοηθὸς ἀσφαλὴς σοῖς οἰκέταις·

Ἄνανδρε Μῆτερ, πῶς ἀπάτορα κύεις;
Ἄμωμε νύμφη πῶς λοχεύεις ἐν τόκῳ;
Θεὸς κενωθεὶς εἰς βροτησίαν φύσιν,
Σὰρξ νῦν πέφηνεν, ἐξ ἐμοῦ τῆς Παρθένου.
Ἵν' εἰς ἑαυτὸν τοὺς βροτοὺς ἀνελκύσῃ.

Ωδὴ, ε΄. Ἐκ νυκτός.

Νέον τὸν ὄντα καὶ πρὸ πάντων ἀχρόνως,

Ἤνεγκας ἁγνὴ ὡς βρέφος σαῖς ἀγκάλαις,
Ὃν ἐκδυσώπει ταῖς ἀκοιμήτοις ὅλαις,
Παῤῥησίαις σου μητρόθεν κινουμένη,
Ταχεῖαν ἡμῖν προξενεῖν σωτηρίαν.

Ἁγνὴ τὸν αἶνον ὥσπερ αἴτησιν δέχου,
Θραύουσα τόξα καὶ βολὰς τῶν τῆς Ἄγαρ·
Ἐν σοὶ γὰρ ὄντως τὴν ἑαυτῶν ἐλπίδα,
Ὡς εἰς κρατίστην καὶ μόνην σωτηρίαν,
Τεθείκαμεν νῦν σῶζε πάντας Παρθένε.

Γνωσθέν μοι ὤφθη τὸ πρὶν ἠγνοημένον,
Ἐκ νηδύος σου φρικτὸν ἔργον Παρθένε.
Νῦν γὰρ προῆλθε, πάντας ὁ πλάσας Λόγος,
Καὶ τὴν πεσοῦσαν ἐξανέπλασεν φύσιν.
Αὖθις δ' ἀνῆλθεν εἰς πόλον σελασφόρον.

Νενευκότας νῦν εἰς ἀπόγνωσιν μόνη,
Ἠλευθέρωσας ἐκ χάους ψυχοφθόρου.
Σὺ γὰρ τὸ πάντων ὕψος ἁγνὴ Μαρία,
Πέφυκας ὄντως καὶ προπύργιος σκέπη,
Δι' ἧς ἀπηλλάγημεν ἐθνικῆς βλάβης.

Ωδὴ, ς'. Ναίων Ἰωνᾶς.

Ἐν παντὶ πιστοὶ τῆς ἁμαρτίας σάλῳ,
Κεκτημένοι σε πυρσὸν ὡς φαεσφόρον,
Κλύδωνα πάντα καὶ ζάλην τρικυμίας,
Ἔργῳ περῶσι καὶ πρὸς ὅρμον εὐδίας,
Ψυχὰς ἀπευθύνουσιν εὐλογημένη.

Τρέφουσα μαζοῖς οὐρανοῦ τὸν Δεσπότην,
Τρυφὴν γλυκαίνεις τὴν πάλαι βροτοκτόνον·
Ἐμοῦ πικρὰν δὲ τῆς ἁμαρτίας πόσιν,
Τῇ σῇ γλυκείᾳ πρὸς βροτοὺς εὐσπλαγχνίᾳ,
Πάναγνε δεῖξον ἡδονὴν σωτηρίας.

Ὤφθης ἀληθὴς ἀσφαλῶς μοι προστάτις,
Δεινῶν τε λύτρον καὶ παράκλησις πόνων,
Καὶ νῦν γενοῦ μοι ψυχικῶν συντριμμάτων,
Δεσμὸς χορηγῶν τῶν παθῶν μου τὴν λύσιν,
Δέσποινα Μῆτερ τοῦ Θεοῦ Λόγου μόνη.

Νέφος λογισμῶν ἐκταράττει με ζάλης,
βυθῷ καθέλκων καὶ κλύδωνι πταισμάτων·
Ἀλλ' ὦ γαλήνη καὶ λιμὴν εὐσπλαγχνίας,
Ἀχλὺν πονηρὰν τῶν ἐμῶν ἐγκλημάτων,

Διασκέδασον ὡς ἀσύγκριτον φάος.

Ὠδὴ ζ΄. Τῷ παντάνακτος.

**Σ**ὺ τοῦ παλαιοῦ τῆς προμήτορος χρέους,
Χριστὸν τεκοῦσα λύτρον ὤφθης Παρθένε,
Καὶ νῦν χρεῶν μοι τῆς ἁμαρτίας δίδου,
Ἁγνὴ δυσωπῶ πρὸς Θεὸν τὴν ἐγγύην·
Σὺ γὰρ μεσίτις εὐδιάλλακτος μόνη.

**Ω**ς τὸν πλάσαντα συλλαβοῦσα νηδύϊ,
Ἔδειξας ὦ Δέσποινα τῆς πρὶν εἰκόνος,
Ὄντως τὸ κάλλος αὖθις ὡραϊσμένον.
Ὡς φῶς ἀληθῶς γνώσεως σεβασμία,
Λάμψασα τοῖς ζητοῦσι τὴν σωτηρίαν.

**Ν**ύμφη Πάναγνος οὐ προῆλθεν ἐκ τόκου,
Πατρὸς σπορᾶς ἄνευθεν οὐδαμῶς πάλαι,
Βρέφος τὰ κλεῖθρα λῦσαν ὤφθη Παρθένου·
Ὢ πῶς ἁγνὴ σὺ τῶνδε νῦν Θεοδόχε,
Δέσποινα πειραθεῖσα σώζῃ Παρθένος!

**Π**ρὸς τὸν σὸν υἱὸν μητρικῇ παῤῥησίᾳ,
Ἀεὶ κεχρημένη τε καὶ λυτρουμένη,
Πάντας βαράθρων, μὴ παρόψῃ Παρθένε,
τοὺς πάντοθεν νῦν θλίψεσι κυκλουμένους,
Ὅπως σε προσκυνῶμεν οἱ σεσωσμένοι.

Ὠδὴ η΄. Μήτραν ἀφλέκτως.

**Ρ**εῖθρον φανεῖσα ψυχικῶν μολυσμάτων·
Πλῦνον μολυσμὸν τῶν ἐμῶν ἐγκλημάτων,
Ὧν μοι κακῶς προστῆψεν ὁ φθορεὺς δράκων,
Ἄχραντε Μῆτερ θαυματουργὲ τῶν ὅλων,
Ἡ προξενοῦσα τὴν καθάρσιον χάριν.

**Ο**λην πεσοῦσαν ἐξ Ἀδὰμ ἐμὴν φύσιν,
Ὅλος κενωθεὶς ὁ προάναρχος Λόγος,
Θεανδρικῶς ἐκ σοῦ με σώζει Παρθένε,
Ὃν περ δυσώπει μητροκινήτῳ σχέσει,
Καὶ νῦν με πάντων δυσχερῶν ἀφαρπάσαι.

**Σ**οὶ τὰς δεήσεις ἐκ τελείας καρδίας.
Φέροντες ἡμεῖς ὡς βροτῶν τῇ ἐλπίδι,
Τὰς τῶν παθῶν ὀδῖνας ἡμῶν Παρθένε.
Πάσας γυμνοῦμεν τῇ παναλκῇ σου σκέπῃ·
Γενοῦ μεσίτις σωστικὴ σοῖς οἰκέταις.

**Φ**άνηθι φέγγος, οἷς ζοφώδης αἰτία,

Ὤδινεν ἡμῖν ψυχικὴν ἀβλεψίαν,
Σὺ γὰρ τὸ φῶς τεκοῦσα λάμπεις Παρθένε,
Ἄχραντε πᾶσι τοῖς βροτοῖς σωτηρίαν·
Δι' ἧς περῶμεν εἰς ἀείφωτον τρίβον.

Ὠδὴ θ'. Στέργειν μέν.

Ὕμον μὲν οὐδεὶς ὡς ἐπάξιον φέρει,
Σοὶ Μῆτερ ἁγνή· καὶ γὰρ ἰσχὺς οὐ σθένει,
Πάντων ἀΰλων καὶ γένους βροτησίου·
Σιγὴν δὲ λοιπὸν ἀντὶ τῶν ὕμνων δέχου·
Λόγον γάρ ἐστιν ἡ προαίρεσις πλέον.

Γλῶσσαι πονηρῶν ἐκμανεῖσαι πρὸς δόλον,
Λόγους καθ' ἡμῶν ἐκχέουσιν ὡς βέλη·
Ταύτας ἐρήμους, ἀνθράκων ἐπομβρίαις,
Δεῖξον κραταιῶς ἐκτεφρουμένας Λόγε,
Πληρῶν δέησιν Μητρικήν σου Παντάναξ.

Ὦ Χριστιανῶν παντελὴς σωτηρία.
Ὦ τῶν ὑπὲρ νοῦν αἰτία δωρημάτων·
Τὴν ἀνάγνων μου χειλέων ὑμνῳδίαν,
Πεμφθεῖσαν εἰς σὲ καὶ τὸν ἐκ σοῦ προσδέχου,
Λύσιν Πάναγνε προξενοῦσα πταισμάτων.

Νίκην κατ' ἐχθρῶν δυσμενῶν καὶ βαρβάρων,
Ἔχει σε λαὸς Παντάνασσα καὶ κράτος,
Ἅπας ὁ λάτρις τοῦ τόκου σου Παρθένε·
Καὶ νῦν βοηθὸς ἀῤῥαγεστάτη μόνη,
Τούτῳ γένοιο, δυσχερῶν λυτρουμένη.

# ΚΑΝΩΝ ΧΑΡΜΟΣΥΝΟΣ

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ψαλλόμενος τῷ Σαββάτῳ τῆς Ἀκαθίστου.

## ΠΟΙΗΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ.

Οὗ ἡ ἀκροστιχίς.

Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ· Ἰωσήφ.

Ὠδὴ, α΄. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

ΧΡΙΣΤΟΥ βίβλον ἔμψυχον, ἐσφραγισμένην σε Πνεύματι, ὁ μέγας Ἀρχάγγελος ἁγνὴ θεώμενος, ἐπεφώνει σοι, χαῖρε χαρᾶς δοχεῖον, δι᾿ ἧς τῆς προμήτορος ἀρὰ λυθήσεται.

Ἀδὰμ ἐπανόρθωσις, χαῖρε Παρθένε Θεόνυμφε· τοῦ ᾅδου ἡ νέκρωσις χαῖρε πανάμωμε, τὸ παλάτιον τοῦ μόνου βασιλέως· χαῖρε θρόνε πύρινε τοῦ Παντοκράτορος.

Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα, τὸ μῆλον τὸ εὔοσμον χαῖρε ἡ τέξασα, τὸ ὀσφράδιον τοῦ πάντων βασιλέως· χαῖρε ἀπειρόγαμε κόσμου διάσωσμα.

Ἁγνείας θησαύρισμα, χαῖρε δι᾿ ἧς ἐκ τοῦ πτώματος, ἡμῶν ἐξανέστημεν χαῖρε ἡδύπνοον, κρῖνον Δέσποινα, πιστοὺς εὐωδιάζον, θυμίαμα εὔοσμον μῦρον πολύτιμον.

Ὠδὴ, γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς· χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα· χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος Δέσποινα.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον χαῖρε τοῖς πιστοῖς· χαῖρε ἀμνὰς κυήσασα, Θεοῦ ἀμνὸν τὸν αἴροντα, κόσμου παντὸς τὰ πταίσματα· χαῖρε θερμὸν ἱλαστήριον.

Ὄρθος φαεινὸς χαῖρε ἡ μόνη, τὸν ἥλιον φέρουσα Χριστόν· φωτὸς κατοικητήριον· χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Χαῖρε πύλη μόνη ἣν ὁ λόγος, διώδευσε μόνος ἡ μοχλοὺς, καὶ πύλας ᾅδου Δέσποινα, τῷ τόκῳ σου συντρίψασα· χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων Πανύμνητε.

Ὠδὴ, δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐν φωναῖς ᾀσμάτων πίστει, σοὶ βοῶμεν Πανύμνητε· χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν Πνεύματι· χαῖρε λυχνία καὶ στάμνε μάννα φέρουσα, τὸ γλυκαῖνον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ κόσμου, χαῖρε ἄχραντε Δέσποινα· χαῖρε κλίμαξ γῆθεν, πάντας ἀνυψώσασα χάριτι· χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα, ἐκ θανάτου πάντας, πρὸς ζωὴν τοὺς

ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον, ἐν τῇ σῇ νηδύϊ, ἄχραντε ἀκόπως βαστάσασα· χαῖρε κογχύλη πορφύραν θείαν βάψασα, ἐξ αἱμάτων σου, τῷ βασιλεῖ τῶν Δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα, ἀληθῶς χαῖρε Δέσποινα, τὸν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφοντα· ἀκατανόητον βάθος ὕψος ἄῤῥητον, ἀπειρόγαμε, δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ, ἀχειρόπλοκον στέφανον, ἀνυμνολογοῦμεν, χαῖρέ σοι Παρθένε κραυγάζοντες, τὸ φυλακτήριον πάντων καὶ χαράκωμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

Ωδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὁδὸν ἡ κυήσασα, ζωῆς χαῖρε Πανάμωμε· ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας, σώσασα κόσμον χαῖρε Θεόνυμφε, ἄκουσμα καὶ λάλημα φρικτόν· χαῖρε ἐνδιαίτημα, τοῦ Δεσπότου τῆς Κτίσεως.

Ἰσχὺς καὶ ὀχύρωμα, ἀνθρώπων χαῖρε ἄχραντε, τόπε ἁγιάσματος τῆς δόξης· νέκρωσις ᾅδου νυμφὼν ὁλόφωτε· χαῖρε τῶν Ἀγγέλων χαρμονή· χαῖρε ἡ βοήθεια, τῶν πιστῶς δεομένων σου.

Πυρίμορφον ὄχημα, τοῦ Λόγου χαῖρε Δέσποινα, ἔμψυχε παράδεισε τὸ ξύλον, ἐν μέσῳ ἔχων, ζωῆς τὸν Κύριον, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὑποκύψαντας.

Ῥωννύμενοι σθένει σου, πιστῶς ἀναβοῶμέν σοι· χαῖρε πόλις τοῦ παμβασιλέως, δεδοξασμένα καὶ ἀξιάκουστα, περὶ ἧς λελάληνται σαφῶς, ὄρος ἀλατόμητον· χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα, τοῦ Λόγου χαῖρε ἄχραντε· κόχλος ἡ τὸν θεῖον μαργαρίτην, προαγαγοῦσα, χαῖρε πανθαύμαστε, πάντων πρὸς Θεὸν καταλλαγὴ, τῶν μακαριζόντων σε, Θεοτόκε ἑκάστοτε.

Ωδὴ, ϛ'. Τὴν θείαν ταύτην

Παστὰς τοῦ Λόγου ἀμόλυντε, αἰτία τῆς τῶν πάντων θεώσεως, χαῖρε Πανάχραντε, τῶν Προφητῶν περιήχημα· χαῖρε τῶν Ἀποστόλων τὸ ἐγκαλλώπισμα.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθεΐας ἡ λύσασα· ὅθεν βοῶμέν σοι· χαῖρε ὁ πόκος ὁ ἔνδροσος, ὃν Γεδεὼν Παρθένε προεθεάσατο.

Ἰδού σοι χαῖρε κραυγάζομεν, λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν θλίψεων, καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία χαρίτωσον, ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι· χαῖρε ἡ ἄφλεκτος, βάτος νεφέλη ὁλόφωτε, ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

Ωδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Ἀνυμνοῦμέν σε, βοῶντες χαῖρε ὄχημα, ἡλίου τοῦ νοητοῦ· ἄμπελος ἀληθινὴ, τὸν βότρυν τὸν πέπειρον ἡ γεωργήσασα, οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

Ιατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε Θεόνυμφε, ἡ ῥάβδος ἡ μυστική, ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα· χαῖρε Δέσποινα, δι' ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

Ρητορεύουσα, οὐ σθένει γλῶσσα Δέσποινα, ὑμνολογῆσαί σε· ὑπὲρ γὰρ τὰ Σεραφίμ, ὑψώθης κυήσασα τὸν βασιλέα Χριστόν· ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε, μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι· χαῖρε ὁ τόμος ἐν ᾧ, δακτύλῳ ἐγγέγραπται Πατρὸς ὁ Λόγος ἁγνή· ὃν ἱκέτευε, βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι Θεοτόκε.

Ἱκετεύομεν, οἱ δοῦλοί σου καὶ κλίνομεν, γόνυ καρδίας ἡμῶν· κλῖνον τὸ οὖς σου ἁγνή· καὶ σῶσον τοὺς θλίψεσι βυθιζομένους ἡμᾶς, καὶ συντήρησον, πάσης ἐχθρῶν ἁλώσεως, τὴν σὴν ποίμνην Θεοτόκε.

Ὠδὴ, ηʹ. Παῖδας εὐαγεῖς.

Νηδύϊ τὸν Λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας, γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα, τὴν οἰκουμένην ἅπασαν ἁγνὴ ᾧ ψάλλομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα μυστήριον τοῦ τόκου σου· Παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα, μέσον πυρὸς ἱστάμενοι καὶ μὴ φλεγόμενοι, ἀκήρατε Ἁγία Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρῴην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σου, καὶ οἱ καθεζόμενοι, ἐν σκότει παραπτώσεων φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον Κόρη· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται· ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας· εὔλαλοι οἱ ἄλαλοι, πρῴην χρηματίζοντες· λεπροὶ ἀποκαθαίρονται, νόσοι διώκονται· πνευμάτων ἀερίων τὰ πλήθη, ἥττηνται Παρθένε βροτῶν ἡ σωτηρία.

Ἡ κόσμῳ τεκοῦσα Σωτηρίαν· δι' ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν· χαίροις παντευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα τῶν μελῳδούντων ἁγνή· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θʹ. Ἅπας γηγενής.

Ἵνα σοι πιστοὶ, τὸ χαῖρε κραυγάζωμεν οἱ διὰ σοῦ τῆς χαρᾶς, μέτοχοι γενόμενοι, τῆς ἀϊδίου, ῥῦσαι ἡμᾶς πειρασμοῦ, βαρβαρικῆς ἁλώσεως καὶ πάσης ἄλλης πληγῆς, διὰ πλῆθος Κόρη παραπτώσεων, ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς, ἡμῶν καὶ βεβαίωσις ὅθεν βοῶμέν σοι· χαῖρε ἄστρον ἄδυτον, εἰσάγον Κόσμῳ τὸν μέγαν ἥλιον· χαῖρε Ἐδὲμ ἀνοίξασασα τὴν κεκλεισμένην ἁγνή· χαῖρε στύλε, πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς, ἐν οἴκῳ Θεοῦ ἡμῶν καὶ ἐκβοήσωμεν· χαῖρε Κόσμου Δέσποινα· χαῖρε Μαρία Κυρία πάντων ἡμῶν· χαῖρε ἡ μόνη ἄμωμος ἐν γυναιξὶ καὶ καλή· χαῖρε σκεῦος μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Η περιστερά, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα· χαῖρε ἀειπάρθενε· ὁσίων πάντων χαῖρε τὸ καύχημα· τῶν ἀθλητῶν στεφάνωμα χαῖρε ἁπάντων τε, τῶν δικαίων, θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φεῖσαι ὁ Θεός, τῆς κληρονομίας σου τὰς ἁμαρτίας ἡμῶν, πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωποῦσάν σε, τὴν ἐπὶ γῆς ἀσπόρως σε κυοφορήσασαν, διὰ μέγα ἔλεος θελήσαντα, μορφωθῆναι Χριστὲ τὸ ἀλλότριον.

## ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ

### ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ψαλλόμενος τῷ αὐτῷ Σαββάτῳ τῆς Ἀκαθίστου παρὰ ταῖς Σεβασμίαις Μοναῖς τοῦ Ἁγίου Ὄρους.

Οὗ ἡ ἀκροστιχίς.

Ἡ βασιλὶς τὰ σῶστρα σοὶ τῇ Παρθένῳ.

Ἐν δὲ τοῖς Θεοτοκίοις. Νικολάου. καταλιμπάνονται δὲ τὰ ἐν τῷ Τριῳδίῳ Μαρτυρικὰ καὶ νεκρώσιμα διὰ τὸ τῆς ἡμέρας ἑορτάσιμον.

Ὠδὴ, α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

ΗΡΕΤΙΣΑΣ Ἄχραντε, λαὸν καὶ πόλιν βασίλειον, οἰκεῖν ὡς βασίλισσα, καὶ βασιλεύειν αὐτῆς, ἣν ἁλώσεως, βαρβάρων ἀνωτέραν, φυλάττοις γεραίρουσαν τὰ μεγαλεῖά σου.

Βαβαὶ τῶν ἀπείρων σου, περὶ τὸν κλῆρόν σου Πάναγνε, θαυμάτων πῶς ἄτρωτον, ἀκαταπόντιστον, διετήρησας αὐτὸν ὡς ἐν πελάγει, βαρβάρων κυκλούμενον ταῖς ἀντιπνεύσεσιν.

Ἀδέτω σοι Δέσποινα, Δαβὶδ ὁ θεῖος προπάτωρ σου, φωνὴν τὴν χαρμόσυνον, Θύγατερ ἄκουσον, ἐπικλίνασα, τὸ οὖς ἐπὶ λαόν σου, ἐτήσιον ᾄδοντα σοὶ χαριστήριον.

Συνέσεισας Δέσποινα, καὶ συνετάραξας θάλασσαν, καὶ ἄρδην ἐπόντωσας, στόλον μισόχριστον, Σκύθην ὄλεθρον, καθάπερ τοὺς τῆς Ἄγαρ· λαὸς σεσωσμένος δέ, ᾄδει τὰ θαύματα.

Νομὴν πολυχρόνιον, κατατρεχόντων σῆς πόλεως, Παρθένε ἀνέστειλας, τῶν ἐκ τῆς Ἄγαρ δεινῶν, ἐπιτρίψασα, τὸ στράτευμα τὸ τούτων, καὶ τέλος βυθίσασα οἴκαδε φεύγοντας.

Ὠδὴ, γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἰδοὺ τῶν ἐθνῶν ἐν πονηρίᾳ, τὰ ὕδατα ἤχησαν Ἁγνὴ, τῇ πόλει σου τὸν ὄλεθρον, αὐτῶν ἐν κραταιότητι· ἀλλ' ἐμφανῶς τῇ ῥώμῃ σου, παρὰ τὸν ᾅδην διεσπάρησαν.

Λαὸν περιούσιον Παρθένε, καὶ ἅγιον ἔθνος σοι σαφῶς, καὶ θεῖον ἱεράτευμα, βασίλειον ἐξαίρετον, τὴν βασιλίδα δέδωκεν, ὁ σὸς υἱὸς εἰς περιποίησιν.

Ισόῤῥοπον κίνησιν οἱ Πέρσαι, τοῖς Σκύθαις ἐνθέμενοι τῇ σφῶν, καρδίᾳ δίκην λαίλαπος, καὶ καταιγίδος Ἄχραντε, τῇ σῇ πόλει προσεῤῥήξαν· ἀλλ' ὡσεὶ χνοῦν αὐτοὺς ἐλίκμησας.

Ἰάθη τὸ σύντριμμα Παρθένε, τῆς σῆς θυγατρὸς καὶ συντριβὴν, ἀλάστωρ ὁ καὶ βλάσφημος, ὀξέως καθυπέμεινεν· ἵππον γὰρ καταβέβληκας, καὶ ἀναβάτην ἐνδικώτατα,

Ωδὴ, δ'. Τὴν ἀνεξιχνίαστον.

Σήμερον παράδοξα εἶδεν Ἁγνὴ, πόλις ἡ ἐξάρχουσα πόλεων, σοῦ τῆς Παρθένου, στρατηγούσης κατ' ἐχθρῶν, παρ' ἑκατέραν ἤπειρον, πάχος ὡσεὶ γῆς διεῤῥάγησαν.

Τί σοι ἀνταπόδομα Μῆτερ Θεοῦ, νῦν ἀνταποδοίημεν ἄξιον, ἀχρεῖοι δοῦλοι, ἀντὶ πάντων ὧν ἡμᾶς, Ἁγνὴ προσευηργέτησας; ὅθεν ἐκ ψυχῆς σε γεραίρομεν.

Ἄγαρ οἱ ἀπόγονοι, οἷς συστοιχεῖ, πόλις ἡ δουλεύουσα Δέσποινα, λήξει τῇ κάτω, προσβαλόντες ὡς σκηπτὸς, τῇ ἐλευθέρᾳ πόλει σου, λίθος οἷα πόντῳ κατέδυσαν.

Σύμβολα Πανάμωμε τῆς σῆς μορφῆς, ἐν εἰκονικοῖς ἐκτυπώμασιν, ὁ Ἱεράρχης, καὶ ἡ σύμπασα πληθὺς, ἱκετικῶς κατέχοντες, νίκην κατ' ἐχθρῶν ἀνεστήσαντο.

Κόσμου σε βασίλισσαν ἡ βασιλὶς, πόλεων πασῶν βασιλεύουσα, καίπερ εἰδυῖα, ὅμως Δέσποιναν αὐτῆς, ἐξόχως σε πλουτήσασα, μένει πολεμίοις ἀνάλωτος.

Ωδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὡράθη τὸ λόγιον, αἰσίως περατούμενον, εἷς γὰρ κατεδίωξε χιλίους, καὶ δύω αὖθις μετεκινήσαντο, ὅλας μυριάδας εἰς φυγὴν, δύναμιν φραξάμενοι, τῆς Παρθένου τὴν ἄμαχον.

Συνέκοψεν Ἄγγελος, ὡς ἐν ἐκστάσει πρότερον, τοῦ Σεναχηρεὶμ τὰς μυριάδας, φρυαξαμένου κατὰ τοῦ ζῶντος Θεοῦ· νῦν δὲ τὰς ἀπείρους τῶν ἐθνῶν, ὑφ' ἓν ἐθανάτωσε, μυριάδας ἡ Δέσποινα.

Τηκόμενοι πάθεσι, τοῖς ἀνηκέστοις βάρβαροι, πάντες ἐπιθέμενοι τῷ κλήρῳ, τῷ σῷ Παρθένε, λιμῷ καὶ βρώσει πτηνῶν, καὶ ἐκδειματούμενοι φρικτῶς, ἔμαθον οἷς ἔπαθον, ὡς εἰς σὲ κατεφρόνησαν.

Ὅτε δὴ ὁ ὕψιστος, τὰ ἔθνη διεμέριζεν, ὡς ἐπιτροπεύοιντο Ἀγγέλοις, αἵματι θείῳ, οὓς ἐξηγόρασε, σχοίνισμα μερίδος τῇ Μητρὶ, πόλιν ὑπεξείλετο, ἣν φυλάττοις ἀπόρθητον.

Ωδὴ, ς'. Τὴν θείαν ταύτην.

Ῥομφαίαν, ὅπλον, καὶ πόλεμον, ἐχθρῶν ἐπεμβαινόντων Θεόνυμφε, τῇ κληρουχίᾳ σου, κενὰ καὶ ἄπρακτα ἤλεγξας, ὡς πολιοῦχος ταύτης ὑπερασπίσασα.

Ἀδίκως ἐπιστρατεύσασα, περσὶς τῇ βασιλίδι τῶν πόλεων, δουλείαν ἔνδικον, κατεδικάσθη τῷ ἄνακτι, ὑπερμαχούσης τούτῳ τῆς Θεομήτορος.

Σωροὺς ἐξέβρασε θάλασσα, καθάπερ Αἰγυπτίους τὸ πρότερον, Ἀγαρηνῶν τοὺς νεκροὺς, οὓς θεηλάτως ἐβύθισεν, ἐπιθεμένους κλήρῳ τῆς Θεομήτορος.

Ὁ σοὶ τὴν πόλιν δειμάμενος, ἀνάκτορον Παρθένε περίπυστον, ἄναξ ἀγάλλεται, ταύτην ἀμφέπουσαν βλέπων σε, καὶ τὸν φιλῶς καλοῦντα ἐχθρὸν συντρίψασαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Λαὸς καὶ πόλις φιλόχριστος, ῥυσθέντες φοβερᾶς καταπόσεως, ὑπερμαχούσης σου, νῦν χαριστήριον πάννυχον, ἐν ἀκαθίστῳ στάσει τελεῖ δοξάζων σε.

Ωδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Ἱκετήριόν σοι δέησιν προσάγομεν, οἱ σεσωσμένοι φρικτῆς, αἰχμαλωσίας Ἁγνὴ, ῥυσθῆναι δεόμενοι καὶ ἀοράτων ἐχθρῶν, ὧν ὁ πόλεμος, οὐκ ἐν σαρκὶ καὶ αἵματι, τῷ νοΐ δὲ ἀντιπίπτει.

Τόξα πάντα συνετρίβη καὶ ἠσθένησε, τῶν δυνατῶν ἐν αὐτοῖς· οἱ ἀσθενεῖς δὲ σαφῶς, ἰσχύν τε καὶ δύναμιν περιεζώσαντο, ὡς τὴν ἄμαχον, πεπλουτηκότες δύναμιν, πεποιθήσει σου Παρθένε.

Η παλίμφημος, ἀπέσβη, καὶ ἠφάνιστο, γλῶσσα τοῦ κήρυκος, τῆς μυσαρᾶς τελετῆς· ἐξ ὕψους γὰρ ἔῤῥιπτο πτῶμα ἐξαίσιον, μὴ κραυγάζων σοι, εὐλογημένος Δέσποινα, ὁ καρπὸς τῆς σῆς Κοιλίας.

Ἀνοιγέσθωσαν, αἱ πύλαι σου βασίλισσα, πασῶν τῶν πόλεων, καὶ προερχέσθωσαν, ἐν ἐλευθέρῳ ποδὶ, οἱ πρώην σου δέσμιοι, καὶ ἐγκατάκλειστοι· ὁ τοῦ παίοντος, καὶ γὰρ ζυγὸς συντέτριπται, στρατηγούσης τῆς Παρθένου.

Ωδὴ, η'. Παῖδας εὐαγεῖς.

Πέρσαι τε, καὶ Μῆδοι, καὶ τῶν Οὔνων τὰ ἔχθιστα φῦλα συνελάλησαν, δεῦτε καὶ κατάσχωμεν, κλῆρον τὸν ἀπόλεκτον, ἐν γὰρ αὐτοῖς οὐδεὶς ἐστιν, ὁ βασιλεύων τὰ νῦν, ἠλέγχθησαν δὲ φρύαγμα μόνον· πάντας γὰρ ἐξῆρεν, ὡς χλόην ἡ Παρθένος.

Ἀνασσά σοι πόλις Θεοτόκε, παρ' ἧς ἡ εὐσέβεια κρατύνεται, πάννυχον ἐτήσιον, ᾄδει τὸ κατόρθωμα, καὶ ἑορτάζει χαίρουσα τῆς βασιλίδος σαφῶς, τὰ ῥύσια, καὶ σῶστρα Παρθένε, ἀνυμνολογοῦσα τὸν τόκον σου τὸν ξένον.

Ῥήγνυται τὰ σκάφη τῶν ἀθέων, ἀλλήλοις ἐν συσσεισμῷ, καὶ καταιγίδι φρικτῇ, βίᾳ προσαράξαντα, ἄλλα τε βεβύθισται, πάντα δ' ὑφ' ἓν ἀπόλωλε καὶ ἐξηφάνισται· θρηνεῖ δὲ καὶ ὁ φύλαρχος βλέπων, ἔργον γενομένους καὶ τοὺς λοιποὺς μαχαίρας.

Ὤλωλε τὰ ἔθνη παραδόξως, σῇ κληρονομίᾳ ἐπιθέμενα· ἔθεντο τὸ στόμα γὰρ, ὕψος πρὸς οὐράνιον, καὶ τὴν αὐτῶν ὑβρίστριαν γλῶσσαν διήγαγον, εἰς γῆν μεγαλαυχοῦσαν Παρθένε, ὥσπερ ὁ ῥαψάκης, σὺν ᾧ καὶ διεφθάρη.

Ωδὴ, θ'. Ως ἐμψύχῳ Θεοῦ.

Θαυμαστή σου ἐστιν ἡ σκηνὴ, παλάτιον τοῦ πάντων βασιλέως· Πνεῦμα γὰρ ἐν σοὶ ἐπισκιάσαν Θεοτόκε, φρικτὸν κατεσκεύασέ σε θάλαμον· νῦν δὲ ἡ πόλις σου αὕτη κλῆρος, ἀλλὰ σώζεις ταύτην, ἐχθρῶν βαρβάρων ἀσινῆ.

Ἐνεδρεύονται Θεοτόκε Ἁγνὴ, ἀδίκως οἷς ἐνήδρευσαν δικαίων, πόλιν καὶ λαὸν οἱ ἐκ Περσίδος ἐπιστάντες· αὐτοῖς ἐπιστάντος τοῦ ὀλέθρου φρικτῶς, καταστρατηγούσης σου Κόρη τούτων, καὶ συστρατηγούσης ἐκεῖ τῷ πιστῷ βασιλεῖ.

Νομοθέτης τὸ πρὶν Μωϋσῆς, τυπούμενος παλάμαις σταυροτύπως, ῥύεται λαὸν Ἰσραηλίτην παλαμναίας, χειρὸς Ἀμαλὴκ τοῦ πολεμήτορος· νῦν δὲ τῷ Σταυρῷ, καὶ εἰκόσι

θείαις, τοὺς ἐχθροὺς ἡττῶσι χεῖρες ἀνδρῶν Ἱερῶν.

Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ, λυτρούμεθα ἐν σοὶ Θεογεννῆτορ, ἄρδην κατακλύζοντος πολέμου ἐξ ὑδάτων, ἐθνῶν καλυπτόντων γῆς τὸ πρόσωπον, καὶ ὑπὲρ βουνῶν ὑψουμένων, σοῦ δὲ ἀφανιζομένων τῇ θάλψει πρὸς τάχος ἁγνή.

Ὑπερύπταται Θεομῆτορ τὰ σὰ, Θαυμάσια τὴν δύναμιν τῶν λόγων· σθένει γὰρ σῷ ἀμάχῳ ἐῤῥύσω ἀλλοφύλων, ἐπιδρομῆς ἁγνὴ κληρουχίαν σου· ὅθεν εὐχαρίστως βοᾷ σοι, σύ μου Θεοτόκε ῥύστις, Προστάτις, καὶ καταφυγή.

„ Τὴν εὐχάριστον, σοὶ φέρω φωνὴν Λόγε,

„ Ἰδὼν ποθεινῶς τέρμα τῶν ἐνηργμένων.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ